12 Ἄς μή ἐκπέσωμε λοιπόν ἀπό τήν πατρική εὐχή καί ἄς μή ἀπορρίψωμε τήν κληρονομία τοῦ οὐρανίου Πατρός, οὔτε τήν σφραγῖδα καί τό σῆμα τῆς οἰκειότητος πρός αὐτόν, γιά νά μή χάσωμε καί τήν υἱοθεσία καί τήν εὐλογία καί τήν μαθητεία πρός αὐτόν, γιά νά μή ἐκπέσωμε ἀπό τήν ὑπεσχημένη ζωή καί ἀποκλεισθοῦμε ἀπό τόν πνευματικό νυμφῶνα καί ἀκούσωμε ἀπό τόν εἰρηνάρχη Πατέρα· «δέν σᾶς ἀναγνωρίζω· ἀπομακρυνθῆτε ἀπό ἐμένα οἱ αἴτιοι τοῦ μίσους καί τῆς ἔχθρας καί τῶν σκανδάλων»[16]. Κι' αὐτός, γιά νά μή πάθωμε τοῦτο, ἀπέστειλε διά τῶν ἁγίων μαθητῶν καί ἀποστόλων τήν εἰρήνη σέ ὅλον τόν κόσμο.

13 Γι' αὐτό καί αὐτοί στίς ὁμιλίες τους καί στά συγγράμματά τους τοποθετοῦν αὐτήν πρίν ἀπό ὅλους τούς λόγους, λέγοντας στό προοίμιο, «χάρις σέ σᾶς καί εἰρήνη ἀπό τόν Θεό». Κι' ἐμεῖς, ὡς ὑπηρέτες τῆς διακονίας ἐκείνων, ἐρχόμαστε τώρα σ' ἐσᾶς φέροντάς την καί λέγομε πρός ἐσᾶς μαζί μέ τόν Παῦλο· «νά ἐπιδιώκετε τήν εἰρήνη μέ ὅλους καί τόν ἁγιασμό, διότι χωρίς αὐτήν κανείς δέν θά ἰδῆ τόν Κύριο»[17]. Ἐάν δέ κανείς δέν θά ἰδῆ τόν Θεό χωρίς τήν εἰρήνη μέ ὅλους, αὐτός πού δέν εἰρη-

15. Ἰω. 17,21.
16. Ματθ. 17,23, παραλλαγμένο.
17. Ἑβρ. 12,14.

πατριωτῶν εἰρηνεύων, πῶς ὄψεται τὸν Θεὸν ἐν αἰῶνι τῷ μέλλοντι; πῶς δὲ οὐκ ἀκούσεται τότε, «ἀρθήτω, ἵνα μὴ ἴδοι τὴν δόξαν Κυρίου»; Ἀλλ' ἡμῶν μηδένα γένοιτο ταύτης ἀκοῦσαι τῆς ἀπευκταίας φωνῆς, ἀλλὰ καταλλαγέντας, καὶ συναχθέντας πάντας διὰ τῆς εἰρήνης καὶ ἀγάπης καὶ ὁμονοίας εἰς ἕν, ἐν μέσῳ ἔχειν αὐτόν, κατὰ τὴν αὐτοῦ γλυκεῖαν ἐπαγγελίαν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐξευμαρίζοντα μὲν ἡμῖν τὴν τοῦ παρόντος βίου δυσχέρειαν, χαριζόμενον δὲ ἐν καιρῷ εὐθέτῳ τὴν αἰώνιον ζωὴν καὶ δόξαν, καὶ βασιλείαν.

14 *Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ εἰρηνοδώρου Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.*

νεύει οὔτε μέ τούς συμπατριῶτες του, πῶς θά ἰδῆ τόν Θεό στόν μέλλοντα αἰῶνα; Πῶς δέ δέν θ' ἀκούση τότε, «ἄς ἐξαφανισθῆ, γιά νά μή ἰδῆ τή δόξα τοῦ Κυρίου[18]»; Εἴθε νά μή ἀκούση κανείς ἀπό μᾶς αὐτήν τήν ἀπευκταία φωνή, ἀλλά, συμφιλιωμένοι καί συναθροισμένοι ὅλοι διά τῆς εἰρήνης, τῆς ἀγάπης καί τῆς ὁμονοίας σ' ἕνα, νά ἔχωμε στό μέσο μας τόν ἴδιο τόν Κύριο ἡμῶν Ἰησοῦ Χριστό, κατά τήν γλυκειά ἐπαγγελία του, πού ἐξομαλύνει γιά χάρι μας τήν δυσχέρεια τοῦ παρόντος βίου καί θά χαρίση τήν αἰώνια ζωή καί δόξα καί βασιλεία στόν κατάλληλο καιρό.

14 Εἴθε ὅλοι μας νά ἐπιτύχωμε αὐτήν τήν ζωή μέ τήν χάρι καί φιλανθρωπία τοῦ εἰρηνοδώρου Θεοῦ καί Κυρίου ἡμῶν Ἰσοῦ Χριστοῦ στόν ὁποῖο ἁρμόζει δόξα, κράτος, τιμή καί προσκύνησις μαζί μέ τόν ἄναρχο Πατέρα του καί μέ τό ζωοποιό Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες. Γένοιτο.

18. Ἡσ. 26,10.





ΟΜΙΛΙΑ Β΄

ΕΙΣ ΤΗΝ
ΚΑΤΑ ΤΟΝ ΤΕΛΩΝΗΝ ΚΑΙ ΤΟΝ ΦΑΡΙΣΑΙΟΝ
ΤΟΥ ΚΥΡΙΟΥ ΠΑΡΑΒΟΛΗΝ

ΟΜΙΛΙΑ Β'

ΕΙΣ ΤΗΝ ΚΑΤΑ ΤΟΝ ΤΕΛΩΝΗΝ ΚΑΙ ΤΟΝ ΦΑΡΙΣΑΙΟΝ ΤΟΥ ΚΥΡΙΟΥ ΠΑΡΑΒΟΛΗΝ

1

ὕπορός ἐστιν εἰς κακίαν ὁ νοητὸς τῆς κακίας προστάτης, καὶ πολὺς μὲν ἤδη καταβαλλομένους εἰς ψυχὴν τοὺς τῆς ἀρετῆς θεμελίους τὴν ἀρχὴν εὐθὺς ὑποσύραι, δι' ἀνελπιστίας καὶ ἀπιστίας· πολὺς δὲ καὶ τοῖς τοίχοις οἷον ἀνεγειρομένοις τῆς κατ' ἀρετὴν οἰκίας, μεταξὺ πάλιν ἐπιθέσθαι δι' ἀκηδίας καὶ ῥᾳθυμίας· ἔτι δὲ καὶ αὐτὸν ἐπῳκοδομημένον ἤδη τὸν ὄροφον τῶν ἀγαθῶν ἔργων δι' ὑπερηφανίας καὶ ἀπονοίας κατενεγκεῖν. Ἀλλὰ στῆτε, μὴ πτοηθῆτε· εὐπορώτερος γάρ ἐστιν ἐν ἀγαθοῖς ὁ σπουδαῖος καὶ πλείω τὴν ἰσχὺν ἔχει πρὸς ἀντιπαράταξιν τῆς κακίας ἡ ἀρετή, τὴν

ΟΜΙΛΙΑ 2

ΣΤΗΝ ΠΑΡΑΒΟΛΗ ΤΟΥ ΚΥΡΙΟΥ ΠΕΡΙ ΤΟΥ ΤΕΛΩΝΗ ΚΑΙ ΤΟΥ ΦΑΡΙΣΑΙΟΥ[1]

1 φευρετικός εἶναι γιά τό κακό ὁ νοερός προστάτης τῆς κακίας· ἱκανός ν' ἀφαιρέση εὐθύς ἀπό τήν ἀρχή τά θεμέλια τῆς ἀρετῆς πού ἤδη κατατίθενται στήν ψυχή, διά τῆς ἀνελπιστίας καί τῆς ἀπιστίας, ἀλλ' ἐπίσης ἱκανός πάλι νά ἐπιτεθῆ διά τῆς ἀδιαφορίας καί τῆς ραθυμίας ἐναντίον τῶν τοίχων τῆς οἰκίας τῆς ἀρετῆς, τήν ὥρα πού ἀνεγείρονται, ἀκόμη δέ καί νά κρημνίση διά τῆς ὑπερηφανείας καί τῆς παραφροσύνης τόν ὄροφο τῶν ἀγαθῶν ἔργων οἰκοδομημένον ἤδη. Ἀλλά κρατηθῆτε, μή πτοηθῆτε· διότι ὁ ἐπιμελής εἶναι εὐμηχανώτερος στά

1. Λουκᾶ 18,10 ἑ.ἑ

ἄνωθεν πλουτοῦσα χορηγίαν καὶ συμμαχίαν παρ' αὐτοῦ τοῦ τὰ πάντα ἰσχύοντος, καὶ πάντας τοὺς τῆς ἀρετῆς ἐραστὰς ἐνδυναμοῦντος δι' ἀγαθότητα· ὡς μὴ μόνον ἄσειστος διαμένειν τοῖς συνεσκευασμένοις ὑπὸ τοῦ ἀντικειμένου ποικίλοις καὶ πονηροῖς μηχανήμασιν, ἀλλὰ καὶ τοὺς εἰς βάθος ἐμπεσόντας κακῶν ἀνεγείρειν ἔχειν καὶ ἐπανάγειν, καὶ διὰ μετανοίας καὶ ταπεινώσεως τῷ Θεῷ προσάγειν μετ' εὐκολίας.

2 Δεῖγμα δὲ καὶ παράστασις διαρκής· καὶ γὰρ ὁ Τελώνης, τελώνης ὤν, καὶ οἷον τῷ πυθμένι τῆς ἁμαρτίας ἐνδιαιτώμενος, λόγῳ μόνῳ κοινωνήσας τοῖς κατ' ἀρετὴν ζῶσι, καὶ τούτῳ βραχεῖ, κουφίζεται καὶ ὑψοῦται καὶ ὑπερβαίνει πᾶσαν κακίαν, καὶ τῷ χορῷ τῶν δικαίων ἐγκαταλέγεται, παρ' αὐτοῦ δεδικαιωμένος τοῦ ἀδεκάστου Κριτοῦ. Εἰ δὲ καὶ ὁ Φαρισαῖος λόγῳ καταδικάζεται, ἀλλὰ Φαρισαῖος ὤν, καὶ δοκῶν εἶναί τις ἑαυτῷ, ἀλλ' οὐκ ὢν δίκαιος ἐπ' ἀληθείας, καὶ θρασυστομῶν οὐκ ὀλίγα, ἐν οἷς οὐκ ἐλάττω τῶν συλλαβῶν τὰ τὸν Θεὸν παροργίζοντα.

3 Διατί δὲ ἡ μὲν ταπείνωσις πρὸς ὕψος ἀνάγει δικαιοσύνης, ἡ δὲ οἴησις πρὸς βυθὸν κατάγει τῆς ἁμαρτίας; Διότι ὁ μὲν οἰόμενος ἑαυτὸν εἶναί τινα μέγαν, καὶ ταῦτα ἐνώπιον τοῦ Θεοῦ, ἐγκαταλιμπάνεται δικαίως ὑπὸ Θεοῦ, ὡς μὴ τῆς παρ' ἐκείνου δοκῶν χρῄζειν ἐπικουρίας· ὁ δὲ μηδὲν οἰόμενος ἑαυτόν, καὶ διὰ τοῦτο βλέπων εἰς τοὺς ἄνωθεν οἰκτιρμούς, τυγχάνει δικαίως τῆς παρὰ τοῦ Θεοῦ συμπαθείας καὶ βοηθείας καὶ χάριτος· «Κύριος», γάρ φησιν, «ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν».

---

2. Παροιμ. 3,3ε.

ἀγαθά καί ἡ ἀρετή ἔχει περισσότερη ἰσχύ γι' ἀντιπαράταξι πρός τήν κακία, ἀφοῦ διαθέτει τήν ἄνωθεν χορηγία καί συμμαχία ἀπό τόν ἴδιο τόν δυνάμενο τά πάντα καί ἐνδυναμώνοντα ἀπό ἀγαθότητα ὅλους τούς ἐραστάς τῆς ἀρετῆς. Ἔτσι ἡ ἀρετή ὄχι μόνο παραμένει ἀδιάσειστος ἀπό ποικίλα πονηρά μηχανήματα πού παρασκευάζει ὁ Ἀντικείμενος, ἀλλά μπορεῖ καί νά σηκώση καί ἐπαναφέρη ὅσους ἔπεσαν στό βυθό τῶν κακῶν καί νά τούς προσαγάγη εὔκολα στόν Θεό μέ τήν μετάνοια καί τήν ταπείνωσι.

2 Δεῖγμα δέ καί διαρκής ἀπόδειξις εἶναι τοῦτο. Πραγματικά ὁ Τελώνης, ἐνῶ εἶναι τελώνης καί, μποροῦμε νά εἰποῦμε, ἐνῶ ζῆ στόν πυθμένα τῆς ἁμαρτίας, ἐλαφρώνεται ἁπλῶς, ἀφοῦ ἐκοινώνησε πρός τούς ἐναρέτως ζῶντας μέ μόνο τόν λόγο, κι' αὐτόν σύντομο, ἀνυψώνεται καί ὑπερβαίνει κάθε κακία καί, δικαιωμένος ἀπό τόν ἀδέκαστο κριτή τόν ἴδιο, συγκαταλέγεται στό χορό τῶν δικαίων. Ἐάν δέ καί ὁ Φαρισαῖος γιά λόγο καταδικάζεται, παθαίνει τοῦτο διότι εἶναι φαρισαῖος καί νομίζει ὅτι εἶναι κάποιος ἀφ' ἑαυτοῦ, καί ὄχι διότι εἶναι πραγματικά δίκαιος· καταδικάζεται διότι ἐκφέρει αὐθάδη λόγια, ἀνάμεσα στά ὁποῖα ἐκεῖνα πού παροργίζουν τόν Θεό δέν εἶναι λιγώτερα ἀπό αὐτά τά λόγια.

3 Γιατί δέ ἡ μέν ταπείνωσις ἀνεβάζει στό ὕψος τῆς δικαιοσύνης, ἡ δέ ὑπεροψία κατεβάζει πρός τόν βυθό τῆς ἁμαρτίας; Διότι αὐτός πού νομίζει ὅτι εἶναι κάποιος σπουδαῖος, καί μάλιστα ἐνώπιον τοῦ Θεοῦ, δικαίως ἐγκαταλείπεται ἀπό τόν Θεό, ἀφοῦ ἔχει τή γνώμη ὅτι δέν χρειάζεται τήν βοήθειά του· αὐτός δέ πού θεωρεῖ τόν ἑαυτό του μηδαμινό καί γι' αὐτό ἀποβλέπει στήν ἄνωθεν εὐσπλαγχνία, δικαίως ἐπιτυγχάνει τήν ἀπό τόν Θεό συμπάθεια καί βοήθεια καί χάρι· διότι λέγει, «ὁ Κύριος ἀντιτάσσεται στούς ὑπερηφάνους, ἐνῶ στούς ταπεινούς δίδει χάρι»[2].

4 Καὶ τοῦτο δεικνὺς διὰ παραβολῆς ὁ Κύριος, «ἄνθρωποι», φησί, «δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι· ὁ εἷς Φαρισαῖος, καὶ ὁ ἕτερος Τελώνης». Θέλων ἐναργῶς παραστῆσαι τὸ ἐκ τῆς ταπεινώσεως κέρδος καὶ τὴν ἐκ τῆς ὑπερηφανίας ζημίαν, εἰς δύο διεῖλε πάντας τοὺς τῷ ἱερῷ προσιόντας, μᾶλλον δὲ τοὺς εἰς αὐτὸ ἀνιόντας, οὗτοι δέ εἰσιν οἱ προσευχῆς ἕνεκα τῷ τοῦ Θεοῦ ναῷ προσιόντες. Τοιαύτη γὰρ ἡ τῆς προσευχῆς φύσις· ἀπὸ γῆς εἰς οὐρανὸν ἀνάγει τὸν ἄνθρωπον, καὶ πᾶν ἐπουράνιον ὑπερβᾶσα καὶ ὄνομα καὶ ὕψωμα καὶ ἀξίωμα, αὐτῷ παρίστησι τοῦτον τῷ ἐπὶ πάντων Θεῷ. Ἦν δὲ καὶ τὸ ἱερὸν ἐκεῖνο τὸ παλαιὸν ἐφ' ὑψηλοῦ κείμενον, ἐν μετεώρῳ τῆς πόλεως, ἐφ' οὗ ποτε λόφου θανάτου τὴν Ἱερουσαλὴμ ἀναλίσκοντος, τὸν θανατηφόρον ἄγγελον ἰδὼν ὁ Δαβὶδ ἐσπασμένον ρομφαίαν κατὰ τῆς πόλεως, ἀναβὰς ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ Κυρίῳ καὶ ἀνήνεγκεν ἐπ' αὐτοῦ τῷ Θεῷ θυσίαν καὶ ἐπεσχέθη ἡ θραῦσις. Εἰς τύπον καὶ ταῦτα τῆς κατὰ τὴν ἱερὰν προσευχὴν σωτηρίου καὶ πνευματικῆς ἀναβάσεως καὶ τοῦ δι' αὐτῆς ἱλασμοῦ (τυπικὰ γὰρ ἦν ἐκεῖνα πάντα πρὸς σωτηρίαν ἡμῶν), εἰ δὲ βούλει, καὶ εἰς τύπον τῆς καθ' ἡμᾶς ταύτης ἱερᾶς Ἐκκλησίας, ἥτις ὄντως ἐφ' ὑψηλοῦ κεῖται, ἀγγελικός τις ἄλλος οὖσα καὶ ὑπερκόσμιος χῶρος, ἐν ᾧ πρὸς ἐξιλασμὸν τοῦ κόσμου παντός, καὶ θανάτου θραῦσιν, καὶ ζωῆς ἀθανάτου περιουσίαν, τὸ ἀναίμακτον καὶ μέγα καὶ ὄντως εὐπρόσδεκτον τῷ Θεῷ ἀναφέρεται θῦμα.

5 Διὰ ταῦτα τοίνυν οὐκ εἶπεν ἄνθρωποι δύο 'προσῆλθον' τῷ ἱερῷ, ἀλλ' «ἀνέβησαν» εἰς τὸ ἱερόν. Εἰσὶ δὲ καὶ νῦν οἱ πρὸς τὴν ἱερὰν Ἐκκλησίαν ἐρχόμενοι, οὐκ αὐτοὶ ἀναβαίνουσιν, ἀλλὰ κατα-

3. Λουκᾶ 18,10.

4 Ἀποδεικνύοντας τοῦτο ὁ Κύριος μέ παραβολή λέγει· «δύο ἄνθρωποι ἀνέβηκαν στό ἱερό· ὁ ἕνας φαρισαῖος καί ὁ ἄλλος τελώνης»[3]. Θέλοντας νά παραστήση ἐναργῶς τό ἀπό τήν ταπείνωσι κέρδος καί τήν ἀπό τήν ὑπερηφάνεια ζημία, διήρεσε σέ δύο ὅλους τούς προσερχομένους στόν ναό, μᾶλλον δέ τούς ἀνερχομένους σ' αὐτόν[4], πού εἶναι οἱ προσερχόμενοι γιά προσευχή στόν ναό τοῦ Θεοῦ· διότι τέτοια εἶναι ἡ φύσις τῆς προσευχῆς· ἀνεβάζει τόν ἄνθρωπο ἀπό τή γῆ στόν οὐρανό καί ὑπερβαίνοντας κάθε ἐπουράνιο, ὄνομα καί ὕψωμα καί ἀξίωμα, τόν παρουσιάζει στόν ἴδιο τόν Θεό τοῦ παντός. Ἄλλωστε καί ὁ παλαιός ἐκεῖνος ναός εὑρισκόταν σέ ὕψωμα, σέ λόφο τῆς πόλεως. Ἐπάνω σ' αὐτόν τόν λόφο, ὅταν κάποτε τό θανατικό ἀφάνιζε τήν Ἰερουσαλήμ, ὁ Δαβίδ εἶδε τόν θανατηφόρο ἄγγελο νά κινῆ τήν ρομφαία κατά τῆς πόλεως, ἀνέβηκε ἐκεῖ καί οἰκοδόμησε θυσιαστήριο στόν Κύριο· προσέφερε στόν Θεό θυσία καί ἐσταμάτησε ἡ φθορά[5]. Αὐτά ἀποτελοῦσαν τύπο τῆς σωτηριώδους καί πνευματικῆς ἀναβάσεως κατά τήν ἱερά προσευχή καί τοῦ δι' αὐτῆς ἱλασμοῦ (διότι ὅλα ἐκεῖνα ἦσαν προτυπωτικά γιά τήν σωτηρία μας), ἐάν δέ θέλης, καί τύπο τῆς ἱερᾶς αὐτῆς Ἐκκλησίας μας, ἡ ὁποία πραγματικά εὑρίσκεται ἐπάνω σέ ὕψος, σάν ἄλλος ἀγγελικός καί ὑπερκόσμιος χῶρος, ἐπάνω στόν ὁποῖο, πρὸς ἐξιλασμόν ὅλου τοῦ κόσμου, καταστροφή τοῦ θανάτου καί ἀφθονία ἀθάνατης ζωῆς, προσφέρεται ἄνω στόν Θεό ἡ ἀναίμακτη, ἡ μεγάλη καί πραγματικά εὐπρόσδεκτη θυσία.

5 Γι' αὐτό λοιπόν δέν εἶπε, ὅτι δύο ἄνθρωποι 'προσῆλθαν' στόν ναό, ἀλλά «ἀνέβηκαν» στόν ναό. Ὑπάρχουν βέβαια καί τώρα μερικοί πού, ἐρχόμενοι στήν Ἐκκλησία, δέν ἀνεβαίνουν

---

4. Ὁ ναός τῶν Ἱεροσολύμων ἦταν κτισμένος ἐπάνω στὸν λόφο Μορία. Ἔτσι οἱ ἐρχόμενοι σ' αὐτὸν ἀνέβαιναν.

5. Β΄ Βασ. 24,16 ἑ.ἑ. Ἐκεῖ ἀργότερα ἀνήγειρε ὁ Σολομὼν τὸν ναό.

σπῶσι μᾶλλον τὴν τὸν οὐρανὸν εἰκονίζουσαν Ἐκκλησίαν, οἵτινές εἰσιν οἱ συντυχίας χάριν καὶ ὁμιλίας τῆς πρὸς ἀλλήλους παραγινόμενοι, καὶ οἱ τὰ ὤνια προτιθέντες καὶ ἀγοράζοντες· ἐοίκασι γὰρ ἀλλήλοις, οἱ μὲν γὰρ ὠνήν, οἱ δὲ λόγους διδόντες ἀντιλαμβάνουσι τὰ κατάλληλα. Οὕς, ὥσπερ τοῦ ἱεροῦ ἐκείνου παντελῶς ὁ Κύριος ἔξωσέ ποτε, πρὸς αὐτοὺς εἰπών, «ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν», οὕτω καὶ τῶν οἰκείων τούτων λόγων ἐξέβαλεν, ὡς μὴ ἀναβαίνοντας εἰς τὸ ἱερὸν ὅλως, κἂν ἑκάστης ἡμέρας ἔρχωνται.

6 *Ὁ δὲ Φαρισαῖος καὶ ὁ Τελώνης ἀνέβησαν εἰς τὸ ἱερόν· ἀμφοτέροις γὰρ εἷς ἦν σκοπὸς τὸ προσεύξασθαι, εἰ καὶ ὁ Φαρισαῖος μετὰ τὴν ἄνοδον κατήνεγκεν ἑαυτόν, ὑπὸ τοῦ τρόπου περιτραπείς· σκοπὸς μὲν γὰρ αὐτοῖς τῆς ἀναβάσεως ὁ αὐτὸς (προσεύξασθαι γὰρ ἀνέβησαν), ὁ δὲ τρόπος ἀντίθετος· ὁ μὲν γὰρ συντετριμμένος καὶ τεταπεινωμένος ἀνήρχετο, παρὰ τοῦ ψαλμῳδοῦ προφήτου μαθών, ὅτι «καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει», ἐπεὶ καὶ αὐτὸς περὶ ἑαυτοῦ φησιν ὁ προφήτης, πάντως διὰ πείρας εἰδώς, «ἐταπεινώθην καὶ ἔσωσέ με ὁ Κύριος». Καὶ τί λέγω τὸν προφήτην; ὁ γὰρ τῶν προφητῶν Θεὸς καθ' ἡμᾶς δι' ἡμᾶς γενόμενος ἐταπείνωσεν ἑαυτόν, καθά φησιν ὁ ἀπόστολος· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν. Ὁ δὲ Φαρισαῖος μέγα φυσῶν καὶ*

---

6. Ματθ. 21,13.
7. Ψαλμ. 50,19.

αὐτοί, ἀλλά μᾶλλον καταρρίπτουν τήν Ἐκκλησία πού εἰκονίζει τόν οὐρανό· αὐτοί εἶναι ὅσοι προσέρχονται γιά χάρι συναναστροφῆς καί συνομιλίας μεταξύ των, καθώς καί ὅσοι προσφέρουν καί ἀγοράζουν ψώνια· πραγματικά ὁμοιάζουν μεταξύ τους, ἀφοῦ δίδοντας αὐτοί μὲν ψώνια, ἐκεῖνοι δέ λόγους, παίρνουν ἀντί αὐτῶν τά κατάλληλα. Αὐτούς ὁ Κύριος, ὅπως παλαιά τούς ἐξέβαλε ἐντελῶς ἀπό τόν ναό ἐκεῖνον, λέγοντάς τους, «ὁ οἶκος μου καλεῖται οἶκος προσευχῆς, σεῖς ὅμως τόν κατεστήσατε σπήλαιο ληστῶν»[6], ἔτσι τοὺς ἐξέβαλε καί ἀπό τά λόγια τους αὐτά, διότι δέν ἀνεβαίνουν καθόλου στόν ναό, ἔστω καί ἄν ἔρχωνται καθημερινῶς.

6 Ὁ Φαρισαῖος πάντως καί ὁ Τελώνης ἀνέβηκαν στόν ναό· διότι ἕνα σκοπό εἶχαν καί οἱ δύο, νά προσευχηθοῦν, ἄν καί ὁ Φαρισαῖος μετά τήν ἄνοδο κατέρριψε τόν ἑαυτό του, ἀνατρεπόμενος ἀπό τόν τρόπο. Διότι ἦταν μέν ὁ σκοπός τῆς ἀναβάσεώς των ὁ ἴδιος, ἀφοῦ ἀνέβηκαν νά προσευχηθοῦν, ἀλλ' ὁ τρόπος τῆς προσευχῆς ἦταν ἀντίθετος. Ὁ ἕνας δηλαδή ἀνέβαινε συντετριμμένος καὶ ταπεινωμένος, διότι ἐδιδάχθηκε ἀπό τόν ψαλμωδό προφήτη ὅτι ὁ Θεός δέν θά περιφρονήση μιά συντετριμμένη καί ταπεινωμένη καρδιά[7], ἀφοῦ καί αὐτός ὁ προφήτης λέγει γιά τόν ἑαυτό του, γνωρίζοντάς το φυσικά ἀπό τήν πεῖρα του, «ἐταπεινώθηκα, καί μ' ἔσωσε ὁ Κύριος»[8]. Καί τί περιορίζομαι στόν προφήτη; Διότι ὁ Θεός τῶν προφητῶν πρός χάρι μας ἐταπείνωσε τόν ἑαυτό του γενόμενος σάν ἐμᾶς, καθώς λέγει ὁ ἀπόστολος, «γι' αὐτό ὁ Θεός τόν ὑπερύψωσε»[9]. Ὁ δὲ Φαρισαῖος ἀνεβαίνει ὑπερβολικά φουσκωμένος καί ἀλαζονευόμενος, μέ τήν ἰδέα ὅτι θά αὐτοδικαιωθῆ· καί μάλιστα ἐνώπιον τοῦ Θεοῦ, ἐμ-

8. Ψαλμ. 114,6.
9. Φιλιπ. 2,8.

ἁλαζονευόμενος ἄνεισιν, ὡς καὶ δικαιώσων ἑαυτόν· καὶ ταῦτα ἐνώπιον τοῦ Θεοῦ, παρ' ᾧ πᾶσα δικαιοσύνη ἡμῶν, ὡς ῥάκος ἀποκαθημένης· οὐ γὰρ ἤκουσε τοῦ λέγοντος, «ἀκάθαρτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος», καὶ «Κύριος ὑπερηφάνοις ἀντιτάσσεται», καὶ «οὐαὶ οἱ δικαιοῦντες ἑαυτοὺς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες».

7 Οὐ μόνον δὲ τὸ ἦθος καὶ ὁ τρόπος αὐτοὺς διεῖλε διάφορος ὤν, ἀλλὰ καὶ τὸ τῆς προσευχῆς εἶδος· διπλοῦν γὰρ καὶ τοῦτο· προσευχὴ γάρ ἐστιν οὐ δεήσεως μόνον, ἀλλὰ καὶ εὐχαριστίας πρόβλημα· καὶ ὁ μὲν τῶν προσευξομένων ἄνεισι πρὸς τὸν τοῦ Θεοῦ ναόν, δοξάσων καὶ εὐχαριστήσων τῷ Θεῷ, ὑπὲρ ὧν ἔλαβε παρ' αὐτοῦ, ὁ δὲ αἰτήσων ἅπερ οὔπω ἔλαβεν, ὧν καὶ μάλιστα τῆς ἑκάστης ὥρας καθ' ἡμᾶς ἁμαρτάνουσιν ἔτι καὶ ἡ τῶν ἁμαρτημάτων ἄφεσις· ἡ γὰρ ὑπόσχεσις τῶν παρ' ἡμῶν τῷ Θεῷ κατ' εὐσέβειαν προσφερομένων, οὐ προσευχήν, ἀλλ' εὐχὴν ἔχει τὴν ἐπωνυμίαν· καὶ τοῦτ' ἐδήλωσεν ὁ εἰπών, «Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν», καὶ ὁ λέγων, «Κρεῖσσον μὴ εὔξασθαι ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι».

8 Ἀλλὰ τὸ διπλοῦν ἐκεῖνο τῆς προσευχῆς εἶδος, διπλῆν ἔχει καὶ τὴν ἀχρείωσιν τοῖς μὴ προσέχουσι· τὴν μὲν γὰρ ὑπὲρ ἀφέσεως ἁμαρτημάτων προσευχήν τε καὶ δέησιν ἀνύσιμον μὲν ποιεῖ μετὰ τὴν ἀποχὴν τῶν κακῶν ἡ πίστις καὶ ἡ κατάνυξις, ἀνήνυτον δὲ ἡ ἀπόγνωσις καὶ ἡ πώρωσις. Τὴν δὲ ὑπὲρ ὧν εὖ παρὰ Θεοῦ πεπόνθαμεν εὐχαριστίαν, εὐπρόσδεκτον μὲν ἡ ταπείνωσις ποιεῖ, καὶ τὸ

10. Παροιμ.16,5.
11. Παροιμ. 2,24.
12. Ἡσ. 5,21.

πρός στόν όποῖο ὅλη ἡ δική μας δικαιοσύνη εἶναι σάν ράκος ἐμμηνορροούσης· διότι δέν ἄκουσε τόν λέγοντα, «κάθε ὑπερόπτης εἶναι ἀκάθαρτος ἐνώπιον τοῦ Κυρίου»[10], καί «ὁ Κύριος ἀντιτάσσεται στούς ὑπερηφάνους»[11], καί «ἀλλοίμονο σ' αὐτούς πού αὐτοδικαιώνονται καί κατά τόν ἑαυτό τους εἶναι ἐπιστήμονες»[12].

7 Δέν τούς διεχώρισε μόνο τό ἦθος καί ὁ τρόπος, πού ἦταν διάφορος σ' αὐτούς, ἀλλά καί τό εἶδος τῆς προσευχῆς, πού ἦταν ἐπίσης διπλό. Πραγματικά ἡ προσευχή δέν εἶναι θέμα δεήσεως μόνο, ἀλλά καί εὐχαριστίας. Ὁ ἕνας ἀπό τούς προσευχομένους ἀνεβαίνει στόν ναό τοῦ Θεοῦ γιά νά δοξάση κι' εὐχαριστήση τόν Θεό γιά ὅσα ἔλαβε ἀπό αὐτόν, ὁ δέ ἄλλος γιά νά ζητήση ὅσα δέν ἔλαβε ἀκόμη, μεταξύ τῶν ὁποίων εἶναι καί ἡ ἄφεσις τῶν ἁμαρτημάτων, καί μάλιστα γιά τούς ἁμαρτάνοντας κάθε ὥρα στίς ἡμέρες μας. Ἀπό τό ἄλλο μέρος ἡ ὑπόσχεσις τῶν ἀπό ἐμᾶς εὐσεβῶς προσφερομένων στόν Θεό δέν ὀνομάζεται προσευχή ἀλλά εὐχή· καί τοῦτο τό ἐδήλωσε ἐκεῖνος πού εἶπε, «κάμετε εὐχή, καί ἀποδώσετέ την στόν Κύριο τόν Θεό μας»[13], καί αὐτός πού λέγει «καλύτερο εἶναι νά μή κάμης εὐχή, παρά νά κάμης καί νά μή τήν ἐκτελέσης»[14].

8 Ἀλλά τό διπλό ἐκεῖνο εἶδος τῆς προσευχῆς ἔχει διπλῆ καί τήν ἀχρείωσι γιά τούς ἀπροσέκτους. Δηλαδή τήν μέν μία τήν καθιστᾶ ἀποτελεσματική ὑπέρ ἀφέσεως τῶν ἁμαρτημάτων προσευχή καί δέησι ἡ πίστις καί ἡ κατάνυξις μετά τήν ἀποχή ἀπό τά κακά, ἀνενεργό δέ ἡ ἀπόγνωσις καί ἡ πώρωσις. Τήν ἄλλη τήν κάμουν εὐπρόσδεκτη εὐχαριστία γιά ὅσα ἔχομε εὐεργετηθῆ

13. Ψαλμ. 75,11.
14. Ἐκκλ. 5,4.

μὴ κατεπαίρεσθαι τῶν οὐκ ἐχόντων, ἀπρόσδεκτον δὲ ἡ ἐπὶ τούτοις ἔπαρσις, ὡς οἰκείᾳ σπουδῇ καὶ γνώσει προσγινομένοις, καὶ ἡ πρὸς τοὺς μὴ κεκτημένους κατάκρισις. Ἅπερ ἄμφω νοσῶν ὁ Φαρισαῖος, παρ' ἑαυτοῦ καὶ τῶν οἰκείων λόγων ἐλέγχεται· ἀναβὰς γὰρ εἰς τὸ ἱερόν, εὐχαριστήσων οὐ δεηθησόμενος, ἔπαρσιν καὶ κατάκρισιν ἀφρόνως τε καὶ ἀθλίως τῇ πρὸς Θεὸν εὐχαριστίᾳ κατέμιξε. Σταθεὶς γάρ φησίν, οὗτος πρὸς ἑαυτὸν ταῦτα προσηύχετο «ὁ Θεὸς εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί».

9 Τὸ στῆναι τὸν Φαρισαῖον οὐ τὴν δουλικὴν παράστασιν, ἀλλὰ τὴν ἀπηρυθριασμένην ἀνάτασιν δηλοῖ, τὴν ἀντικειμένην τῷ μὴ δὲ τοὺς ὀφθαλμοὺς θαρροῦντι πρὸς οὐρανὸν ὑπὸ ταπεινώσεως ἆραι. Εἰκότως δὲ πρὸς ἑαυτὸν ὁ Φαρισαῖος προσηύχετο· οὐ γὰρ ἀνέβαινε πρὸς τὸν Θεόν, εἰ καὶ οὐκ ἐλάνθανε τὸν καθήμενον ἐπὶ τῶν Χερουβίμ, καὶ ἐπιβλέποντα τὰ ἔσχατα τῶν ἀβύσσων, ἡ αὐτοῦ τοιαύτη προσευχή· «εὐχαριστῶ σοι» γὰρ εἰπών, οὐκ ἐπήνεγκεν, ὅτι δωρεάν, ὡς ἀσθενῆ πρὸς ἀντιπαράταξιν, ἐλεήσας ἔδωκάς μοι τὴν ἀπὸ τῶν τοῦ πονηροῦ παγίδων ἐλευθερίαν· ἀνδρεῖον γὰρ ἔστι κατὰ ψυχήν, ἀδελφοί, τὸ κρατηθέντα ταῖς τοῦ ἐχθροῦ πάγαις, καὶ περιπεσόντα τοῖς βρόχοις τῆς ἁμαρτίας, δυνηθῆναι τῇ μετανοίᾳ διαφυγεῖν. Διὰ τοῦτο προνοίᾳ μείζονι τὰ καθ' ἡμᾶς διευθύνεται, καὶ πολλάκις μικρὸν ἢ μηδὲν σπουδάσαντες, πολλῶν καὶ μεγάλων παθῶν ἀνώτεροι σὺν Θεῷ διεμείναμεν, συμπαθῶς κουφισθέντες διὰ τὴν ἡμε-

15. Λουκᾶ 18,11.

ἀπό τόν Θεό ἡ ταπείνωσις καί ἡ ἀποφυγή ἐπάρσεως ἀπέναντι στούς στερουμένους, ἀπαράδεκτη δέ ἡ ἔπαρσις γι' αὐτά, σάν νά ἀποκτήθηκαν μέ ἰδική μας προσπάθεια καί γνῶσι, καί ἡ κατάκρισις ἐναντίον αὐτῶν πού δέν ἔχουν πράγματα. Ὅτι δέ εἶναι ἄρρωστος καί στά δύο αὐτά ὁ Φαρισαῖος, ἐλέγχεται ἀπό τόν ἑαυτό του καί τά λόγια του. Διότι, ἐνῶ ἀνέβηκε στόν ναό γιά νά εὐχαριστήση, ὄχι νά δεηθῆ, μέ τήν εὐχαριστία πρός τόν Θεό ἀνέμιξε ἀφρόνως καί ἀθλίως ἔπαρσι καί κατάκρισι. Διότι, λέγει, ἀφοῦ ἐστάθηκε καθ' ἑαυτόν, προσευχήθηκε τά ἑξῆς· «Θεέ, σ' εὐχαριστῶ, πού δέν εἶμαι ὅπως οἱ ἄλλοι ἄνθρωποι, ἅρπαγες, ἄδικοι, μοιχοί»[15].

9 Ἡ στάσις τοῦ Φαρισαίου δέν δηλώνει τήν δουλική παράστασι, ἀλλά τήν ἀδιάντροπη ὑπεροψία, πού εἶναι ἀντίθετη πρός ἐκεῖνον πού ἀπό ταπείνωση δέν ἔχει τό θάρρος οὔτε τούς ὀφθαλμούς νά ὑψώση πρὸς τὸν οὐρανό. Εὐλόγως δέ προσευχόταν καθ' ἑαυτόν ὁ Φαρισαῖος· διότι δέν ἀνέβηκε πρός τόν Θεό, ἄν καί δέν ἀγνοοῦσε τόν καθήμενο ἐπάνω στά Χερουβίμ καί ἐπιβλέποντα τά τελευταῖα σημεῖα τῶν ἀβύσσων. Ἡ προσευχή του ἦταν ὡς ἑξῆς. Ἀφοῦ εἶπε, «σ' εὐχαριστῶ», δέν προσέθεσε, διότι ἀπό εὐσπλαγχνία, σάν σέ ἀσθενῆ ν' ἀντιπαραταχθῆ, μοῦ ἔδωσες δωρεάν τήν ἀπαλλαγή ἀπό τίς παγίδες τοῦ πονηροῦ. Διότι, ἀδελφοί, εἶναι ἀνδρεῖο κατά τήν ψυχή, τό νά κατορθώση κανείς, ἀφοῦ ἐπιάσθηκε στίς παγίδες τοῦ ἐχθροῦ καί ἔπεσε στούς βρόχους τῆς ἁμαρτίας, νά διαφύγη μέ τήν μετάνοια. Γι' αὐτό οἱ ὑποθέσεις μας διευθύνονται ἀπό ἀνωτέρα πρόνοια καί πολλές φορές, ἐνῶ καταβάλαμε μικρή ἤ καθόλου προσπάθεια, ἐμείναμε μέ τή βοήθεια τοῦ Θεοῦ ἀνώτεροι πολλῶν καί μεγάλων παθημάτων, ἀνακουφισθέντες ἀπό συμπάθεια λόγω τῆς ἀσθενείας μας. Καί πρέπει ν' ἀναγνωρίζωμε τήν δωρεά καί νά

τέραν ἀσθένειαν· καὶ δεῖ τῆς δωρεᾶς ἐπιγνώμονας ἡμᾶς εἶναι, καὶ ταπεινοῦσθαι τοῦ παρασχόντος ἐνώπιον, ἀλλὰ μὴ ἐπαίρεσθαι.

10 Ὁ δὲ Φαρισαῖος, «εὐχαριστῶ σοι», φησίν, ὁ Θεός· οὐχ ὅτι ἔλαβον βοήθειάν τινα παρὰ σοῦ, ἀλλ' «ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων»· ὡς ἂν οἴκοθεν καὶ παρ' ἑαυτοῦ καὶ ἐξ οἰκείας ἔχων δυνάμεως τὸ μὴ εἶναι ἅρπαξ, καὶ μοιχὸς καὶ ἄδικος εἴπερ ἄρα καὶ οὐκ ἦν· οὐ γὰρ προσεῖχεν ἑαυτῷ, ἵνα δίκαιος εἴη πιστεύεσθαι περὶ ἑαυτοῦ λέγων, ἀλλὰ πάντας μᾶλλον ἔβλεπεν, ἢ ἑαυτόν, καὶ πάντας, ὢ τῆς ἀπονοίας, ἐξουδενῶν, ἕνα μόνον ᾤετο δίκαιον εἶναι καὶ σώφρονα, ἑαυτόν· «οὐκ εἰμί», γάρ φησιν, «ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ Τελώνης». Τῆς ἀνοίας εἶπεν ἄν τις πρὸς αὐτόν, καὶ εἰ πλὴν σοῦ, πάντες ἄδικοί τε καὶ ἅρπαγες, τίς ὁ τὴν ἁρπαγὴν καὶ τὴν κάκωσιν ὑφιστάμενος; Τί δὲ καὶ ὁ Τελώνης οὗτος, καὶ ἡ τούτου κατ' ἐξοχὴν προσθήκη; Οὐχ εἷς ὢν ἁπάντων μετὰ τῶν λοιπῶν καὶ οὗτος τῇ παρὰ σοῦ κοινῇ, καὶ ὡς εἰπεῖν οἰκουμενικῇ κατακρίσει συμπεριείληπται; Ἡ διπλασίας ἔδει τούτῳ τῆς καταδίκης, ὡς ὑπὸ τοὺς φαρισαϊκοὺς σοὺς ὀφθαλμούς, εἰ καὶ μακρὰν ἑστῶτι; Ἄλλως τε καὶ τελώνην μὲν ὑπάρχοντα φανερῶς, ἄδικον ἤδεις ὄντα, μοιχὸν δὲ πόθεν; Ἢ σὲ τοῦτον ἀδικεῖν καὶ προπηλακίζειν ἀνεύθυνον, ἐπειδή περ οὗτος ἄλλους ἠδίκει; Οὐκ ἔστι τοῦτο οὐκ ἔστιν, ἀλλ' οὗτος μὲν φέρων ἐν ταπεινῷ τῷ φρονήματι τὴν σὴν ὑπερήφανον κατηγορίαν, καὶ τῷ Θεῷ προσφέρων σὺν αὐτομεμψίᾳ τὴν ἱκεσίαν, ἀφεθήσεται παρ' αὐτοῦ δικαίως τῆς ὑπὲρ ὧν αὐτὸς ἠδίκησε καταδίκης· σὺ δὲ καταδικασθήσῃ δικαίως, ὑπερηφάνως ἐκείνου τε καὶ πάντων ἀνθρώπων κατηγορῶν, καὶ μόνον ἁπάντων σεαυτὸν δικαιῶν. «Οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί».

τεπεινωνώμαστε ἐνώπιον αὐτοῦ πού τήν ἔκαμε, ἀλλά νά μή κομπάζωμε.

10 Ὁ Φαρισαῖος ὅμως λέγει, «σ' εὐχαριστῶ, Θεέ», ὄχι διότι ἔλαβα καμμιά βοήθεια ἀπό σένα, ἀλλά «διότι δέν εἶμαι ὅπως οἱ ἄλλοι ἄνθρωποι»· σάν νά διέθετε ἀφ' ἑαυτοῦ καὶ ἀπό προσωπική του ἱκανότητα τό προσόν ὅτι δέν ἦταν ἅρπαξ, μοιχός καί ἄδικος, ἄν φυσικά τά διέθετε κιόλας. Δέν ἐπρόσεχε πραγματικά στόν ἑαυτό του, ἀλλά ἔβλεπε περισσότερο ὅλους τούς ἄλλους παρά τόν ἑαυτό του, κι' ἐξουδενώνοντας ὅλους - ποιά παραφροσύνη -, ἕναν μόνο ἐθεωροῦσε δίκαιο καί σώφρονα, τόν ἑαυτό του· «δέν εἶμαι», λέγει, «ὅπως οἱ ἄλλοι ἄνθρωποι, ἅρπαγες, ἄδικοι, μοιχοί, ἤ ὅπως αὐτός ὁ τελώνης». Πόση μωρία, θά μποροῦσε κανείς νά τοῦ εἰπῆ. Καί ἄν ὅλοι ἐκτός ἀπό σένα εἶναι ἄδικοι καί ἅρπαγες, τότε ποιός εἶναι αὐτός πού ὑφίσταται τήν ἁρπαγή καί τήν κάκωσι; Τί συμβαίνει δέ καί μέ αὐτόν τόν τελώνη καί τήν κατ' ἐξοχήν αὐτοῦ προσθήκη στή διήγησι; Ἀφοῦ εἶναι καί αὐτός ἕνας ἀπό ὅλους δέν ἔχει συμπεριληφθῆ μαζί μέ τούς ἄλλους στήν ἀπό σένα κοινή καί θά ἐλέγαμε οἰκουμενική κατάκρισι; Ἤ ἔπρεπε αὐτός νά ὑποστῆ διπλῆ καταδίκη, κρινόμενος ἀπό τούς φαρισαϊκούς ὀφθαλμούς σου, ἄν καί ἐστεκόταν μακριά σου; Ἄλλωστε ὅτι ἦταν ἄδικος, τό ἐγνώριζες, ἀφοῦ ἦταν φανερά τελώνης, ὅτι ὅμως ἦταν μοιχός, ἀπό ποῦ τό ἐγνώριζες; Ἤ μήπως δικαιοῦσαι νά τόν ἀδικῆς καί νά τόν προπηλακίζης, ἐπειδή αὐτός ἀδικοῦσε ἄλλους; Δέν εἶναι ἔτσι, δέν εἶναι· ἀλλ' αὐτός μέν βαστάζοντας μέ ταπεινό φρόνημα τήν ὑπερήφανη κατηγορία σου καί προσφέροντας στόν Θεό μέ αὐτομεμψία τήν ἱκεσία, θ' ἀπαλλαγῆ ἀπό αὐτόν τῆς καταδίκης δικαίως δι' ὅσα ἀδίκησε, ἐσύ δέ θά καταδικασθῆς δικαίως, διότι κατηγορεῖς ὑπεροπτικῶς ἐκεῖνον καί ὅλους τούς ἀνθρώπους, καί ἀπό ὅλους μόνο τόν ἑαυτό σου δικαιώνεις. «Δέν εἶμαι ὅπως οἱ ἄλλοι ἄνθρωποι, ἅρπαγες, ἄδικοι, μοιχοί».

11 Ταῦτα τὰ ῥήματα καὶ τὴν πρὸς τὸν Θεὸν καὶ τὴν πρὸς πάντας ἀνθρώπους ὑπεροψίαν τοῦ Φαρισαίου παρίστησι, πρὸς δὲ καὶ τὸ κάνον τῆς αὐτοῦ συνειδήσεως· τούς τε γὰρ ἀνθρώπους κοινῇ πάντας ἐξουδενεῖ φανερῶς, καὶ τὴν τῶν κακῶν ἀποχὴν οὐ τῇ τοῦ Θεοῦ, ἀλλὰ τῇ καθ' ἑαυτὸν δυνάμει προσμαρτυρεῖ. Εἰ δὲ εὐχαριστεῖν φησιν, ἀλλὰ τάχα διὰ τοῦτο, καὶ πλὴν αὐτοῦ πάντας ἀνθρώπους ἀκολάστους εἶναι νομίζει καὶ ἀδίκους καὶ ἅρπαγας, ὡς μηδενί, πλὴν αὐτῷ, ἀξιοῦντος τοῦ Θεοῦ τὴν ἀρετὴν παρασχεῖν. Ἀλλ' εἰ πάντες οἱ λοιποὶ τοιοῦτοι, τὰ τοῦ Φαρισαίου τούτου προκεῖσθαι τούτοις πᾶσι πρὸς διαρπαγὴν ἐχρῆν. Οὐ φαίνεται δὲ οὕτως· ἐπάγει γὰρ αὐτός, ὅτι «νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι». Οὐχ ὅσα κέκτηταί φησιν ἀποδεκατοῦν, ἀλλ' ὅσα κτᾶται, τὰς προσθήκας καὶ τὰς ἐπαυξήσεις τῆς οἰκείας περιουσίας διὰ τούτου δηλῶν. Οὐκοῦν εἶχε μὲν ἅπερ ἐκέκτητο, προσελάμβανε δὲ ἀναπηρεάστως ἅπερ ἐδύνατο· πῶς οὖν χωρὶς αὐτοῦ πάντες ἥρπαζον καὶ ἠδίκουν; Οὕτως αὐτέλεγκτόν ἐστιν καὶ αὐτεπίβουλον ἡ κακία! οὕτως ἐστὶ συγκεκραμμένον ἀεὶ τὸ ψεῦδος τῇ ἀπονοίᾳ.

12 Τὴν μὲν οὖν ἀποδεκάτωσιν εἰς παράστασιν ἐκ περιουσίας τῆς οἰκείας δικαιοσύνης προήγαγε· πῶς γὰρ ἅρπαξ ἔσται τῶν ἀλλοτρίων ὁ ἀποδεκατῶν τὰ οἰκεῖα; Τὴν δὲ νηστείαν εἰς τὴν τῆς σωφροσύνης ἐπίδειξιν· ποιητικὴ γὰρ ἁγνείας ἡ νηστεία ἐστίν. Ἔστω τοίνυν, σώφρων ὑπάρχεις καὶ δίκαιος, εἰ δὲ βούλει, καὶ σοφὸς καὶ νουνεχὴς καὶ ἀνδρεῖος καὶ εἴ τι τοιοῦτον ἕτερον· εἰ μὲν παρὰ σεαυτοῦ λαβὼν ἔχεις, καὶ μὴ παρὰ τοῦ Θεοῦ, τί καταψεύδῃ καὶ τοῦ τῆς προσευχῆς σχήματος καὶ εἰς τὸ ἱερὸν ἀναβαίνεις καὶ εὐχαριστεῖν μάτην λέγεις; Εἰ δὲ παρὰ Θεοῦ λαβὼν ἔχεις, οὐκ ἔλα-

11 Αὐτά τά λόγια ἀποδεικνύουν τήν ὑπεροψία τοῦ Φαρισαίου καί πρός τόν Θεό καί πρός ὅλους τούς ἀνθρώπους, ἀλλ' ἐπίσης καί τό ψευδολόγο τῆς συνειδήσεώς του· διότι ἀφ' ἑνός μέν ἐξουθενώνει σαφῶς ὅλους μαζί τούς ἀνθρώπους, ἀφ' ἑτέρου δέ ἀποδίδει τήν ἀποφυγή τῶν κακῶν ὄχι στήν δύναμι τοῦ Θεοῦ, ἀλλά στήν ἰδική του. Ἄν δέ λέγη ὅτι εὐχαριστεῖ, ὁ λόγος εἶναι αὐτός· ὅτι πλήν ἑαυτοῦ νομίζει ὅτι ὅλοι οἱ ἄνθρωποι εἶναι ἀκόλαστοι καί ἄδικοι καί ἅρπαγες, ὡσάν ὁ Θεός νά μή ἀξίωσε κανένα ἄλλον πλήν αὐτοῦ νά τοῦ παράσχη τήν ἀρετή. Ἀλλ' ἄν ὅλοι ἦσαν τέτοιοι, ἔπρεπε σέ ὅλους αὐτούς νά εὑρίσκωνται ἐμπρός των πρός διαρπαγή τά ἀγαθά τοῦ Φαρισαίου τούτου. Δέν φαίνεται ὅμως κάτι τέτοιο· διότι προσθέτει αὐτός, «νηστεύω δυό φορές τό Σάββατο, δίνω τό δέκατο ἀπό ὅλα ὅσα ἀποκτῶ». Δέν λέγει ὅτι δίνει τό δέκατο ἀπό ὅσα κατέχει, ἀλλά ἀπό ὅσα ἀποκτᾶ, δηλώνοντας μέ αὐτό τίς προσθῆκες καί ἐπαυξήσεις τῆς περιουσίας του. Ἑπομένως εἶχε μέν ὅσα κατεῖχε, προσελάμβανε δέ ἀνεμποδίστως ὅσα μποροῦσε. Πῶς λοιπόν ὅλοι οἱ ἄνθρωποι πλήν αὐτοῦ ἅρπαζαν καί ἀδικοῦσαν; Τόσο αὐτοέλεγκτο καί αὐτεπίβουλο πρᾶγμα εἶναι ἡ κακία! Τόσο πολύ ἀνάμικτο μέ τήν παραφροσύνη εἶναι πάντοτε τό ψεῦδος!

12 Τήν μέν ἀποδεκάτισι τῶν εἰσοδημάτων του προέβαλε γιά ν' ἀποδείξη πλήρως τήν δικαιοσύνη του· διότι πῶς μπορεῖ νά εἶναι ἅρπαξ τῶν ξένων ἀγαθῶν αὐτός πού ἀποδεκατίζει τά δικά του; Τήν δέ νηστεία προέβαλε γιά τήν ἐπίδειξι τῆς σωφροσύνης· διότι ἡ νηστεία εἶναι πρόξενος τῆς ἁγνείας. Ἔστω λοιπόν, εἶσαι σώφρων καί δίκαιος, ἄν δέ θέλης, καί σοφός καί νουνεχής καί ἀνδρεῖος καί ὅ,τι ἄλλο παρόμοιο· ἄν μέν τό ἀπέκτησες ἀπό τόν ἑαυτό σου, καί ὄχι ἀπό τόν Θεό, γιατί προσφεύγεις ψευδῶς στό σχῆμα τῆς προσευχῆς κι' ἀνεβαίνεις στόν ναό καί λέγεις ματαίως ὅτι προσφέρεις εὐχαριστία; Ἄν δέ τό ἀπέκτησες ἀπό τόν Θεό, δέν τό ἔλαβες γιά νά κομπάζης, ἀλλά γιά νά

βες ἵνα κομπάζῃς, ἀλλ' ἵνα πρὸς οἰκοδομὴν τοῖς ἄλλοις ὑπάρχῃς εἰς δόξαν τοῦ παρασχόντος. Χαίρειν οὖν ὡς ἀληθῶς ἔδει σὺν ταπεινώσει καὶ εὐχαριστεῖν καὶ τῷ δόντι καὶ δι' οὓς ἔλαβεν· οὐ γὰρ ὑπὲρ ἑαυτῆς μᾶλλον ἢ διὰ τοὺς ὁρῶντας ἡ λαμπὰς λαμβάνει τὸ φῶς. Σάββατον δέ φησιν ὁ Φαρισαῖος οὐ τὴν ἑβδόμην ἡμέραν, ἀλλὰ τὴν ἑβδομάδα τῶν ἡμερῶν, ὧν τὰς δύο νηστίμους ἄγων μεγαλαυχεῖ, ἀγνοῶν ὅτι αὗται μὲν ἀνθρώπιναι ἀρεταί, ἡ δὲ ὑπερηφανία δαιμονιώδης· διὸ καὶ ἀχρειοῖ ταύτας καὶ συγκατασπᾷ συζυγεῖσα, κἂν ἀληθεῖς ὦσι, πόσῳ μᾶλλον εἰ κεκιβδηλευμέναι.

13 Ἀλλ' ὁ μὲν Φαρισαῖος τοιαῦτα. «Ὁ δὲ Τελώνης μακρόθεν ἑστώς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς πρὸς τὸν οὐρανὸν ἆραι, ἀλλ' ἔτυπτεν εἰς τὸ ἑαυτοῦ στῆθος, λέγων· «Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ». Ὁρᾶτε τὴν ταπείνωσιν ὅση, καὶ τὴν πίστιν καὶ τὴν αὐτομεμψίαν; ὁρᾶτε τὴν ἄκραν συστολὴν τῆς τε διανοίας καὶ τῶν αἰσθήσεως, ἅμα δὲ καὶ τὴν συντριβὴν τῆς καρδίας τῇ προσευχῇ τοῦ Τελώνου τούτου συγκεκραμμένην; Ἀναβὰς γὰρ εἰς τὸ ἱερὸν ὑπὲρ τῆς τῶν οἰκείων ἁμαρτημάτων ἀφέσεως δεησόμενος, καλὰς ἐπηγάγετο μεθ' ἑαυτοῦ τὰς μεσιτευούσας πρὸς τὸν Θεόν, τὴν ἀκαταίσχυντον πίστιν, τὴν ἀκατάκριτον αὐτομεμψίαν, τὴν μὴ ἐξουδενωμένην συντριβὴν τῆς καρδίας, τὴν ὑψοῦσαν ταπείνωσιν. Συνῆψε δὲ καὶ τῇ προσευχῇ τὴν προσοχὴν ἄριστα. Μακρόθεν γὰρ φησιν ἑστὼς ὁ Τελώνης οὗτος. Οὐκ εἶπε σταθεὶς ὡς ἐπὶ τοῦ Φαρισαίου, ἀλλ' ἑστώς· τὴν ἐπὶ πολὺ παράτασιν τῆς στάσεως διὰ τούτου δηλῶν, ὁμοῦ δὲ καὶ τὸ ἐπίμονον τῆς δεήσεως καὶ τῶν ἱλαστηρίων ῥημάτων· μηδὲν γὰρ ἕτερον μήτε προτιθείς, μήτε διανοούμενος, ἑαυτῷ μόνῳ προσεῖχε καὶ τῷ Θεῷ, αὐτὴν ἐφ' ἑαυτὴν στρέ-

ἐνεργῆς πρός οἰκοδομή τῶν ἄλλων σέ δόξα αὐτεῦ πού τό ἔδωσε. Ἔπρεπε λοιπόν πραγματικά νά χαίρεσαι μέ ταπείνωσι καί νά προσφέρης εὐχαριστίες, καί σ' αὐτόν πού τό ἔδωσε καί σ' αὐτούς χάριν τῶν ὁποίων τό ἔλαβες· διότι ἡ λαμπάδα παίρνει τό φῶς ὄχι γιά τόν ἑαυτό της, ἀλλά γιά τούς βλέποντας. Σάββατο δέ ὀνομάζει ὁ Φαρισαῖος ὄχι τήν ἑβδόμη ἡμέρα, ἀλλά τήν ἑβδομάδα ἡμερῶν, στίς δύο ἀπό τίς ὁποῖες νηστεύει, ὅπως μεγαλαυχεῖ, ἀγνοώντας ὅτι αὐτές μέν εἶναι ἀνθρώπινες ἀρετές, ἡ δέ ὑπερηφάνεια εἶναι δαιμονική. Γι' αὐτό, ὅταν συζευχθῆ μέ αὐτές, τίς ἀχρηστεύει καί τίς συγκαταρρίπτει, ἀκόμη καί ἄν εἶναι ἀληθινές· πόσο μᾶλλον ἄν εἶναι κίβδηλες.

13 Αὐτά εἶπε ὁ Φαρισαῖος. «Ὁ δέ Τελώνης, στεκόμενος ἀπόμακρα, δέν ἤθελε οὔτε τούς ὀφθαλμούς νά σηκώση πρός τόν οὐρανό, ἀλλ' ἐκτυποῦσε τό στῆθος του λέγοντας· Θεέ, εὐσπαλγχνίσου με τόν ἁμαρτωλό». Βλέπετε πόση εἶναι ἡ ταπείνωσις καί ἡ πίστις καί ἡ αὐτομεμψία; Βλέπετε τήν ἄκρα συστολή τῆς διανοίας καί τῶν αἰσθήσεων, συγχρόνως δέ καί τήν συντριβή τῆς καρδίας ἀναμεμιγμένες μέ τήν προσευχή τοῦ τελώνη τούτου; Διότι ὅταν ἀνέβηκε στό ναό, γιά νά προσευχηθῆ ὑπέρ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων του, ἔφερε μαζί του καλά ἐφόδια μεσιτευτκά πρός τόν Θεό, τήν ἀκαταίσχυντη πίστι, τήν ἀκατάκριτη αὐτομεμψία, τήν ἀκαταφρόνητη συντριβή τῆς καρδίας, τήν ἐξυψωτική ταπείνωσι. Συνεδύασε δέ μέ τήν προσευχή καί τήν προσοχή ἄριστα. Διότι, λέγει, «ὁ Τελώνης αὐτός στεκόμενος ἀπόμακρα». Δέν εἶπε 'σταθείς', ὅπως στήν περίπτωσι τοῦ Φαρισαίου, ἀλλά «ἑστώς», δηλώνοντας μέ αὐτό τήν ἐπί πολύ παράτασι τῆς στάσεως, μαζί δέ καί τό ἐπίμονο τῆς δεήσεως καί τῶν ἱκετευτικῶν λόγων· διότι, χωρίς νά προβάλη οὔτε νά διανοηθῆ τίποτε ἄλλο, ἐπρόσεχε μόνο στόν ἑαυτό του καί τόν Θεό, περιστρέφοντας στόν ἑαυτό της και πολλαπλασιάζοντας

φων καὶ πολυπλασιάζων μόνην τὴν μονολόγιστον δέησιν, ὅπερ ἀνυσιμώτατόν ἐστι προσευχῆς εἶδος.

14 «Μακρόθεν οὖν», φησίν, «ὁ Τελώνης ἑστώς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἆραι». Αὕτη ἡ στάσις, καὶ στάσις ἦν ὁμοῦ καὶ ὑπόπτωσις, καὶ οὐκ εὐτελοῦς δούλου μόνον, ἀλλὰ καὶ καταδίκου παράστασις. Ἐμφαίνει δὲ καὶ τὴν ἀφειμένην τῆς ἁμαρτίας ψυχήν, μακρὰν μὲν οὖσαν ἔτι Θεοῦ, διὰ τὸ μήπω τὴν δι' ἔργων ἔχει πρὸς αὐτὸν παρρησίαν, ἐγγίζειν δὲ προσδόκιμον οὖσαν Θεῷ, διὰ τὴν ἀποχὴν τῶν κακῶν καὶ τὴν ἀγαθὴν ἤδη πρόθεσιν. Οὕτως οὖν μακρόθεν ὁ Τελώνης ἑστώς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἆραι, τῷ τρόπῳ καὶ τῷ σχήματι τὴν οἰκείαν κατάγνωσιν καὶ αὐτομεμψίαν ἐπιδεικνύμενος· ἀνάξιον γὰρ ἑαυτὸν ἡγεῖτο καὶ τοῦ οὐρανοῦ καὶ τοῦ κατὰ τὴν γῆν ἱεροῦ. Διὸ τοῦ μὲν ἐπὶ τῶν προθύμων εἱστήκει, πρὸς δὲ τὸν οὐρανὸν οὐδὲ ἀτενίζειν ἐτόλμα, πόσῳ μᾶλλον πρὸς τὸν τοῦ οὐρανοῦ Θεόν· ἀλλ' ὑπὸ τῆς σφοδρᾶς κατανύξεως τύπτων τὸ ἑαυτοῦ στῆθος καὶ πληγῶν ἑαυτὸν ἄξιον παριστὰς ἐντεῦθεν, βαρυπενθῶν καὶ τοὺς στεναγμοὺς ἀναπέμπων ἐκεῖθεν καὶ τὴν κεφαλὴν ὡς κατάκριτος κλίνων, ἁμαρτωλὸν ἑκάλει καὶ τὸ ἱλασμὸν πιστῶς ἐπεζήτει, λέγων· «Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ». Ἐπίστευσε γὰρ τῷ λέγοντι «ἐπιστράφητε πρός με καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς», καὶ τῷ προφήτῃ μαρτυροῦντι, «εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου».

16. Ζαχ. 1,3.

μόνην τήν μονολόγιστη δέησι, πού εἶναι τό ἀποτελεσματικώτερο εἶδος προσευχῆς.

14 «Στεκόμενος λοιπόν ὁ Τελώνης ἀπόμακρα, λέγει, δέν ἤθελε οὔτε τούς ὀφθαλμούς νά σηκώση πρός τόν οὐρανό». Αὐτή ἡ στάσις ἦταν συγχρόνως καί στάσις καί ὑπόκυψις, καί δεῖγμα ὄχι μόνο εὐτελοῦς δούλου, ἀλλά καί καταδίκου. Μαρτυρεῖ δέ καί τήν ἀπαλλαγμένη ἀπό τήν ἁμαρτία ψυχή, πού εἶναι μέν ἀκόμη μακριά ἀπό τόν Θεό, διότι δέν ἔχει ἀκόμη τήν πρός αὐτόν παρρησία διά τῶν ἔργων, ἀλλ' ἐλπίζει νά ἐγγίση τόν Θεό, λόγω τῆς ἀποχῆς ἀπό τά κακά καί τῆς ἀγαθῆς ἤδη προθέσεώς της. Στεκόμενος λοιπόν ἔτσι ἀπόμακρα ὁ Τελώνης δέν ἤθελε οὔτε τούς ὀφθαλμούς νά σηκώση στόν οὐρανό, ἐπιδεικνύοντας μέ τόν τρόπο καί τό σχῆμα τήν αὐτοκατάκρισι καί αὐτομεμψία του· διότι ἐθεωροῦσε τόν ἑαυτό του ἀνάξιον καί τοῦ οὐρανοῦ καί τοῦ ἐπιγείου ναοῦ. Γι' αὐτό τοῦ μέν ναοῦ ἐστεκόταν στά πρόθυρα, πρός τόν οὐρανό δέ δέν ἐτολμοῦσε οὔτε ν' ἀτενίση, πόσο μᾶλλον πρός τόν Θεό τοῦ οὐρανοῦ· ἀλλά κτυπώντας τό στῆθος του ἀπό τήν σφοδρά κατάνυξι καί παριστώντας ἔτσι τόν ἑαυτό του ἄξιον τιμωρίας, ἀναπέμποντας ἀπό ἐκεῖ βαρυπενθής τούς στεναγμούς καί κλίνοντας σάν κατάδικος τήν κεφαλή, ἀποκαλοῦσε τόν ἑαυτό του ἁμαρτωλό κι' ἐζητοῦσε μέ πίστι τόν ἱλασμό, λέγοντας· «Θεέ, εὐσπλαγχνίσου με τόν ἁμαρτωλό». Διότι ἐπίστευσε στόν λέγοντα, «ἐπιστρέψετε πρός ἐμένα καί ἐγώ θά ἐπιστρέψω πρός σᾶς»[16], καί στόν προφήτη πού διεβεβαίωσε, «εἶπα, θά ἐξομολογηθῶ στόν Κύριο τήν ἀνομία μου ἐναντίον μου, καί σύ ἄφησες τήν ἀσέβεια τῆς καρδίας μου»[17].

17. Ψαλμ. 31,5.

15 *Τί δὴ τὸ ἐπὶ τούτοις; «Κατέβη οὗτος δεδικαιωμένος», φησὶν ὁ Κύριος, «ἢ ἐκεῖνος· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται». Ὡς γὰρ αὐτόχρημα τύφος ἐστὶν ὁ διάβολος καὶ ἴδιόν ἐστι τούτῳ ἡ ὑπερηφανία κακόν, διὸ καὶ νικᾷ καὶ συγκατασπᾷ συμμιγεῖσα πᾶσαν ἀρετὴν ἀνθρωπίνην, οὕτως ἡ πρὸς τὸν Θεὸν ταπείνωσις ἀγγέλων τῶν ἀγαθῶν ἐστιν ἀρετὴ καὶ νικᾷ πᾶσαν ἀνθρωπίνην κακίαν ἐπιγενομένην τῷ πταίσαντι· ὄχημά γάρ ἐστιν ἡ ταπείνωσις τῆς πρὸς τὸν Θεὸν ἀναβάσεως, κατὰ τὰς νεφέλας ἐκείνας, αἳ μέλλουσιν ἀνοίσειν πρὸς τὸν Θεὸν τοὺς ἐσομένους εἰς ἀπείρους αἰῶνας μετὰ Θεοῦ, καθάπερ ὁ ἀπόστολος προεφήτευσεν· «ἁρπαγησόμεθα», λέγων, «ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα». Οἷον γάρ τίς ἐστι νεφέλη, καὶ ἡ ταπείνωσις, διὰ μετανοίας συστᾶσα καὶ τὰς τῶν δακρύων λιβάδας ἐκ τῶν ὀφθαλμῶν ἀφιεῖσα καὶ τοὺς ἀξίους ἐκ τῶν ἀναξίων ἐξάγουσα καὶ ἀνάγουσα καὶ τῷ Θεῷ συνιστᾶσα, δωρεὰν δεδικαιωμένους διὰ τὴν εὐγνωμοσύνην τῆς προαιρέσεως.*

16 *Ἀλλ' ὁ μὲν Τελώνης κακοτέχνως σφετεριζόμενος τὰ ἀλλότρια πρότερον, τῆς κακοτεχνίας ἀφέμενος ὕστερον καὶ μὴ δικαιῶν ἑαυτόν, δεδικαίωται, ὁ δὲ Φαρισαῖος τῶν ἄλλοις προσηκόντων μὴ ἀντεχόμενος καὶ δικαιῶν ἑαυτὸν κατακέκριται. Οἱ δὲ καὶ τῶν ἄλλοις προσηκόντων μὴ ἀπεχόμενοι, καὶ δικαιοῦν ἐπιχειροῦντες ἑαυτούς, τί πείσονται;*

17 *Ἀλλὰ τούτους μὲν ἀφῶμεν, ἐπεὶ καὶ ὁ Κύριος, ὡς ἄρα μὴ λόγῳ καταπειθεῖς. Ἔστι δ' ὅτε καὶ ἡμεῖς ταπεινούμεθα προσευχό-*

15 Τί συνέβηκε λοιπόν ἔπειτα ἀπό αὐτά; «Κατέβηκε αὐτός δικαιωμένος», λέγει ὁ Κύριος, «καί ὄχι ἐκεῖνος· διότι ὅποιος ὑψώνει τόν ἑαυτό του θά ταπεινωθῆ, ἐνῶ ὅποιος ταπεινώνει τόν ἑαυτό του θά ὑψωθῆ». Πραγματικά, ὅπως ὁ Διάβολος εἶναι ἡ ἴδια ἡ ὑπεροψία καί ἡ ὑπερηφάνεια εἶναι τό ἰδιαίτερο κακό του, γι' αὐτό καί συναπτομένη μέ ὁποιαδήποτε ἀνθρώπινη ἀρετή τήν νικᾶ καί τήν καταρρίπτει, ἔτσι ἡ ταπείνωσις ἐνώπιον τοῦ Θεοῦ εἶναι ἀρετή τῶν ἀγαθῶν ἀγγέλων καί νικᾶ κάθε ἀνθρώπινη κακία πού ἐπέρχεται στόν πταίστη. Διότι ἡ ταπείνωσις εἶναι ὄχημα τῆς ἀναβάσεως πρός τόν Θεό, ὅπως ἐκεῖνα τά σύννεφα, πού πρόκειται ν' ἀνυψώσουν πρός τόν Θεό αὐτούς πού θά μείνουν σέ ἀπείρους αἰῶνες μαζί μέ τόν Θεό, καθώς προεφήτευσε ὁ ἀπόστολος, λέγοντας, «θ' ἁρπαγοῦμε στά σύννεφα γιά συνάντησι τοῦ Κυρίου στόν ἀέρα, κι' ἔτσι θά εἴμαστε πάντοτε μαζί μέ τόν Κύριο»[18]. Ὅ,τι δηλαδή εἶναι ἡ νεφέλη, εἶναι καί ἡ ταπείνωσις, πού συστήνεται διά μετανοίας καί ἀφήνει ἀπό τούς ὀφθαλμούς ρυάκια μέ δάκρυα, ἐξάγει τούς ἀξίους ἀπό τά ἀνάξια, τούς ἀνεβάζει καί τούς συνάπτει μέ τόν Θεό, δικαιωμένους δωρεάν λόγω τῆς εὐγνώμονος προαιρέσεως.

16 Καί ὁ μέν Τελώνης σφετεριζόμενος πρωτύτερα κακοτέχνως τά ξένα πράγματα, ἀλλ' ἔπειτα, ἐγκαταλείποντας τήν διαστροφή καί μή δικαιώνοντας τόν ἑαυτό του, ἐδικαιώθηκε, ὁ δέ Φαρισαῖος, μή οἰκειοποιούμενος τά ἀνήκοντα σέ ἄλλους, ἀλλά δικαιώνοντας τόν ἑαυτό του, καταδικάσθηκε. Τώρα, ἐκεῖνοι πού καί οἰκειοποιοῦνται τά ἀνήκοντα στούς ἄλλους καί ἐπιχειροῦν νά δικαιώσουν τούς ἑαυτούς των, τί θά πάθουν;

17 Ἀλλ' ἄς ἀφήσωμε τώρα αὐτούς, ἀφοῦ καί ὁ Κύριος τούς

18. Α΄ Θεσσ. 4,17.

μενοι, καὶ ἴσως οἰόμεθα τοῦ Τελώνου κομίζεσθαι τὸ δικαίωμα. Οὐκ ἔχει δὲ οὕτως· ἐκεῖνο γὰρ δεῖ σκοπεῖν, ὅτι παρὰ τοῦ Φαρισαίου κατὰ πρόσωπον ὁ Τελώνης καὶ μετὰ τὸ ἐκστῆναι τῆς ἁμαρτίας ἐξουθενούμενος καὶ αὐτὸς ἑαυτὸν ἐξουθενῶν κατεδίκαζε μὴ μόνον οὐκ ἀντιλέγων, ἀλλὰ καὶ συνηγορῶν ἐκείνῳ καθ' ἑαυτοῦ.

18 *Ὅταν οὖν καὶ αὐτὸς τὴν ἐν χερσὶ κακίαν ἀφείς, τοῖς δι' αὐτὴν ἐξουθενοῦσι καὶ λοιδοροῦσιν οὐκ ἀντιλέγῃς, ἀλλὰ συγκαταδικάζων σαυτόν, ὡς ὄντα τοιοῦτον, διὰ προσευχῆς ἐν κατανύξει πρὸς μόνον καταφεύγεις τὸν ἐκ Θεοῦ ἱλασμόν, ἴσθι σεσωσμένος τελώνης ὤν. Πολλοὶ γάρ φησιν ἑαυτοὺς ἁμαρτωλοὺς καὶ λέγομεν ἴσως καὶ ἔχομεν· ἀτιμία δὲ καρδίαν ἐδοκίμασεν· ὥσπερ γὰρ ὁ μέγας Παῦλος πόρρω τῆς φαρισαϊκῆς μεγαλαυχίας ἐστί, καίτοι πρὸς τοὺς ἐν Κορίνθῳ γλώσσαις λαλοῦντας γράφων, «εὐχαριστῶ τῷ Θεῷ μου πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν» (ἵνα γὰρ ἐκείνους καταστείλῃ κατὰ τῶν μὴ τὸ χάρισμα κεκτημένων ἐπαιρομένους, τοιαῦτα γράφει ὁ ἁλλαχοῦ πάντων περίψημα ἑαυτὸν εἶναι λέγων)· ὥσπερ οὖν ὁ Παῦλος ἐκεῖνα γράφων, πόρρω τῆς φαρισαϊκῆς μεγαλαυχίας ἐστίν, οὕτως ἐστὶ καὶ τὰ τοῦ Τελώνου ῥήματα λέγειν, καὶ ταπεινολογεῖν κατ' ἐκεῖνον, καὶ μὴ δικαιωθῆναι καθάπερ ἐκεῖνος· δεῖ γὰρ τοῖς τελωνιακοῖς ῥήμασι προσεῖναι καὶ τὴν ἀπὸ τῶν κακῶν μετάθεσιν, καὶ τὴν ἐν τῇ ψυχῇ διάθεσιν, καὶ τὴν κατάνυξιν, καὶ τὴν ὑπομονὴν ἐκείνου· ἐπεὶ καὶ ὁ Δαβὶδ ἔργοις δεῖν ἔδειξε τὸν ὑπεύθυνον ἑαυτὸν παρὰ Θεῷ λογιζόμενον καὶ μετανοοῦντα, δι-*

---

19. Α΄ Κορ. 24,18.

ἄφησε, ὡς μή πειθομένους μέ τά λόγια. Μερικές φορές ὅμως καί ἐμεῖς ὅταν προσεύχώμαστε, ταπεινωνόμαστε, καί ἴσως νομίζομε ὅτι θά κερδίσωμε τήν δικαίωσι τοῦ Τελώνη. Δέν εἶναι ὅμως ἔτσι· διότι πρέπει νά προσέχωμε τοῦτο, ὅτι ὁ Τελώνης, καταφρονούμενος ἀπό τόν Φαρισαῖο κατά πρόσωπο καί μετά τήν ἀπομάκρυνσί του ἀπό τήν ἁμαρτία, καταφρονοῦσε κι' αὐτός τόν ἑαυτό του, ὄχι μόνο μή ἀντιλέγοντας ἀλλά καί συνηγορώντας πρός ἐκεῖνον ἐναντίον τοῦ ἑαυτοῦ του.

18 Ὅταν λοιπόν καί σύ ἀφήσης τήν κακία, δέν ἀντιλέγης δέ σ' αὐτούς πού τήν καταφρονοῦν καί τήν λοιδοροῦν, ἀλλά καταδικάζοντας καί σύ τόν ἑαυτό σου ὡς κακοήθη, καταφεύγης μέ κατάνυξι διά τῆς προσευχῆς πρός τήν εὐσπλαγχνία τοῦ Θεοῦ μόνο, γνώριζε ὅτι εἶσαι λυτρωμένος Τελώνης. Πολλοί βέβαια λέγουν τούς ἑαυτούς των ἁμαρτωλούς, καί τό λέγομε καί τό νομίζομε ἐπίσης κι' ἐμεῖς· ἀλλά ἡ καταφρόνησις εἶναι πού δοκιμάζει τήν καρδιά. Ὅπως δηλαδή ὁ μεγάλος Παῦλος εἶναι μακριά ἀπό τήν φαρισαϊκή μεγαλαυχία, ἄν καί ἔγραφε πρός τούς ἀνθρώπους πού χρησιμοποιοῦσαν γλωσσολαλιά στήν Κόρινθο, «εὐχαριστῶ τόν Θεό μου πού λαλῶ γλῶσσες περισσότερο ἀπό ὅλους σας»[19] (γράφει αὐτά τά πράγματα αὐτός πού ἀλλοῦ δηλώνει ὅτι εἶναι περικάθαρμα ὅλων τῶν ἀνθρώπων, γιά νά συγκρατήση τό φρόνημα ἐκείνων πού ἐπαίρονται ἐναντίον αὐτῶν πού δέν ἔχουν τό χάρισμα)· ὅπως λοιπόν ὁ Παῦλος, γράφοντας ἐκεῖνα, εἶναι μακριά ἀπό τήν φαρισαϊκή μεγαλαυχία, ἔτσι εἶναι καί τό νά λέγη κανείς τά λόγια τοῦ Τελώνη καί νά ταπεινολογῆ σάν ἐκεῖνον, ἀλλά νά μή δικαιωθῆ καθώς ἐκεῖνος· διότι πρέπει μέ τά τελωνικά λόγια νά συνυπάρχη καί ἡ μετάθεσις ἀπό τά κακά καί ἡ ψυχική διάθεσις, ἡ κατάνυξις καί ἡ ὑπομονή ἐκείνου. Καί ὁ Δαβίδ ἔδειξε ἐμπράκτως ὅτι πρέπει, αὐτός πού κρίνει τόν ἑαυτό του ἔνοχο ἐνώπιον τοῦ Θεοῦ καί μετανοεῖ, νά θε-

καίαν ἡγεῖσθαι καὶ φορητὴν τὴν παρ' ἑτέρων εἰς αὐτὸν ὕβριν καὶ ἀτιμίαν· μετὰ γὰρ τὴν ἁμαρτίαν κακῶς ἀκούων παρὰ Σεμεεί, πρὸς τοὺς ἀμύνεσθαι βουλομένους ἔλεγεν, «ἄφετε αὐτὸν καταρᾶσθαί με, ὅτι Κύριος εἶπεν αὐτῷ καταράσασθαι τὸν Δαβίδ», τὴν ἀπὸ τοῦ Θεοῦ διὰ τὴν εἰς αὐτὸν ἁμαρτίαν συγχώρησιν, ἐκείνου πρόσταγμα λέγων εἶναι· καίτοι δεινῇ τότε καὶ μεγάλῃ συμφορᾷ προσεπάλαιεν ὁ Δαβίδ, ἄρτι τοῦ Ἀβεσσαλὼμ ἐπαναστάντος αὐτῷ.

19 Καὶ δὴ μετ' ὀδύνης οὐ φορητῆς ἄκων τὴν Ἱερουσαλὴμ ἀπολιπών, ἐπεὶ πρὸς τὴν ὑπώρειαν τοῦ Ἐλαιῶνος ἔφθασε φεύγων, τὸν Σεμεεὶ προσθήκην εὗρε τῆς συμφορᾶς, λίθοις αὐτὸν βάλλοντα καὶ ἀφειδῶς ἐπαρώμενον καὶ ἀναιδῶς καθυβρίζοντα καὶ ἄνδρα αἱμάτων ἀποκαλοῦντα καὶ ἄνδρα παράνομον, οἱονεὶ τὸ περὶ τὴν Βηρσαβεὲ καὶ τὸν Οὐρίαν ἄγος εἰς ὀνειδισμὸν τοῦ βασιλέως ὑπ' ὄψιν ἄγοντα. Καὶ οὐδὲ ἅπαξ ἢ δὶς ἐπαρασάμενος καὶ λίθοις καὶ λίθων πληκτικωτέροις ῥήμασι βαλὼν ἀπήλλαξεν· ἀλλ' ἐπορεύετό φησιν ὁ βασιλεὺς καὶ πάντες οἱ ἄνδρες αὐτοῦ μετ' αὐτοῦ, καὶ Σεμεεὶ ἐπορεύετο ἐκ πλευρᾶς τοῦ ὄρους, ἐχόμενος αὐτοῦ, καταρώμενος καὶ λίθοις βάλλων ἐκ πλαγίου καὶ τῷ χοῒ πάσσων τὸν βασιλέα. Οὐκ ἠπόρει δὲ τῶν κωλυσόντων ὁ βασιλεύς. Ἀβεσσὰ γοῦν ὁ στρατηγὸς μὴ ἀνασχόμενος πρὸς τὸν Δαβὶδ εἶπεν· «Ἵνα τί καταρᾶται ὁ κύων ὁ τεθνηκὼς οὗτος τὸν κύριόν μου τὸν βασιλέα; διαβήσομαι δὴ καὶ

20. Β' Βασ. 16,10. Ἦταν ἡ ἐποχὴ ποὺ ὁ υἱός του Ἀβεσσαλὼμ ἀνακηρύχθηκε βασιλεύς, καὶ ἐβάδισε κατὰ τῆς Ἱερουσαλήμ. Ὁ Δαβὶδ ἐξῆλθε ἀπὸ τὴν πόλι μαζὶ μὲ τοὺς πιστοὺς ὑπηκόους του καὶ ἀφοῦ ὠργάνωσε ἰσχυρὸ στρατὸ ἔκαμε ἀντεπίθεσι καὶ ἀνακατέλαβε τὴν ἕδρα του.

ωρῆ δικαία καί ὑποφερτή τήν σέ βάρος του ὕβρι καί ἀτιμία ἀπό ἄλλους. Διότι μετά τήν ἁμαρτία του, ὅταν ἤκουε προσβλητικούς λόγους ἀπό τόν Σεμεεί, ἔλεγε σ' αὐτούς πού ἤθελαν ν' ἀντιδράσουν· «ἀφῆστε τον νά μέ κακολογῆ, διότι ὁ Κύριος τοῦ εἶπε νά κακολογήσει τόν Δαβίδ»[20], λέγοντας ὅτι ἡ συγχώρησις ἀπό τόν Θεό γιά τήν πρός αὐτόν ἁμαρτία εἶναι πρόσταγμα ἐκείνου, ἄν καί ὁ Δαβίδ ἐπάλαιε τότε μέ δεινή καί μεγάλη συμφορά, ἀφοῦ μόλις προσφάτως εἶχε ἐπαναστατήσει ἐναντίον του ὁ Ἀβεσσαλώμ.

19 Τότε μάλιστα, ἐγκαταλείποντας μέ ἀφόρητη ὀδύνη τήν Ἱερουσαλήμ, ὅταν φεύγοντας ἔφθασε στίς ὑπώρειες τοῦ ὄρους τῶν Ἐλαιῶν, συνάντησε ὡς προσθήκη τῆς συμφορᾶς τόν Σεμεεί[21]. Ὁ Σεμεεί ἔρριπτε ἐναντίον του λίθους, τόν κακολογοῦσε ἀσταμάτητα καί τόν ὕβριζε ἀναιδῶς· τόν ἀποκαλοῦσε ἄνδρα αἱμοβόρο καί παράνομο, ἐπαναφέροντας στή μνήμη τό σχετικό μέ τήν Βηρσαβεέ καί τόν Οὐρία ἔγκλημα πρός ὀνειδισμό τοῦ βασιλέως[22]. Καί δέν τόν ἄφησε ἀφοῦ καταράσθηκε μιά καί δυό φορές, καί ἔρριπτε ἐναντίον του λίθους καί μέ λόγια πληκτικώτερα ἀπό τούς λίθους· ἀλλά, λέγει, προχωροῦσε ὁ βασιλεύς καί ὅλοι οἱ ἄνδρες του μαζί του, ἐνῶ ὁ Σεμεεί ἐβάδιζε ἀπό τήν πλευρά τοῦ ὄρους πλησίον τοῦ βασιλέως, καταρώμενός τον καί ρίπτοντας λίθους ἀπό τά πλάγια, καί πασπαλίζοντάς τον μέ χῶμα. Καί δέν ἐστερεῖτο ἀνθρώπων πού θά τόν ἐμπόδιζαν ὁ βασιλεύς. Ὁ Ἀβεσσά λοιπόν ὁ στρατηγός, μή ἀντέχοντας, εἶπε πρός τόν Δαβίδ· «γιατί καταρᾶται αὐτός ὁ ψόφιος σκύλος τόν κύριό μου τόν βασιλέα; Θά μεταβῶ λοιπόν νά τοῦ κάψω τό κε-

21. Ὁ Σεμεεὶ ἀνῆκε στὴν οἰκογένεια τοῦ Σαούλ, τοῦ πρώτου βασιλέως τοῦ Ἰσραήλ.

22. Ὁ Δαβὶδ ἔστειλε σ' ἐπικίνδυνη ἀποστολὴ τὸν Στρατηγὸ Οὐρία, ὅπου ἦταν βεβαία ἡ ἀπώλειά του, μὲ σκοπὸ ν' ἀποκτήσῃ τὴν σύζυγό του Βηρσαβεέ, ὅπως ἔγινε.

ἀφελῶ τὴν κεφαλὴν αὐτοῦ». Ὁ δὲ βασιλεὺς ἐπέσχεν αὐτὸν καὶ πάντας τοὺς παῖδας αὐτοῦ, πρὸς αὐτοὺς εἰπών· ἄφετε αὐτόν, ὅπως ἴδοι Κύριος ἐν τῇ ταπεινώσει μου καὶ ἐπιστρέψοι μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ.

20 *Ὃ καὶ τότε μὲν ἐτελέσθη καὶ εἰς ἔργον ἐξέβη, δείκνυται δὲ καὶ διὰ τῆς κατὰ τὸν Τελώνην τοῦτον καὶ τὸν Φαρισαῖον παραβολῆς, ὑπὸ τῆς δικαιοσύνης ἀεὶ τελούμενον· ὁ γὰρ ὑπεύθυνον ἑαυτὸν ἀληθῶς αἰωνίου κολάσεως λογιζόμενος, πῶς οὐκ ἂν ὑπομείνῃ γενναίως, οὐκ ἀτιμίαν μόνον, ἀλλὰ καὶ ζημίαν καὶ νόσον καὶ πᾶσαν, ὡς εἰπεῖν, δυσπραγίαν καὶ κάκωσιν; Ὁ δὲ τοιαύτην ὑπομονὴν ἐνδεικνύμενος, ὡς χρεώστης οὕτω καὶ ὑπεύθυνος ὤν, δι' ἐλαφροτέρας καταδίκης καὶ προσκαίρου καὶ λυομένης λυτροῦται τῆς ὄντως βαρείας ἐκείνης καὶ ἀφορήτου καὶ ἀλήκτου κολάσεως, ἔστι δ' ὅτε καὶ τῶν νῦν ἐπικειμένων δεινῶν, ἀρχὴν ἐντεῦθεν λαμβανούσης τῆς δι' ὑπομονὴν οἷον ἐποφειλομένης θείας χρηστότητος· διὸ καί τις τῶν ὑπὸ Θεοῦ παιδευομένων ἔφη· «παιδείαν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ».*

21 *Γένοιτο δὲ καὶ ἡμᾶς μετ' ἐλέους, ἀλλὰ μὴ ἐν ὀργῇ καὶ θυμῷ Κυρίου παιδευομένους τῇ παιδείᾳ τοῦ Θεοῦ μὴ κατενεχθῆναι, ἀλλὰ κατὰ τὸν ψαλμῳδὸν ἀνορθωθῆναι εἰς τέλος, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

23. Β' Βασ. 16,9.
24. Β' Βασ. 16,10.

φάλι»[23]. Ὁ βασιλεύς ὅμως συνεκράτησε αὐτόν καί ὅλους τούς ἄνδρες του, λέγοντας πρός αὐτούς· «ἀφῆστε τον, γιά νά ἰδῆ ὁ Κύριος τήν ταπείνωσί μου καί μοῦ ἀνταποδώση ἀγαθά ἀντί τῆς κατάρας αὐτοῦ»[24].

20 Αὐτό τό πρᾶγμα καί τότε μέν ἐτελέσθηκε καί ἐπραγματοποήθηκε, δεικνύεται δέ καί μέ τήν παραβολή γι' αὐτόν τόν Τελώνη καί τόν Φαρισαῖο τελούμενο πάντοτε ἀπό τήν δικαιοσύνη. Διότι αὐτός πού θεωρεῖ τόν ἑαυτό του ἀληθινά ὑπεύθυνο τῆς αἰωνίου κολάσεως, πῶς δέν θά ὑπομείνη γενναίως, ὄχι μόνο ἀτιμία, ἀλλά καί ζημία καί νόσο, καί κάθε δυσπραγία καί κακοπάθεια γενικῶς; Αὐτός δέ πού δεικνύει τέτοια ὑπομονή, ὡς χρεώστης καί ἔνοχος, μέ ἐλαφρότερη, πρόσκαιρη καί διακοπτομένη καταδίκη λυτρώνεται ἀπό τήν πραγματικά βαρειά ἐκείνη καί ἀφόρητη καί ἀτελείωτη τιμωρία· μερικές φορές δέ λυτρώνεται καί ἀπό τά τώρα βασανίζοντα δεινά, καθώς ἡ θεία χρηστότης λαμβάνει ἀρχή ἀπό ἐδῶ σάν νά χρεωστῆται λόγω τῆς ὑπομονῆς. Γι' αὐτό καί κάποιος ἀπό τούς παιδευομένους ἀπό τόν Κύριο εἶπε· «θά ὑπομείνω τήν παίδευσι ἀπό τόν Κύριο, διότι ἡμάρτησα σ' αὐτόν»[25].

21 Εἴθε κι' ἐμεῖς, παιδευόμενοι μ' εὐσπλαγχνία, ἀλλ' ὄχι μέ ὀργή καί θυμό Κυρίου, νά μή καταβληθοῦμε ἀπό τήν τιμωρία τοῦ Θεοῦ, ἀλλά κατά τόν ψαλμωδό στό τέλος ν' ἀνορθωθοῦμε, μέ τή χάρι καί φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στόν ὁποῖο ἁρμόζει δόξα, δύναμις, τιμή καί προσκύνησις μαζί μέ τόν ἄναρχο Πατέρα του καί τό ζωοποιό Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

25. Μιχ. 7,9.

ΜΡ
ΘΥ
Η
ΓΛΥΚΟΦΙΛΟΥΣΑ

ΕΙΣ ΤΗΝ ΚΑΤΑ ΤΟΝ ΣΕΣΩΣΜΕΝΟΝ ΑΣΩΤΟΝ ΤΟΥ ΚΥΡΙΟΥ ΠΑΡΑΒΟΛΗΝ

ΟΜΙΛΙΑ Γ'

ΕΙΣ ΤΗΝ

ΚΑΤΑ ΤΟΝ ΣΕΣΩΣΜΕΝΟΝ ΑΣΩΤΟΝ ΤΟΥ ΚΥΡΙΟΥ ΠΑΡΑΒΟΛΗΝ

1 Ἔσται ποτὲ λιμός», τὴν Ἱερουσαλὴμ ἀποκλαιόμενος εἶπεν ὁ προφήτης, «οὐ λιμὸς ἄρτου καὶ ὕδατος, ἀλλὰ λιμὸς τοῦ ἀκοῦσαι λόγον Κυρίου». Λιμὸς δέ ἐστι στέρησις ἅμα καὶ ὄρεξις τροφῆς ἀναγκαίας. Ἔστιν οὖν καὶ τοῦ λιμοῦ τούτου χεῖρον καὶ ἀθλιώτερον, ὅταν τις στέρησιν ἔχων τῶν ἀναγκαίων πρὸς σωτηρίαν, ἀνεπαισθήτως ἔχῃ τῆς συμφορᾶς, ὄρεξιν οὐκ ἔχων πρὸς σωτηρίαν. Ὁ γὰρ πεινῶν καὶ οὐκ εὐπορῶν, περιέρχεται ζητῶν ποῦ τρύφος ἄρτου· κἂν εὐρωτιώσης ἐπιτύχῃ μάζης ἢ κεγχρίαν τούτῳ τις ἄρτον ἢ πιτυρίαν ἤ τι ἄλλο τῶν τῆς τρυφῆς εὐτελεστέρων εἰδῶν πα-

ΟΜΙΛΙΑ 3

ΣΤΗΝ
ΠΑΡΑΒΟΛΗ ΤΟΥ ΚΥΡΙΟΥ ΠΕΡΙ ΤΟΥ ΑΣΩΤΟΥ[1]

1 

ά γίνη κάποτε λιμός», εἶπε ὁ προφήτης θρηνώντας τήν Ἰερουσαλήμ, «ὄχι πεῖνα ἄρτου καί ὕδατος, ἀλλά πεῖνα γιά τόν λόγο τοῦ Κυρίου»[2]. Εἶναι δέ ὁ λιμός στέρησις καί συγχρόνως ὄρεξις τῆς ἀναγκαίας τροφῆς. Ὑπάρχει ὅμως καί κάτι χειρότερο καί ἀθλιώτερο ἀπό αὐτήν τήν πεῖνα· ὅταν δηλαδή κάποιος, ἐνῶ στερεῖται τ' ἀναγκαῖα γιά τήν σωτηρία, δέν ἔχη συναίσθησι τῆς συμφορᾶς, ἐπειδή δέν ἔχει ὄρεξι γιά τή σωτηρία. Ὅποιος πεινᾶ καί δέν διαθέτει τ' ἀναγκαῖα, τριγυρίζει ἀναζητώντας ἕνα κομμάτι ψωμιοῦ ὁπουδήποτε· κι' ἄν εὕρη

1. Λουκᾶ 15,11 ἑξ.
2. Ἀμὼς 8,11.

ράσχη, χαίρει τοσοῦτον, ὅσον ἀποτυγχάνων ὠδυνᾶτο πρότερον. Καὶ ὁ πνευματικὸν τοίνυν ἔχων λιμόν, τουτέστι, στέρησίν τε ἅμα καὶ ὄρεξιν πνευματικῶν βρωμάτων, περιέρχεται ζητῶν τὸν ἔχοντα παρὰ Θεοῦ τῆς διδασκαλίας τὸ χάρισμα· κἂν εὕρῃ, μετ' εὐφροσύνης τρέφεται τὸν ἄρτον τῆς κατὰ ψυχὴν ζωῆς, ὅς ἐστιν ὁ σωτήριος λόγος, οὗ μηδὲ ἀποτυχεῖν ἐστι τὸν εἰς τέλος ζητοῦντα· «πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρήσει καὶ τῷ κρούοντι ἀνοιγήσεται», εἶπεν ὁ Χριστός.

2 *Ἀλλ' εἰσί τινες, οἳ τῇ πολυημέρῳ κατὰ νοῦν ἀτροφίᾳ καὶ τὴν τοῦ τρέφεσθαι ὄρεξιν ἀπεβάλλοντο· διὸ οὐδὲ τῆς ζημίας λαμβάνουσιν αἴσθησιν. Κἂν ἔχωσι τὸν διδάσκοντα καὶ πρὸς αὐτὴν τὴν τῆς διδασκαλίας ἀκρόασιν δυσχεραίνουσι· κἂν μὴ ἔχωσιν, οὐ ζητοῦσι τὸν διδάξοντα, τοῦ ἀσώτου πολὺ ἁμαρτωλότερον ἄγοντες βίον. Ἐκεῖνος γὰρ εἰ καὶ ἐστερήθη μακρυνθεὶς τοῦ κοινοῦ τροφέως καὶ πατρὸς καὶ δεσπότου, ἀλλὰ λιμῷ περιέπεσεν ἰσχυρῷ καὶ τῆς στερήσεως ἐπαισθόμενος μετενόησε καὶ ἐπανῆλθε καὶ ἐπεζήτησε καὶ πάλιν ἔτυχε τῆς θείας καὶ ἀκηράτου τροφῆς καὶ τοσοῦτον ἀπήλαυσε διὰ τῆς μετανοίας τῶν τοῦ Πνεύματος χαρισμάτων, ὡς καὶ ἐπίφθονον αὐτὸν γενέσθαι τοῦ πλούτου.*

3 *Μᾶλλον δὲ ἀναλαβόντες ἄνωθεν διατρανώσωμεν πρὸς τὴν ὑμετέραν ἀγάπην τὴν εὐαγγελικὴν ταύτην τοῦ Κυρίου παραβολήν· ἐπεὶ καὶ σήμερον ἔθος ἀναγινώσκεσθαι ταύτην ἐπ' ἐκκλησίας.*

4 *«Ἄνθρωπός τις», φησίν, «εἶχε δύο υἱούς». Ἑαυτὸν ἄνθρω-*

3. Λουκᾶ 11,10.

μουχλιασμένο ζυμάρι, ἤ τοῦ προσφέρη κάποιος ἄρτο ἀπό κεχρί ἤ ἀπό πίτουρα ἤ κάτι ἄλλο ἀπό τὰ εὐτελέστατα εἴδη τροφῆς, χαίρεται τόσο πολύ, ὅσο ἐπονοῦσε προηγουμένως πού δέν εὕρισκε. Ὅποιος ἐπίσης ἔχει πνευματική πεῖνα, δηλαδή στέρησι καί συγχρόνως ὄρεξι γιά πνευματικές τροφές, τριγυρίζει ἀναζητώντας αὐτόν πού ἔχει ἀπό τόν Θεό τό χάρισμα τῆς διδασκαλίας· κι' ἄν εὕρη, τρέφεται εὐφρόσυνα μέ τόν ἄρτο τῆς ζωῆς τῆς ψυχῆς, δηλαδή μέ τόν σωτήριο λόγο, πού ὅποιος τόν ἀναζητεῖ ἕως τό τέλος δέν πρόκειται νά μή τόν εὕρη· «διότι ὅποιος αἰτεῖ λαμβάνει καί ὅποιος ἀναζητεῖ εὑρίσκει, καί στόν κρούοντα θ' ἀνοιγῆ ἡ θύρα», εἶπε ὁ Χριστός[3].

2 Ὑπάρχουν ὅμως μερικοί πού μέ τήν πολυήμερη ἀτροφία κατά νοῦν ἔχασαν καί τήν ὄρεξι τῆς τροφῆς· γι' αὐτό δέν ἀντιλαμβάνονται τή ζημία. Καί ἄν ἔχουν τόν διδάσκαλο, δυσανασχετοῦν ἀκόμη καί στήν ἀκρόασι τῆς διδασκαλίας, ἐνῶ ἄν δέν ἔχουν, δέν ζητοῦν τόν διδάσκαλο, διάγοντας ζωή ἁμαρτωλότερη ἀπό τόν ἄσωτο. Διότι ἐκεῖνος, ἄν καί μέ τήν ἀπομάκρυνσί του ἐστερήθηκε τοῦ κοινοῦ τροφέως καί πατρός καί κυρίου, περιέπεσε σέ φοβερό λιμό καί συναισθανόμενος τήν στέρησι μετενόησε καί ἐπανῆλθε, ἐπεζήτησε καί ἐπέτυχε τήν θεία καί ἀθάνατη τροφή, καί τόσο ἀπήλαυσε διά τῆς μετανοίας τῶν χαρισμάτων τοῦ Πνεύματος, ὥστε νά προκαλέση καί τόν φθόνο γιά τόν πλοῦτο του.

3 Εἶναι ὅμως προτιμότερο νά πάρωμε τό θέμα ἀπό τήν ἀρχή, γιά νά ἐξηγήσωμε πρός τήν ἀγάπη σας τήν εὐαγγελική αὐτή παραβολή τοῦ Κυρίου, ἀφοῦ καί σήμερα εἶναι διατεταγμένο νά διαβάζεται στήν ἐκκλησία.

4 «Κάποιος ἄνθρωπος εἶχε δυό υἱούς», λέγει. Ὁ Κύριος καλεῖ

πον παραβολικῶς ἐνταῦθά φησιν ὁ Κύριος, καὶ θαυμαστὸν οὐδέν. Εἰ γὰρ ὡς ἀληθῶς ἄνθρωπος ἐγένετο διὰ τὴν ἡμετέραν σωτηρίαν, τί θαυμαστόν, εἰ ὡς ἀνθρώπων ἕνα προτίθησιν ἑαυτὸν διὰ τὴν ἡμετέραν ὠφέλειαν, ὁ καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἡμῶν ἀεὶ κηδεμών, ὡς ἀμφοτέρων δεσπότης καὶ ποιητής; ὃς μόνος ἀγάπης εἰς ἡμᾶς ἔργα καὶ κηδεμονίας ὑπερβαλλούσης καὶ πρὸ τοῦ γενέσθαι ἡμᾶς ἀπεδείξατο;

5 *Πρὸ ἡμῶν γὰρ βασιλείας ἡμῖν ἡτοίμασε κληρονομίαν αἰώνιον, ὡς αὐτός φησιν, ἀπὸ καταβολῆς κόσμου. Πρὸ ἡμῶν ὑπὲρ ἡμῶν τοὺς ἀγγέλους ἐποίησε διακόνους ἀποστελλομένους, ὡς ὁ Παῦλός φησι, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. Πρὸ ἡμῶν δι' ἡμᾶς παντὶ τῷ αἰσθητῷ τούτῳ κόσμῳ τὸν οὐρανὸν περιέτεινεν, οἷόν τινα σκηνὴν ἅπασι κοινὴν καὶ ὁμότιμον ἀνεγείρας ἡμῖν ἐν τῇ παροδικῇ ζωῇ ταύτῃ, τὸν αὐτὸν ἀεικίνητον καὶ πολυκίνητον καὶ ἀκίνητον· τὸ μέν, ἵνα μὴ μεταπίπτον καὶ φθορὰν ἐπάγῃ τοῖς ἐνοικοῦσι· πολυκίνητον δέ, ὡς ἂν ἀντιρρόπως κινούμενος αὐτὸς ἑαυτὸν κατὰ χώραν ἐπέχῃ· ἀεὶ δὲ κινούμενον ἐν ἑαυτῷ καὶ τὴν πληθὺν τῶν ἄστρων κοσμίως συμπεριφέροντα, ἵν' ἡμεῖς ὁμοῦ τε διδασκώμεθα τὸ παροδικὸν τῆς ἡμετέρας ζωῆς καὶ πάντων ἀπολαύωμεν τῶν κατ' αὐτόν, ἄλλοτε ἄλλων ὑπὲρ κεφαλῆς ἡμῶν γενομένων. Δι' ἡμᾶς πρὸ ἡμῶν τὸν μέγαν ἐποίησε φωστῆρα εἰς ἀρχὰς τῆς ἡμέρας καὶ τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός· καὶ ἔθετο αὐτούς τε καὶ τοὺς ἄλλους ἀστέρας ἐν τῷ στερεώματι, συγκινουμένους καὶ ἀντικινουμένους αὐτῷ, συνιόντας τε καὶ παραλάσσοντας πολυειδῶς, ἵν' ὦσιν ἡμῖν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτούς· ὧν*

4. Ματθ. 25,34.

ἐδῶ τόν ἑαυτό του ἄνθρωπο παραβολικῶς, κι' αὐτό δέν ἔχει τίποτε τό παράξενο. Διότι, ἄν ἔγινε πραγματικά ἄνθρωπος γιά τή σωτηρία μας, τί τό παράδοξο νά προβάλλη τόν ἑαυτό του ὡς ἕνα ἄνθρωπο γιά τήν ὠφέλειά μας, αὐτός πού εἶναι πάντοτε κηδεμών καί τῆς ψυχῆς καί τοῦ σώματός μας, ὡς κύριος καί δημιουργός καί τῶν δύο, αὐτός πού εἶναι ὁ μόνος πού ἔδειξε σέ μᾶς ἔργα ὑπερβολικῆς ἀγάπης καί κηδεμονίας, καί πρίν ἀκόμη ἐμφανισθοῦμε;

5 Διότι πρίν ἀπό μᾶς μᾶς ἑτοίμασε αἰώνια κληρονομία βασιλείας, ὅπως λέγει ὁ ἴδιος, ἀπό καταβολῆς κόσμου[4]. Πρίν ἀπό ἐμᾶς γιά χάρι μας ἔπλασε τούς ἀγγέλους γιά ν' ἀποστέλλωνται ὡς διάκονοι, ὅπως λέγει ὁ Παῦλος, στούς μέλλοντας νά κληρονομήσουν τή σωτηρία[5]. Πρίν ἀπό ἐμᾶς γιά χάρι μας ἅπλωσε τόν οὐρανό σ' ὅλον τόν αἰσθητό τοῦτον κόσμο, σάν νά ἔστησε κάποια κοινή καί ὁμότιμη σκηνή σέ ὅλους ἐμᾶς κατά τήν παροδική τούτη ζωή, τόν ἴδιο ἀεικίνητο καί πολυκίνητο καί ἀκίνητο· ἀκίνητον, γιά νά μή προκαλῆ στούς ἐνοικοῦντας φθορά μέ τίς μεταπτώσεις του, πολυκίνητον, γιά νά συγκρατῆται στόν χῶρο του μέ τίς ἀντίρροπες κινήσεις του, ἀεικίνητον δέ καθ' ἑαυτόν καί περιφέροντα μαζί του εὐτάκτως τό πλῆθος τῶν ἄστρων, ὥστε ἐμεῖς ἀφ' ἑνός μέν νά διδασκώμαστε τό πρόσκαιρο τῆς ζωῆς μας καί ν' ἀπολαύωμε ὅλων τῶν σωμάτων του, πού φθάνουν ἐπάνω ἀπό τήν κεφαλή μας, κάθε φορά ἄλλα. Γιά μᾶς πρίν ἀπό ἐμᾶς κατασκεύασε τόν μαγάλο φωστῆρα γιά νά κυριαρχῆ στήν ἡμέρα, καί τόν μικρό γιά νά κυριαρχῆ τῆς νύκτας. Κι' ἐτοποθέτησε αὐτούς καί τά ἄλλα ἄστρα στό στερέωμα, γιά νά κινοῦνται μέ αὐτό, συνυπάρχοντα καί παραλλάσσοντα πολυειδῶς, γιά νά εἶναι σημάδια τῶν καιρῶν καί τῶν χρόνων. Ἀπό αὐτά

5. Ἑβρ. 1,14.

οὐδενὸς χρῄζει, οὔτε ἡ νοερὰ φύσις ὑπὲρ αἴσθησιν οὖσα, οὔτε ἡ τῶν ἀλόγων ζώων κατ' αἴσθησιν μόνην ζῶσα. Δι' ἡμᾶς οὐκοῦν γέγονε, τοὺς αἰσθήσει μὲν ἀπολαύοντας τῆς τε ἄλλης χρείας καὶ τοῦ κάλλους τῶν ὁρωμένων, νῷ δὲ δι' αἰσθήσεως τῶν τοιούτων σημείων εἰς κατανόησιν ἔχοντας.

6 *Δι' ἡμᾶς πρὸ ἡμῶν γῆν ἐθεμελίωσεν, ἐφήπλωσε θάλασσαν, πλουσίως ἐπ' αὐτὰ τὸν ἀέρα ἐξέχεε καὶ ὑπὲρ τοῦτον ἀνῆψε περαιτέρω πανσόφως τὴν πυρὸς φύσιν, ἵνα καὶ τοῦ ψύχους τῶν κάτω θραύῃ τὴν ἀμετρίαν περιημμένον καὶ τὴν οἰκείαν ἀμετρίαν ἐπὶ χώραν μένῃ κατέχον· εἰ δὲ καὶ τὰ ἄλογα τῶν ζώων τούτων χρῄζει πρὸς σύστασιν, ἀλλὰ καὶ ταῦτα εἰς δουλείαν τῶν ἀνθρώπων ἐγένετο πρὸ ἡμῶν, ὡς καὶ ὁ Προφήτης ψάλλει Δαβίδ.*

7 *Τοῦτον μὲν οὖν τὸν σύμπαντα κόσμον διὰ τὴν τοῦ σώματος ἡμῶν σύστασιν ὁ πλάσας ἡμᾶς, πρὸ τῆς ἡμῶν πλάσεως, ἐκ τοῦ μὴ ὄντος παρήγαγε. Πρὸς δὲ βελτίωσιν ἠθῶν καὶ ὁδηγίαν πρὸς ἀρετήν, τί οὐκ ἐποίησεν ὁ φιλάγαθος δεσπότης; Αὐτὸν τὸν αἰσθητὸν πάντα κόσμον, οἷόν τι κάτοπτρον ἀπειργάσατο τῶν ὑπερκοσμίων, ἵνα διὰ τῆς κατ' αὐτὸν πνευματικῆς θεωρίας, ὡς διά τινος θαυμασίας κλίμακος πρὸς ἐκεῖνα φθάνωμεν. Ἐνέθηκεν ἡμῖν ἔμφυτον νόμον, οἷόν τινα στάθμην ἀπαρέγκλιτον καὶ κριτὴν ἀνεξαπάτητον καὶ διδάσκαλον ἀπαραλόγιστον τὴν οἰκείαν ἐν ἑκάστῳ συνείδησιν. Ἂν ἐν ἡμῖν αὐτοῖς γενώμεθα τῇ διανοίᾳ, διδασκάλου ἑτέρου πρὸς τὴν τοῦ ἀγαθοῦ κατανόησιν οὐ δεησόμεθα· ἂν ἔξω τῇ αἰσθήσει καλῶς διαπορθμεύσωμεν τὸν νοῦν, «τὰ ἀόρατα τοῦ Θεοῦ τοῖς ποιήμασι νοούμενα καθορᾶται», φησὶν ὁ ἀπόστολος.*

---

6. Ψαλμ. 103,14.

κανένα δέν χρειάζεται οὔτε ἡ νοερά φύσις, πού εἶναι ὑπεραισθητή, οὔτε ἡ φύσις τῶν ἀλόγων ζώων, πού ζῆ μόνο κατά αἴσθησι. Γιά μᾶς λοιπόν ἔγιναν, πού μέ τήν αἴσθησι μέν ἀπολαύομε καί τίς ἄλλες δωρεές καί τό κάλλος τῶν βλεπομένων, μέ τόν νοῦν δέ ἀντιλαμβανόμαστε τά σημεῖα αὐτά.

6 Γιά μᾶς πρίν ἀπό ἐμᾶς ἐθεμελίωσε τή γῆ, ἄπλωσε τή θάλασσα, ἐξέχυσε ἀφθόνως ἐπάνω ἀπό αὐτά τόν ἀέρα, κι' ἐπάνω ἀπό αὐτόν παραπέρα ἄναψε πανσόφως τήν φύσι τοῦ πυρός, ὥστε καί τό ὑπερβολικό ψύχος τῶν κάτω νά μετριάζη περιγυρίζοντας καί νά μένη στόν τόπο του συγκρατώντας τό ἄπλωμά του. Ἄν δέ καί τά ἄλογα ζῶα τά χρειάζωνται αὐτά γιά τή συντήρησί τους, ἀλλά κι' αὐτά ἐδημιούργήθηκαν πρίν ἀπό μᾶς γιά ὑπηρεσία πρός τούς ἀνθρώπους, ὅπως ψάλλει καί ὁ προφήτης Δαβίδ[6].

7 Αὐτόν λοιπόν τόν σύμπαντα κόσμο παρήγαγε ἀπό τό μηδέν ὁ πλάστης μας πρίν ἀπό τή δική μας πλάσι, γιά τήν σύστασι τοῦ σώματός μας. Γιά τήν βελτίωσι δέ τῶν ἠθῶν καί τήν καθοδήγησι πρός τήν ἀρετή τί δέν ἔκαμε ὁ φιλάγαθος δεσπότης; Τόν ἴδιον αὐτόν αἰσθητό κόσμο ἐπεξεργάσθηκε σάν κάτοπτρο τῶν ὑπερκοσμίων, ὥστε διά τῆς πνευματικῆς θεωρίας γύρω ἀπό αὐτόν, σάν διά μέσου μιᾶς θαυμασίας κλίμακος, νά φθάνωμε πρός ἐκεῖνα. Ἐνέβαλε μέσα μας ἔμφυτο νόμο, σάν ἀπαρέγκλιτη στάθμη, ἀνεξαπάτητο κριτή καί ἀδιάψευστο διδάσκαλο, τήν ἀτομική στόν καθένα συνείδησι. Ἔτσι, ἄν εἴμαστε μέ τήν διάνοια συγκεντρωμένοι στόν ἑαυτό μας, δέν θά χρειασθοῦμε ἄλλον διδάσκαλο γιά τήν κατανόησι τοῦ ἀγαθοῦ· ἄν μέ τήν αἴσθησι διαπορθμεύσωμε καλῶς τόν νοῦ πρός τά ἔξω, τά ἀόρατα τοῦ Θεοῦ καθορῶνται νοούμενα διά τῶν ποιημάτων, λέγει ὁ ἀπόστολος[7].

---

7. Ρωμ. 1,20.

8 *Τῇ φύσει οὖν καὶ τῇ κτίσει τὸ διδασκαλεῖον ἀνοίξας τῶν ἀρετῶν, ἀγγέλους ἐπέστησε φύλακας, πατέρας καὶ προφήτας εἰς ποδηγίαν ἀνήγειρεν, ἔδειξε σημεῖα καὶ τέρατα πρὸς πίστιν ἐνάγοντα, ἔδωκεν ἡμῖν τὸν γραπτὸν νόμον, βοηθοῦντα τῷ παρὰ τῆς λογικῆς ἡμῶν φύσεως νόμῳ καὶ τῇ παρὰ τῆς κτίσεως διδασκαλίᾳ. Τέλος, ἐπεὶ πάντων ἡλογήσαμεν (ὦ καὶ τῆς ἡμῶν ῥαθυμίας καὶ τῆς τοῦ διαφερόντως ἡμᾶς φιλοῦντος μακροθυμίας ὁμοῦ καὶ κηδεμονίας!) ἑαυτὸν ἡμῖν ἔδωκεν ὑπὲρ ἡμῶν καὶ τὸν τῆς θεότητος κενώσας πλοῦτον εἰς τὴν ἡμετέραν ἐσχατιάν, τὴν ἥμετέραν προσλαβόμενος φύσιν καὶ καθ' ἡμᾶς γεγονὼς ἄνθρωπος, διδάσκαλος ἡμῶν ἐχρημάτισε· καὶ αὐτὸς ἡμᾶς διδάσκει περὶ τοῦ μεγέθους τῆς ἰδίας φιλανθρωπίας, ἔργῳ καὶ λόγῳ ταύτην ὑποδεικνύς, ἅμα καὶ πρὸς μίμησιν ἐνάγων τῆς συμπαθείας καὶ τῆς ἀσυμπαθοῦς γνώμης ἀπάγων τοὺς ὑπακούοντας.*

9 *Ἐπεὶ δὲ φίλτρον ἐγγίνεται μὲν καὶ τοῖς ἐπιμεληταῖς τῶν πραγμάτων, ὡς καὶ τοῖς τῶν προβάτων ποιμέσιν, ἔτι δὲ καὶ τοῖς δεσπόταις οὗσι τῶν ἰδίων κτημάτων, οὐ τοσοῦτον δὲ ὅσον τοῖς καθ' αἷμα καὶ συγγένειαν προσῳκειωμένοις, καὶ τούτων μᾶλλον πατράσι πρὸς παῖδας τοὺς ἑαυτῶν, ἀπὸ τούτων ποιεῖται τῆς οἰκείας φιλανθρωπίας τὴν ἔνδειξιν, ἄνθρωπον λέγων ἑαυτὸν καὶ πατέρα πάντων ἡμῶν· ἐπεὶ καὶ δι' ἡμᾶς ἐγένετο ἄνθρωπος καὶ διὰ τοῦ θείου βαπτίσματος καὶ τῆς ἐν αὐτῷ τοῦ θείου Πνεύματος χάριτος ἡμᾶς ἀνεγέννησεν.*

10 *[«Ἄνθρωπος οὖν τις», φησίν, «εἶχε δύο υἱούς». Τὴν γὰρ μίαν φύσιν εἰς δύο διεῖλεν ἡ τῆς γνώμης διαφορὰ καὶ τοὺς πολλοὺς εἰς δύο συνῆξεν ἡ τῆς ἀρετῆς καὶ τῆς κακίας διαστολή. Καὶ ἡμεῖς γὰρ ἔστιν ὅτε καὶ τὸν καθ' ὑπόστασιν ἕνα διπλοῦν φαμεν, ὅταν ἔχῃ*

8 Ἀφοῦ λοιπόν διά τῆς φύσεως καί τῆς κτίσεως ἄνοιξε τό διδασκαλεῖο τῶν ἀρετῶν, ὁ ἴδιος ἐτοποθέτησε ἀγγέλους ὡς φύλακες, ἀνύψωσε πατέρες καί προφῆτες πρός καθογήγησι, ἔδειξε σημεῖα καί τέρατα ὁδηγοῦντα πρός τήν πίστι, μᾶς ἔδωσε τόν γραπτό νόμο, βοηθητικό στό νόμο τῆς λογικῆς μας φύσεως καί στή διδασκαλία ἀπό τήν κτίσι. Τέλος, ἐπειδή τά περιφρονήσαμε ὅλα (ὦ, τί ραθυμία δική μας καί τί μακροθυμία καί ἔγνοια τοῦ ὑπερβολικά ἀγαπῶντος ἐμᾶς!), μᾶς ἔδωσε τόν ἑαυτό του γιά χάρι μας, καί, κενώνοντας τόν πλοῦτο τῆς θεότητος στό ἔσχατο κατάντημά μας ἐπῆρε τήν φύσι μας καί, γενόμενος ἄνθρωπος σάν ἐμᾶς, διετέλεσε διδάσκαλός μας. Αὐτός μᾶς διδάσκει γιά τό μέγεθος τῆς φιλανθρωπίας του, ἐπιδεικνύοντάς την μέ ἔργο καί λόγο, συγχρόνως δέ ὁδηγεῖ σέ μίμησι τῆς συμπαθείας του, ἐνῶ ἀποτρέπει ἀπό τήν σκληροκαρδία τούς ὀπαδούς του.

9 Ἐπειδή δέ ἡ ἀγάπη γεννᾶται καί μέσα στούς ἐπιμελητάς τῶν πραγμάτων, ὅπως καί στούς ποιμένες τῶν προβάτων, ἐνυπάρχει δέ καί στούς κυρίους τῶν κτημάτων, ὄχι ὅμως τόσο ὅσο στούς συνδεομένους μέ αἷμα καί συγγένεια, καί ἀπό αὐτούς πάλι περισσότερο στούς πατέρες πρός τά παιδιά τους, ἀπό αὐτούς προσφέρει ἔνδειξι τῆς φιλανθρωπίας του, λέγοντας τόν ἑαυτό του ἄνθρωπο καί πατέρα ὅλων μας· ἐπειδή ἀφ' ἑνός μέν γιά μᾶς ἔγινε πραγματικά ἄνθρωπος, ἀφ' ἑτέρου δέ μᾶς ἀναγέννησε διά τοῦ θείου βαπτίσματος καί τῆς σ' αὐτό χάριτος τοῦ θείου Πνεύματος.

10 «Κάποιος ἄνθρωπος λοιπόν», λέγει, «εἶχε δυό υἱούς». Διότι ἡ διαφορά τῆς γνώμης ἐχώρισε σέ δύο τήν μιά φύσι καί ἡ διάκρισις μεταξύ ἀρετῆς καί κακίας συνήγαγε τούς πολλούς σέ δύο. Κι' ἐμεῖς ἐξ ἄλλου μερικές φορές λέγομε διπλόν τόν ἕνα

τὴν τοῦ ἤθους διπλόην καὶ τοὺς πολλοὺς ἕνα πάλιν, ἡνίκα πρὸς ἀλλήλους συνάδουσι. «Προσελθὼν οὖν ὁ νεώτερος υἱὸς εἶπε τῷ πατρί»· εἰκότως νεώτερος· νεωτερικὴν γὰρ καὶ ἀφροσύνης γέμουσαν προσάγει τὴν ζήτησιν. Καὶ ἡ ἁμαρτία δέ, ἣν ἐνενόει τὴν ἀποστασίαν ὠδίνων, νεωτέρα ἐστίν, ὑστετογενὲς εὕρημα γενομένη τῆς κακῆς ἡμῶν προαιρέσεως· ἡ δὲ ἀρετὴ παλαιογενής ἐστιν, ἐξ ἀϊδίου μὲν ἐν τῷ Θεῷ οὖσα, τῇ δὲ ἡμετέρᾳ τὴν ἀρχὴν παρὰ Θεοῦ κατὰ χάριν ἐντεθεῖσα ψυχῇ.

11 *Καὶ προσελθών, φησίν, ὁ νεώτερος υἱὸς εἶπε τῷ πατρί· «δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας». Βαβαὶ τῆς ἀφροσύνης! Οὐ προσέπεσεν, οὐχ ἱκέτευσεν, ἀλλ' ἁπλῶς εἶπε· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὡς ὀφειλέτην ἀπαιτεῖ παρὰ τοῦ πᾶσι κατὰ χάριν διδόντος. Δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας τὸ κατὰ νόμους ἐμοὶ προσῆκον, τὴν κατα τὸ δίκαιον ἡμετέραν μερίδα. Καὶ τίς νόμος καὶ πόθεν δίκαιον ὀφειλέτας εἶναι τοῖς παισὶ τοὺς πατέρας; Τοὐναντίον μὲν οὖν μᾶλλον τοῖς πατράσιν ὀφείλειν τοὺς παῖδας καὶ ἡ φύσις αὐτὴ παρίστησιν, ἐξ ἐκείνων τὸ εἶναι λαβόντας. Ἀλλὰ καὶ τοῦτο τοῦ νεωτερικοῦ φρονήματος.*

12 *Τί οὖν ὁ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, ὁ ἀνατέλλων τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς; Διεῖλεν αὐτοῖς φησι τὸν βίον· ὁρᾷς ὅτι ἀνενδεής ἐστιν ὁ ἄνθρωπος καὶ πατὴρ οὗτος; οὐ γὰρ ἂν τοῖς δυσὶ μόνοις διεῖλεν, οὐδὲ εἰς δύο μόνον, ἀλλὰ καὶ τρίτην ἂν ἑαυτῷ τοῦ βίου παρακατέσχε μερίδα. Ὁ δέ, ὡς Θεός, καθάπερ καὶ ὁ προφήτης φησὶ Δαβίδ, μὴ χρείαν ἔχων τῶν παρ' ἡμῖν ἀγαθῶν, τοῖς δυσὶ παισὶ τούτοις μόνοις διεῖλε, φησί, τὸν βίον, τουτέστι τὸν κό-*

8. Ἀπὸ τὸν Θεό. Ἡ ἀνάπτυξις τοῦ θέματος γίνεται πάντοτε μὲν τὴν προϋπόθεσι τῆς ἀναγωγῆς τοῦ θέματος στὶς σχέσεις τοῦ ἀνθρώπου μὲ τὸν οὐράνιο Πατέρα.

κατά τήν ὑπόστασι, ὅταν ἔχη τήν διπλότητα τοῦ ἤθους, καί λέγομε ἐπίσης τούς πολλούς ἕνα, ὅταν συμφωνοῦν μεταξύ τους. «Προσελθών λοιπόν ὁ νεώτερος υἱός εἶπε στόν πατέρα»· εὐλόγως παρουσιάζεται νεώτερος· διότι προβάλλει αἴτημα παιδαριῶδες καί γεμᾶτο ἀφροσύνη. Καί ἡ ἁμαρτία δέ, τήν ὁποία εἶχε στό νοῦ του σχεδιάζοντας τήν ἀποστασία, εἶναι νεωτέρα, ἐφ' ὅσον εἶναι ὑστερογενές εὕρημα τῆς κακῆς προαιρέσεώς μας· ἡ δέ ἀρετή εἶναι πρωτογενής, ἀφοῦ στόν Θεό μέν ἦταν ἀϊδίως, στήν ψυχή μας δέ ἐμβλήθηκε ἀπό τήν ἀρχή ἀπό τόν Θεό κατά χάρι.

11 Προσῆλθε δέ, λέγει, ὁ νεώτερος υἱός καί εἶπε στόν πατέρα· «δός μου τό ἀνάλογο μέρος τῆς περιουσίας». Ὦ, ποιά ἀφροσύνη! Δέν ἐγονάτισε, δέν ἱκέτευσε, ἀλλ' ἁπλῶς εἶπε· καί ὄχι μόνο αὐτό, ἀλλ' ἀπαιτεῖ τό μερίδιο καί ὡς ὀφειλή ἀπό ἐκεῖνον πού δίδει σέ ὅλους κατά χάριν[8]. Δός μου τό ἀνάλογο μέρος τῆς περιουσίας, πού μοῦ ἀνήκει κατά τό νόμο, τήν μερίδα μου σύμφωνα μέ τό δίκαιο. Καί ποιός νόμος ὑπάρχει καί ἀπό ποῦ προέρχεται αὐτό τό δίκαιο, νά εἶναι οἱ πατέρες ὀφειλέτες στά παιδιά; Τό ἀντίθετο μάλιστα συμβαίνει· τά παιδιά ὀφείλουν στούς πατέρες, ὅπως ἡ ἴδια ἡ φύσις δεικνύει, ἀφοῦ ἔλαβαν ἀπό ἐκείνους τήν ὕπαρξι. Ἀλλ' εἶναι καί αὐτό δεῖγμα τοῦ νεωτερικοῦ φρονήματος.

12 Τί κάμνει λοιπόν αὐτός πού βρέχει σέ δικαίους καί ἀδίκους, πού ἀνατέλλει τόν ἥλιο σέ πονηρούς καί ἀγαθούς; Τούς διεμοίρασε τήν περιουσία, λέγει. Βλέπεις ὅτι αὐτός ὁ «ἄνθρωπος» καί πατέρας εἶναι ἀνενδεής; Ἀλλιῶς δέν θά ἐμοίραζε τήν περιουσία στούς δυό μόνους οὔτε σέ δυό μερίδια μόνο, ἀλλά θά ἐκρατοῦσε καί γιά τόν ἑαυτό του μιά τρίτη μερίδα. Αὐτός ὅμως, ὡς Θεός, ὅπως λέγει καί ὁ προφήτης Δαβίδ[9], μή ἔχοντας ἀνάγ-

9. Ψαλμ. 15,2.

σμον ἅπαντα· διαιρεῖται γάρ, ὥσπερ ἡ μία φύσις τῇ διαφόρῳ γνώμῃ, οὕτως ὁ εἷς κόσμος τῇ διαφόρῳ χρήσει· ὁ μέν φησι πρὸς τὸν Θεόν, «ὅλην τὴν ἡμέραν διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου», καὶ «ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε», καὶ «μεσονύκτιον ἐξεγειρόμην», καὶ «ἐκέκραξα ἐν ἀωρίᾳ», καὶ «ἐπήλπισα ἐπὶ τοὺς λόγους σου», καὶ «εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς», τουτέστι τὰς πρὸς ἡδυπάθειαν κινουμένας τῆς σαρκὸς ὀρέξεις ἀπέτεμνον· ὁ δὲ διημερεύει ἐν οἴνῳ καὶ σκοπεῖ ποῦ πότος γίνεται καὶ συνδιανυκτερεύει ταῖς ἀσέμνοις καὶ ἀθέσμοις πράξεσι καὶ ταχύνει πρὸς ἀφανεῖς δόλους, ἢ φανερὰς ἐπιβουλὰς καὶ χρημάτων ἁρπαγὰς καὶ μελέτας πονηράς. Ἆρ' οὐ διεῖλον οὗτοι τὴν μίαν νύκτα καὶ τὸν ἕνα ἥλιον καὶ πρὸ τούτων τὴν ἰδίαν φύσιν, ἀσυμφώνως ἀλλήλοις καταχρησάμενοι; ὁ δὲ Θεὸς ἀδιαιρέτως διεῖλε πᾶσι πᾶσαν τὴν κτίσιν, προθεὶς εἰς χρῆσιν τὴν κατὰ βούλησιν.

13 «Καὶ μετ' οὐ πολλὰς ἡμέρας», φησί, «συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱός, ἀπεδήμησεν εἰς χώραν μακράν». Πῶς οὐκ εὐθύς, ἀλλὰ μετ' οὐ πολλάς, ἤτοι μετ' ὀλίγας ἀπεδήμησεν ἡμέρας; Ὁ πονηρὸς ὑποφήτης διάβολος οὐχ ἅμα τὴν ἰδιορρυθμίαν καὶ τὴν ἁμαρτίαν ὑποτίθεται, ἀλλὰ κατὰ μικρὸν ὑποκλέπτει πανούργως, ὑποψιθυρίζων ἡμῖν καὶ λέγων· «καὶ σὺ κατὰ σεαυτὸν ζῶν καὶ μὴ σχολάζων τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, μηδὲ τὸ οὖς ὑπέχων τῷ διδασκάλῳ

10. Ψαλμ. 87,10.
11. Ψαλμ. 118,164.
12. Ψαλμ. 118,62.

κη τῶν ἀγαθῶν τοῦ εἴδους αὐτοῦ, ἐμοίρασε, λέγει στά δυό αὐτά παιδιά μόνο τήν περιουσία, δηλαδή τόν κόσμο ὅλον. Διότι, ὅπως διαιρεῖται ἡ μιά φύσις λόγω τῆς διαφορετικῆς γνώμης, ἔτσι διαιρεῖται καί ὁ ἕνας κόσμος λόγω τῆς διαφορετικῆς χρήσεως. Πραγματικά ὁ ἕνας λέγει πρός τόν Θεό, «ὅλη τήν ἡμέρα ἄπλωσα πρός σέ τά χέρια μου»[10], καί «σέ ὕμνησα ἑπτά φορές τήν ἡμέρα»[11], καί «τό μεσονύκτιο ἐξυπνοῦσα»[12], καί «ἔκραξα πάρωρα»[13], καί «ἤλπισα στά λόγια σου»[14], καί «τά πρωινά ἐφόνευσα ὅλους τούς ἁμαρτωλούς τῆς γῆς»[15], δηλαδή ἀπέκοψα τίς ὁρμές τῆς σαρκός πού κινοῦνται πρός ἡδυπάθεια· ὁ ἄλλος περνᾶ τίς ἡμέρες του στό κρασί καί κυττάζει ποῦ γίνεται πότος, διέρχεται τίς νύκτες μέ ἄσεμνες καί ἄθεσμες πράξεις, καί σπεύδει σέ κρυφές δολοπλοκίες ἤ φανερές ἐπιβουλές, σέ ἁρπαγές χρημάτων καί πονηρά σχέδια. Ἆρα δέν ἐμοίρασαν αὐτοί τήν μιά νύκτα καί τόν ἕνα ἥλιο, καί πρίν ἀπό αὐτά τήν ἴδια τή φύσι, ἀφοῦ τήν κατεχράσθηκαν χωρίς συμφωνία μεταξύ τους; Ὁ δέ Θεός διέθεσε ὅλη τήν κτίσι ἀδιαιρέτως σέ ὅλους, προθέτοντάς την σέ χρῆσι κατά τήν βούλησι τοῦ καθενός.

13 «Κι' ἔπειτα ἀπό ὄχι πολλές ἡμέρες», λέγει, «ἀφοῦ τά συγκέντρωσε ὅλα ὁ νεώτερος υἱός, μετανάστευσε σέ μακρινή χώρα». Πῶς δέν μετανάστευσε ἀμέσως, ἀλλά ἔπειτα ἀπό ὄχι πολλές, δηλαδή μετά ἀπό λίγες ἡμέρες; Ὁ πονηρός ὑποβολεύς Διάβολος δέν ὑποβάλλει ταυτοχρόνως καί τήν ἰδιορρυθμία καί τήν ἁμαρτία, ἀλλά μέ πανουργία ὑποκλέπτει βαθμιαίως τήν διάθεσι, λέγοντάς μας ψιθυριστά· 'καί σύ ζώντας μόνος σου, χωρίς νά παρακολουθῆς τήν Ἐκκλησία τοῦ Θεοῦ οὔτε νά προσέχης

13. Ψαλμ. 119,1.
14. Ψαλμ. 118,42.
15. Ψαλμ. 100,8.

τῆς Ἐκκλησίας, δύνασαι καὶ παρὰ σεαυτοῦ συνορᾶν τὸ δέον καὶ μὴ μακρυνθῆναι τοῦ ἀγαθοῦ». Ὅταν δέ τινα τῆς ἱερᾶς ὑμνῳδίας ἀποσχοινίσῃ καὶ τῆς πρὸς τοὺς ἱεροὺς διδασκάλους ὑπακοῆς, μακρὰν αὐτὸν ποιεῖ καὶ τῆς θείας ἐπισκοπῆς, τοῖς ἔργοις αὐτὸν τοῖς πονηροῖς παραδούς. Ὁ γὰρ Θεὸς πανταχοῦ πάρεστιν· ἓν ἐστι τὸ μακρὰν τοῦ ἀγαθοῦ, τὸ κακόν, ἐν ᾧ διὰ τῆς ἁμαρτίας γινόμενοι μακρὰν ἀποδημοῦμεν Θεοῦ· «οὐ γὰρ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου», ὁ Δαβὶδ πρὸς τὸν Θεόν φησι.

14 Μακρυνθεὶς οὖν οὕτω καὶ εἰς χώραν ἀποδημήσας μακρὰν οὖσαν ὁ υἱὸς ὁ νεώτερος, «ἐκεῖ διεσκόρπισε», φησίν, «τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως» [Πῶς οὖν διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ; Πρὸ πάντων οὐσία καὶ περιουσία ἡμῶν ἔμφυτος ὁ νοῦς ἐστιν ὁ ἡμέτερος. Ἕως μὲν οὖν τοῖς τῆς σωτηρίας τρόποις ἐμμένομεν, συνηγμένον αὐτὸν ἔχομεν πρὸς ἑαυτὸν καὶ τὸν πρῶτον καὶ ἀνωτάτω νοῦν τὸν Θεόν· ἡνίκα δ' ἂν τοῖς πάθεσι θύραν ἀνοίξωμεν, εὐθὺς σκορπίζεται, πλανώμενος πᾶσαν ὥραν περὶ τὰ σαρκικά τε καὶ γήϊνα, περί τε τὰς πολυμόρφους ἡδονάς, καὶ τοὺς ἐπὶ ταύταις ἐμπαθεῖς λογισμούς. Αὐτοῦ ἐστιν ἡ φρόνησις πλοῦτος, παραμένουσα τούτῳ καὶ διακρίνουσα τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, μέχρις ἂν καὶ αὐτὸς παραμένῃ ταῖς ἐντολαῖς καὶ συμβουλαῖς ὑπείκων τοῦ ἀνωτάτω Πατρός· τούτου δὲ ἀφηνιάσαντος, κἀκείνη σκορπίζεται εἰς πορνείαν καὶ ἀφροσύνην, τὰς παρ' ἑκάτερον μέρος κακίας μεριζομένη.]

15 Τοῦτο δ' ἂν ἴδοις καὶ ἐπὶ πάσης ἀρετῆς ἡμῶν καὶ δυνάμεως, αἵ εἰσιν ἡμέτερος ὄντως πλοῦτος, ὃς τῆς κακίας οὔσης πολυσχεδοῦς,

τόν διδάσκαλο τῆς Ἐκκλησίας, μπορεῖς ν' ἀντιληφθῆς τό καθῆκον καί μόνος σου καί νά μή ἀπομακρύνεσαι ἀπό τό ἀγαθό'. Ὅταν δέ ἀποσπάση κάποιον ἀπό τήν ἱερά ὑμνωδία καί ἀπό τήν ὑπακοή πρός τούς ἱερούς διδασκάλους, τόν ἀπομακρύνει καί ἀπό τή θεία ἐπίβλεψι, παραδίνοντάς τον στά πονηρά ἔργα. Διότι ὁ Θεός εὑρίσκεται παντοῦ· ἕνα εἶναι πού εὑρίσκεται μακριά ἀπό τόν Θεό, τό κακό, στό ὁποῖο φθάνοντας διά τῆς ἁμαρτίας ἀποδημοῦμε μακριά ἀπό τόν Θεό. Ὅπως λέγει ὁ Δαβίδ πρός τόν Θεό, «δέν θά διαμείνουν παράνομοι ἀπέναντι στούς ὀφθαλμούς σου»[16].

14 Ἀφοῦ λοιπόν, λέγει, ὁ νεώτερος υἱός ἀπομακρύνθηκε μέ αὐτόν τόν τρόπο καί ἀπεδήμησε σέ μακρινή χώρα «ἐκεῖ διεσκόρπισε τήν περιουσία του ζώντας ἀσώτως». Πῶς ὅμως διεσκόρπισε τήν περιουσία του; Ὑπεράνω ὅλων οὐσία καί περιουσία μας εἶναι ὁ ἔμφυτος νοῦς μας. Ἕως ὅτου λοιπόν ἐμμένομε στούς τρόπους τῆς σωτηρίας, τόν ἔχομε συνηγμένο στόν ἑαυτό του καί στόν πρῶτο καί ἀνώτατο νοῦ, τόν Θεό· ὅταν ὅμως ἀνοίξωμε θύρα στά πάθη, ἀμέσως σκορπίζεται, περιπλανώμενος διαρκῶς γύρω στά σαρκικά καί τά γήινα, πρός τίς πολύμορφες ἡδονές καί τούς ἐμπαθεῖς λογισμούς γι' αὐτές. Τοῦ νοῦ πλοῦτος εἶναι ἡ φρόνησις, πού παραμένει σ' αὐτόν καί διακρίνει τό καλύτερο ἀπό τό χειρότερο, ὅσον καιρό κι' αὐτός παραμένει πειθαρχικός στίς ἐντολές καί συμβουλές τοῦ ἀνωτάτου Πατρός· ὅταν ὅμως ἀφηνιάση αὐτός, κι' ἡ φρόνησις σκορπίζεται σέ πορνεία καί ἀφροσύνη, μοιραζομένη τίς κακίες τῶν δύο μερῶν.

15 Θά ἰδῆς τοῦτο καί σέ ὅλες τίς ἀρετές καί δυνάμεις μας,

16. Ψαλμ. 5,5.

ὅτ' ἂν πρὸς αὐτὴν ἐκκλίνῃ, σκορπίζεται· αὐτὸς γὰρ ὁ νοῦς τείνει τὴν ἐπιθυμίαν πρὸς τὸν ἕνα καὶ ὄντως ὄντα Θεόν, τὸν μόνον ἀγαθόν, τὸν μόνον ἐφετόν, τὸν μόνον ἀμιγῆ πάσης ὀδύνης τὴν ἡδονὴν παρέχοντα. Τοῦ νοῦ δὲ μαλακισθέντος, ἡ πρὸς τὴν ὄντως ἀγάπην τῆς ψυχῆς δύναμις ἐκπίπτει τοῦ ὄντως ὀρεκτοῦ καὶ πρὸς τὰς ποικίλας ὀρέξεις τῆς ἡδυπαθείας διασπωμένη, σκορπίζεται ἐντεῦθεν πρὸς ἐπιθυμίαν βρωμάτων οὐκ ἀναγκαίων, ἐκεῖθεν πρὸς ἐπιθυμίαν σωμάτων οὐκ εὐσχημόνων, ἑτέρωθεν πρὸς ἐπιθυμίαν οὐκ εὐχρήστων χρημάτων, ἄλλοθεν πρὸς ἐπιθυμίαν τῆς κενῆς καὶ ἀδόξου δόξης μεθελκομένη. Καὶ οὕτω κατακερματιζόμενος ὁ ἄθλιος ἄνθρωπος καὶ ταῖς ποικίλαις περὶ ταῦτα φροντίσι κατατεινόμενος, οὐδὲ τὸν ἥλιον αὐτὸν οὐδὲ τὸν ἀέρα, τὸν κοινὸν πᾶσι πλοῦτον, ἡδέως ἀναπνεῖ τε καὶ θεωρεῖ.

16 Αὐτὸς ὁ νοῦς ὁ ἡμέτερος μὴ ἀποστὰς τοῦ Θεοῦ, διεγείρει τὸν ἐν ἡμῖν θυμὸν κατὰ μόνου τοῦ διαβόλου καὶ χρῆται τῇ τῆς ψυχῆς ἀνδρίᾳ κατὰ τῶν πονηρῶν παθῶν, κατὰ τῶν ἀρχόντων τοῦ σκότους, κατὰ τῶν πνευμάτων τῆς πονηρίας. Ἂν δὲ μὴ προσέχῃ ταῖς θείαις ἐντολαῖς τοῦ καθοπλίσαντος αὐτὸν δεσπότου, μάχεται τοῖς πλησίον, μαίνεται κατὰ τῶν ὁμοφύλων, ἀποθηριοῦται κατὰ τῶν μὴ συναινούντων ταῖς αὐτοῦ παραλόγοις ὀρέξεσι καὶ ἀνθρωποκτόνος φεῦ ὁ ἄνθρωπος γίνεται, οὐ μόνον τοῖς κτήνεσι τοῖς ἀνοήτοις ὁμοιωθείς, ἀλλὰ καὶ τοῖς ἑρπετοῖς καὶ ἰοβόλοις τῶν ζώων, σκορπίος, ὄφις, γέννημα ἐχιδνῶν γεγονώς, ὁ ἐν υἱοῖς Θεοῦ τεταγμένος. Εἶδες πῶς διεσκόρπισε καὶ ἀπώλεσε τὴν οὐσίαν αὐτοῦ; «Καὶ δαπανήσας» φησί, «πάντα ὁ νεωτερίσας υἱός, ἤρξατο ὑστερεῖσθαι, εἰς λιμὸν ἐμ-

πού εἶναι πραγματικά πλοῦτος μας, ὁ ὁποῖος, ἀφοῦ ἡ κακία εἶναι πολυσχεδής, ὅταν κλίνη πρός αὐτήν, σκορπίζεται. Διότι ὁ ἴδιος ὁ νοῦς στρέφει τήν ἐπιθυμία πρός τόν ἕνα καί πραγματικά ὄντως Θεό, τόν μόνον ἀγαθό, τόν μόνον ἐφετό, τόν μόνον παρέχοντα τήν ἡδονή ἀπηλλαγμένη ἀπό κάθε ὀδύνη. Ὅταν ὅμως ὁ νοῦς ἀποχαυνωθῆ, ἡ δύναμις τῆς ψυχῆς πρός τήν ὄντως ἀγάπη ἐκπίπτει ἀπό τό ὄντως ὀρεκτό καί, διασπωμένη πρός τίς ποικίλες ὀρέξεις τῆς ἡδυπαθείας, σκορπίζεται, ἑλκυομένη ἀπό τό ἕνα μέρος πρός τήν ἐπιθυμία τροφῶν μή ἀναγκαίων, ἀπό τό ἄλλο πρός τήν ἐπιθυμία πραγμάτων ἀχρήστων, καί ἀπό τό τρίτο πρός τήν ἐπιθυμία τῆς κενῆς καί ἄδοξης δόξας. Κι' ἔτσι κατακερματιζόμενος ὁ ἄθλιος ἄνθρωπος καί συρόμενος ἀπό τίς ποικίλες γι' αὐτά φροντίδες, οὔτε τόν ἥλιο ἀκόμη τόν ἴδιο οὔτε τόν ἀέρα, τόν κοινό σέ ὅλους πλοῦτο, δέν μπορεῖ νά ἀναπνεύση καί νά θεωρήση εὐχάριστα.

16 Αὐτός ὁ ἴδιος ὁ νοῦς μας, ἄν δέν ἀπομακρυνθῆ ἀπό τόν Θεό, διεγείρει τόν θυμό πού ἔχομε μέσα μας ἐναντίον μόνου τοῦ Διαβόλου καί χρησιμοποιεῖ τήν ἀνδρεία τῆς ψυχῆς κατά τῶν πονηρῶν παθῶν, κατά τῶν ἀρχόντων τοῦ σκότους, κατά τῶν πνευμάτων τῆς πονηρίας. Ἄν ὅμως δέν προσηλωθῆ στίς θεῖες ἐντολές τοῦ Κυρίου πού τόν ἐστρατολόγησε, μάχεται πρός τούς πλησίον του, μαίνεται κατά τῶν ὁμοφύλων, ἀποθηριώνεται ἐναντίον ἐκείνων πού δέν συναινοῦν στίς παράλογες ὀρέξεις του καί γίνεται, φεῦ, ἀνθρωποκτόνος ἄνθρωπος, ὡμοιωμένος ὄχι μόνο μέ τά κτήνη τά ἄλογα, ἀλλά καί μέ τά ἑρπετά καί μέ τά ἰοβόλα ζῶα, γινόμενος σκορπιός, ὄφις, γέννημα ἐχιδνῶν, αὐτός πού ὡρίσθηκε νά εἶναι στήν τάξι τῶν υἱῶν τοῦ Θεοῦ. Εἶδες πῶς διεσκόρπισε κι' ἔχασε τήν περιουσία του; «Ἀφοῦ τά ἐδαπάνησε ὅλα ὁ νεώτερος υἱός, ἄρχισε νά στερῆται καί ἔπεσε σέ πεῖνα». Ἀλλά δέν ἐσκεπτόταν ἀκόμη νά ἐπιστρέψη, διότι ἦταν ἄσωτος. Γι' αὐτό, «ἐπῆγε καί προσκολλήθηκε σ'

πεσών». Ἀλλ' οὔπω πρὸς ἐπιστροφὴν ἔβλεψε, καὶ γὰρ ἦν ἄσωτος· διὸ «καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης, καὶ αὐτὸς ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους».

17 Τίνες δὲ οἱ τῆς μακρὰν οὔσης τοῦ Θεοῦ χώρας πολῖται καὶ πολιτάρχαι; πάντως οἱ δαίμονες· ὑφ' ὧν πορνοβοσκὸς καὶ ἀρχιτελώνης καὶ ἀρχιληστής, καὶ στασιάρχης κατέστη, ὁ υἱὸς τοῦ οὐρανίου Πατρός. Πᾶν μὲν γὰρ πάθος διὰ τὴν ἄκραν ἀκαθαρσίαν ὁ χοιρώδης βίος αἰνίττεται· χοῖροι δέ εἰσιν οἱ τῷ βορβόρῳ τῶν παθῶν τούτων ἐγκυλινδούμενοι, ὧν ἐκεῖνος προστάς, ὡς καθ' ἡδυπάθειαν ὑπερέχων αὐτῶν, οὐκ ἠδύνατο κορεσθῆναι ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι, τουτέστι κόρον τῆς οἰκείας ἐπιθυμίας λαβεῖν οὐκ ἠδύνατο.

18 Πῶς ἡ τοῦ σώματος φύσις οὐκ ἀρκεῖ τοῦ ἀκολάστου ὑπηρετεῖν ταῖς ὁρμαῖς; Ὁ χρυσὸς ἢ ὁ ἄργυρος, τῷ φιλοχρύσῳ καὶ φιλαργύρῳ προσγεγονώς, τὴν ἔνδειαν ηὔξησε καὶ καθ' ὅσον ἂν πολὺς ἐπιρρεύσῃ, κατὰ τοσοῦτο πλείονος ἐπιθυμεῖν παρεσκεύασεν· ὁ κόσμος ἅπας μόλις, τάχα δὲ οὐδὲ μόλις ἀρκέσει πλεονέκτῃ καὶ φιλάρχῳ ἑνί. Ἐπεὶ οὖν πολλοὶ μὲν οὗτοι, κόσμος δὲ εἷς, πῶς ἄρα δυνήσεταί τις αὐτῶν τῆς οἰκείας ἐπιθυμίας κόρον εὑρεῖν; Οὕτω τοίνυν καὶ ὁ τοῦ Θεοῦ ἀποστατήσας ἐκεῖνος, οὐκ ἠδύνατο χορτασθῆναι. Οὐδὲ γὰρ ἐδίδου τίς φησι τὸν κόρον αὐτῷ. Τίς γὰρ ἂν καὶ ἔδωκεν; Ὁ Θεὸς ἀπῆν, οὗ καὶ τῇ θέᾳ μόνῃ κόρος ἀνεπαχθὴς τῷ ὁρῶντι προσγίνεται, κατὰ τὸν εἰπόντα, «Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου». Ὁ διάβολος οὐκ ἐθέλει κόρον παρασχεῖν τῶν αἰσχρῶν ἐπιθυμιῶν, ἐπεὶ μεταβολὴν τῆς πρὸς αὐτὰ σχέσεως ἐν τοῖς τρεπτοῖς ὁ κόρος ἐργάζεσθαι πέφυκεν. Εἰκότως οὖν οὐδεὶς ἐδίδου τὸν κόρον αὐτῷ.

ἕνα ἀπό τούς πολίτες τῆς χώρας ἐκείνης καί ἐκεῖνος τόν ἔστειλε στό ἀγρόκτημα νά βόσκη χοίρους».

17 Ποιοί δέ εἶναι οἱ πολίτες καί πολιτάρχες τῆς χώρας πού εἶναι μακριά ἀπό τόν Θεό; Φυσικά οἱ δαίμονες, ἀπό τούς ὁποίους ὁ υἱός τοῦ οὐρανίου Πατρός κατέστη πορνοβοσκός καί ἀρχιτελώνης καί ἀρχιληστής καί στασιάρχης. Διότι ὁ χοιρώδης βίος λόγω τῆς ἄκρας ἀκαθαρσίας του ὑπονοεῖ κάθε πάθος, χοῖροι δέ εἶναι ὅσοι κυλίονται στόν βόρβορο τῶν παθῶν τούτων. Ὅταν ἐκεῖνος ἔγινε προϊστάμενος τούτων, ὡς πρῶτος ἀπό ὅλους αὐτούς στήν ἡδυπάθεια, δέν μποροῦσε νά χορτάση ἀπό τά ξυλοκέρατα πού ἔτρωγαν οἱ χοῖροι, δηλαδή δέν ἦταν δυνατό νά λάβη κορεσμό τῆς ἐπιθυμίας του.

18 Πῶς ὅμως δέν ἀρκεῖ ἡ φύσις τοῦ σώματος νά ἐξυπηρετήση τίς ὁρμές τοῦ ἀκολάστου; Ὁ χρυσός ἤ ὁ ἄργυρος, ὅταν περιέλθη στόν φιλόχρυσο καί φιλάργυρο, αὐξάνει τήν στέρησι καί ὅσο περισσότερος εἰσρεύση, τόσο μεγαλύτερη ἐπιθυμία προκαλεῖ· μόλις θ' ἀρκέση σ' ἕναν πλεονέκτη καί φίλαρχο ὅλος ὁ κόσμος, ἴσως δέ οὔτε αὐτός. Ἐπειδή λοιπόν αὐτοί μέν εἶναι πολλοί, ὁ κόσμος δέ ἕνας, πῶς τότε θά μπορέση κανείς ἀπό αὐτούς νά εὕρη κόρο τῆς ἐπιθυμίας του; Ἔτσι λοιπόν καί ἐκεῖνος ὁ ἀποστάτης ἀπό τόν Θεό δέν μποροῦσε νά χορτασθῆ. Διότι ἄλλωστε, λέγει, δέν τοῦ προσέφερε κανείς τόν κόρο. Ποιός θά τοῦ τόν προσέφερε; Ὁ Θεός ἀπουσίαζε, μέ τοῦ ὁποίου καί τή θέα μόνο προκαλεῖται ἀβάρετος κόρος στόν βλέποντα, σύμφωνα μέ ἐκεῖνον πού εἶπε, «θά χορτάσω μόλις θεαθῆ ἀπό ἐμένα ἡ δόξα σου»[17]. Ὁ Διάβολος δέν θέλει νά προσφέρη κόρο τῶν αἰσχρῶν ἐπιθυμιῶν, ἐπειδή ἐκ φύσεως ὁ κόρος στά τρεπτά πράγματα προκαλεῖ μεταβολή τῆς σχέσεως πρός αὐτά. Εὐλόγως λοιπόν κανένας δέν τοῦ ἔδιδε τόν κόρο.

17. Ψαλμ. 16,15.

19 *Μόλις ποτὲ τοίνυν ἐφ' ἑαυτοῦ γενόμενος ὁ ἀποσκιρτήσας τοῦ πατρὸς ἐκεῖνος καὶ οἷ κακῶν ἔφθασεν ἐννοήσας, ἀπεκλαύσατο ἑαυτόν, λέγων· «πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι». Τίνες οἱ μίσθιοι; Οἱ διὰ τῶν τῆς μετανοίας ἱδρώτων καὶ τῆς ταπεινώσεως, οἷά τινα μισθὸν ἐπανακαλούμενοι τὴν σωτηρίαν. Υἱοὶ δέ εἰσιν οἱ διὰ τὴν πρὸς αὐτὸν ἀγάπην ταῖς αὐτοῦ ἐντολαῖς ὑποτασσόμενοι, καθάπερ καὶ ὁ Κύριος εἶπεν, «ὁ ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει».*

20 *Τῆς υἱοθεσίας ὁ νεώτερος ἀποπεσὼν υἱὸς καὶ τῆς ἱερᾶς πατρίδος ἐκπεσὼν ἑκὼν καὶ λιμῷ περιπεσών, καταγινώσκει ἑαυτοῦ καὶ ταπεινοῦται, καὶ μετανοεῖ λέγων· «ἀναστὰς πορεύσομαι καὶ προσπεσοῦμαι τῷ πατρὶ καὶ ἐρῶ· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου». Καλῶς ἄρα τὴν ἀρχὴν ἐλέγομεν, ὅτι ὁ πατὴρ οὗτος ὁ Θεός ἐστι· πῶς γὰρ ἥμαρτεν εἰς τὸν οὐρανόν, ὁ ἀποστατήσας τοῦ πατρὸς υἱός, εἰ μὴ οὐράνιος ἦν ὁ πατήρ; «Ἥμαρτον οὖν φησιν εἰς τὸν οὐρανόν», τουτέστιν εἰς τοὺς ἐν τῷ οὐρανῷ ἁγίους καὶ ὧν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, «καὶ ἐνώπιόν σου», ὃς ματὰ τῶν σῶν ἁγίων ἐν τῷ οὐρανῷ κατοικεῖς. «Καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου». Καλῶς τῇ νῦν ταπεινώσει συνετισθείς, ποίησόν με φησίν· οὐ γὰρ παρ' ἑαυτοῦ τις λαμβάνει τοὺς κατ' ἀρετὴν βαθμούς, εἰ καὶ μὴ χωρὶς τῆς αὐτοῦ προαιρέσεως. «Ἀναστὰς οὖν», φησίν, «ἦλθεν εἰς τὸν πατέρα αὐτοῦ· ἔτι δὲ μακρὰν ἀπέχοντος». Πῶς δὲ καὶ ἦλθε καὶ μακρὰν ἀπεῖχε, διὸ καὶ*

18. Ἰω. 14,23.

19 Μόλις πάντως κάποτε ἐκεῖνος ὁ ἀποστάτης ἀπό τόν πατέρα ἦλθε στά λογικά του καί ἀντιλήφθηκε σέ ποιό κατάντημα ἔφθασε, ἔκλαυσε τόν ἑαυτό του λέγοντας· «πόσοι μισθωτοί τοῦ πατρός μου ἔχουν ἀφθονία ἄρτων, ἐνῶ ἐγώ χάνομαι ἀπό τήν πεῖνα!». Ποιοί εἶναι οἱ μισθωτοί; Ἐκεῖνοι πού διά τῶν ἱδρώτων τῆς μετανοίας καί τῆς ταπεινώσεως παίρνουν σάν μισθό τή σωτηρία. Υἱοί δέ εἶναι ἐκεῖνοι πού λόγω τῆς ἀγάπης πρός αὐτόν ὑποτάσσονται στίς ἐντολές του, ὅπως εἶπε καί ὁ Κύριος, «ὅποιος μέ ἀγαπᾶ, θά τηρήση τίς ἐντολές μου»[18].

20 Ἔτσι λοιπόν ὁ νεώτερος υἱός ἀφοῦ ἀπέπεσε ἀπό τήν υἱοθεσία καί ἐξέπεσε ἀπό τήν ἱερά πατρίδα καί περιέπεσε σέ πεῖνα, ἀντιλαμβάνεται τή θλιβερή κατάστασί του καί ταπεινώνεται καί μετανοεῖ λέγοντας «θά σηκωθῶ νά ὑπάγω καί νά γονατίσω στόν πατέρα μου καί θά τοῦ εἰπῶ, πατέρα, ἁμάρτησα στόν οὐρανό καί σέ σένα». Καλῶς λοιπόν στήν ἀρχή ἐλέγαμε ὅτι αὐτός ὁ πατέρας εἶναι ὁ Θεός· διότι πῶς θά ἁμάρτανε στόν οὐρανό ὁ νέος πού ἀπεστάτησε ἀπό τόν πατέρα, ἄν ὁ πατέρας δέν ἦταν οὐράνιος; «Ἁμάρτησα λοιπόν», λέγει, «στόν οὐρανό», δηλαδή στούς ἁγίους πού εὑρίσκονται στόν οὐρανό καί εἶναι πολίτες τοῦ οὐρανοῦ, «καί σέ σένα», πού κατοικεῖς μαζί μέ τούς ἁγίους σου στούς οὐρανούς. «Καί δέν εἶμαι πλέον ἄξιος νά ὀνομάζωμαι υἱός σου· κάμε με σάν ἕνα ἀπό τούς μισθωτούς σου». Καλῶς λέγει, σωφρονισμένος ἀπό τήν τωρινή του ταπείνωσι, «κάμε με»· διότι δέν λαμβάνει κανείς ἀπό τόν ἑαυτό του τούς βαθμούς τῆς ἀρετῆς, ἄν καί ἐπίσης δέν τούς λαμβάνει χωρίς τήν προαίρεσί του. «Ἀφοῦ λοιπόν ἐσηκώθηκε, ἦλθε στόν πατέρα του. Ἐνῶ δέ ἀπεῖχε ἀκόμη πολύ». Πῶς καὶ ἦλθε καί συγχρόνως ἀπεῖχε πολύ, γι' αὐτό καί ὁ πατέρας του τόν εὐσπλαγχνίσθηκε καί ἐξῆλθε πρός συνάντησί του; Ὁ ἄνθρωπος πού μετανοεῖ μέ

σπλαγχνισθεὶς ὁ πατὴρ αὐτοῦ ἐξῆλθεν εἰς συνάντησιν αὐτοῦ. Ὁ μετανοῶν ἄνθρωπος ἐκ ψυχῆς, τῇ μὲν ἀγαθῇ προθέσει καὶ τὸ τῆς ἁμαρτίας ἐκστῆναι φθάνει πρὸς τὸν Θεόν· ὑπὸ δὲ τῆς κακῆς συνηθείας καὶ τῶν προλήψεων λογιστικῶς τυραννούμενος, ἔτι μακρὰν ἀπέχει Θεοῦ καὶ πολλῆς δεῖται τῆς ἄνωθεν εὐσπλαγχνίας καὶ βοηθείας, εἰ μέλλει σώζεσθαι.

21 Διὸ καὶ ὁ πατὴρ τῶν οἰκτιρμῶν συγκαταβὰς ὑπήντησε καὶ περιπλακεὶς κατεφίλησε καὶ τοῖς αὐτοῦ δούλοις, ἤτοι τοῖς ἱερεῦσιν ἐκέλευσε τὴν στολὴν αὐτὸν τὴν πρώτην ἐνδύσαι, ἤτοι τὴν υἱοθεσίαν, ἣν καὶ πρώην διὰ τοῦ ἁγίου βαπτίσματος ἠμφιάσατο καὶ δακτύλιον δοῦναι εἰς τὴν χεῖρα αὐτοῦ, τουτέστι τῷ πρακτικῷ τῆς ψυχῆς, ὃ δηλοῦται διὰ τῆς χειρός, ἐνθεῖναι σφραγῖδα θεωρητικῆς ἀρετῆς, ἀρραβῶνα τῆς μελλούσης κληρονομίας, ἀλλὰ καὶ ὑποδήματα εἰς τοὺς πόδας, θείαν φυλακὴν καὶ ἀσφάλειαν ἐνδυναμοῦσαν αὐτὸν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Εἶτα καὶ μόσχον κελεύει τὸν σιτευτὸν ἐνεγκεῖν καὶ θῦσαι καὶ προθεῖναι εἰς βρῶσιν. Ὁ μόσχος δέ ἐστιν οὗτος αὐτὸς ὁ Κύριος, ὃς ἐξάγεται μὲν τοῦ κρυφίου τῆς θεότητος καὶ αὐτῆς τῆς ὑπεράνω κειμένης τοῦ παντὸς ἕδρας καὶ ὡς ἄνθρωπος ἐπὶ γῆς ὀφθείς, ὡς μόσχος ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν θύεται καὶ ὡς σιτευτός, τουτέστιν ἄρτος εἰς βρῶσιν ἡμῖν προτίθεται.

22 Κοινὴν δὲ ποιεῖται τὴν ἐπὶ τούτοις εὐφροσύνην καὶ τὴν εὐωχίαν ὁ Θεὸς μετὰ τῶν αὐτοῦ ἁγίων, τὰ ἡμῶν ὑπ' ἄκρας οἰκειούμενος φιλανθρωπίας καὶ λέγων, «δεῦτε φαγόντες εὐφρανθῶμεν». Ἀλλ' ὁ προσβύτερος υἱὸς ὀργίζεται. Νόει μοι πάλιν τοὺς Ἰουδαίους ὀργιζομένους ἐπὶ τῇ κλήσει τῶν ἐθνῶν, τοὺς Γραμματεῖς καὶ Φαρισαίους

τήν ψυχή του διά μέν τῆς ἀγαθῆς προθέσεως καί τῆς ἀποχῆς ἀπό τήν ἁμαρτία φθάνει πρός τόν Θεό· ἀπό τήν κακή ὅμως συνήθεια καί τίς προλήψεις τυραννούμενος νοερῶς, ἀπέχει ἀκόμη πολύ ἀπό τόν Θεό, καί ἄν πρόκειται νά σωθῆ, χρειάζεται μεγάλη ἀπό ἄνω εὐσπλαγχνία καί βοήθεια.

21 Γι' αὐτό καί ὁ πατέρας τῶν οἰκτιρμῶν συγκαταβαίνοντας τόν προϋπάντησε, τόν ἀγκάλιασε καί τόν κατεφίλησε, παρήγγειλε δέ στούς δούλους του, δηλαδή στούς ἱερεῖς, νά τόν ἐνδύσουν τήν πρώτη στολή, δηλαδή τήν υἱοθεσία, τήν ὁποία καί πρωτύτερα εἶχε φορέσει διά τοῦ ἁγίου βαπτίσματος, καί νά τοῦ βάλουν δακτυλίδι στό χέρι του, δηλαδή στό πρακτικό μέρος τῆς ψυχῆς πού δηλώνεται μέ τό χέρι, νά τοποθετήσουν σφραγῖδα θεωρητικῆς ἀρετῆς, ὡς ἀρραβῶνα τῆς μελλοντικῆς κληρονομίας, ἀλλά καί ὑποδήματα στά πόδια, θεία δηλαδή φρουρά καί ἀσφάλεια πού θά τόν ἐνδυναμώνη νά πατῆ ἐπάνω σέ ὄφεις καί σκορπιούς κι' ἐπάνω σέ ὅλη τή δύναμι τοῦ ἐχθροῦ. Ἔπειτα παραγγέλλει νά φέρουν καί σφάξουν ἕνα σιτευτό μόσχο καί νά τόν παραθέσουν σέ τραπέζι. Ὁ δέ μόσχος εἶναι ὁ ἴδιος ὁ Κύριος, ὁ ὁποῖος ἐξέρχεται μέν ἀπό τά κρύφια τῆς θεότητος καί ἀπό τόν θρόνο πού εὑρίσκεται ὑπεράνω τοῦ παντός καί ὅταν ἐφάνηκε σάν ἄνθρωπος ἐπάνω στή γῆ θυσιάζεται ὡς μόσχος γιά χάρι ἡμῶν τῶν ἁμαρτωλῶν καί ὡς σιτευτός, δηλαδή ὡς ἄρτος, παρατίθεται σέ μᾶς πρός βρῶσιν.

22 Κάμνει δέ κοινή τήν μ' αὐτή τήν εὐκαιρία εὐφροσύνη καί εὐωχία ὁ Θεός μέ τούς ἁγίους του, ἀναλαμβάνοντας ἀπό ἄκρα φιλανθρωπία τίς συνήθειές μας καί λέγοντας· «ἔλθετε νά φάγωμε κι' εὐφρανθοῦμε». Ἀλλά ὁ πρεσβύτερος υἱός ὀργίζεται. Πρέπει νά ὑπονοῆς, παρακαλῶ, πάλι τούς Ἰουδαίους πού ὀργίζονται γι' αὐτήν τήν πρόσκλησι, τούς Γραμματεῖς καί Φαρισαίους πού σκανδαλίζονται, διότι ὁ Κύριος ὑποδέχεται ἁμαρ-

σκανδαλιζομένους, ὅτι ὁ Κύριος ἁμαρτωλοὺς προσδέχεται καὶ συνεσθίει αὐτοῖς. Εἰ δὲ καὶ περὶ τῶν δικαίων τοῦτο νοεῖν ἐθέλεις, τί θαυμαστόν, εἰ καὶ δίκαιος ἀγνοεῖ τὸν ὑπὲρ πάντα νοῦν πλοῦτον τῆς τοῦ Θεοῦ χρηστότητος; διὸ καὶ παρακαλεῖται παρὰ τοῦ κοινοῦ Πατρός, καὶ τὰ εἰκότα διδάσκεται, λέγοντος πρὸς αὐτόν, «σὺ πάντοτε μετ' ἐμοῦ εἶ», τῆς ἀναλλοιώτου εὐφροσύνης κοινωνῶν· «εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος, νεκρὸς ἦν καὶ ἀνέζησεν, ἀπολωλὼς ἦν καὶ εὑρέθη», νεκρὸς ἦν τῇ ἁμαρτίᾳ καὶ ἀνέζησε τῇ μετανοίᾳ, καὶ ἀπολωλὼς ἦν, ὡς μὴ εὑρισκόμενος ἐν τῷ Θεῷ· εὑρεθεὶς οὖν, χαρᾶς πληροῖ τὸν οὐρανόν, καθὰ γέγραπται, «χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι».

23 *Τί δέ ἐστι, διὸ μάλιστα λυπεῖται ὁ πρεσβύτερος υἱός; «ὅτι ἐμοί», φησίν, «οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ, ὅτε δὲ ὁ υἱός σου οὗτος, ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν». Τοσοῦτο γὰρ τὸ ὑπερβάλλον τῶν εἰς ἡμᾶς χαρισμάτων τοῦ Θεοῦ ὅτι καὶ οἱ ἄγγελοι ἐπεθύμησαν παρακύψαι εἰς τὰ χαρισθέντα διὰ τῆς αὐτοῦ ἐνανθρωπήσεως ἡμῖν, καθά φησιν ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος. Ἀλλὰ καὶ οἱ δίκαιοι ἐπεθύμησαν καὶ πρὸ καιροῦ δι' αὐτὰ ἐλθεῖν τὸν Χριστόν, ὡς καὶ Ἀβραὰμ ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν αὐτοῦ· ὁ δὲ τότε οὐκ ἦλθε, καὶ ὅτε ἦλθεν, οὐκ ἦλθε καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, καὶ ὑπὲρ αὐτῶν μάλιστα σταυροῦται ὁ τὴν ἁμαρτίαν αἴρων τοῦ κόσμου· ὑπερεπερίσσευσε γὰρ ἡ χάρις, ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία.*

---

19. Λουκᾶ 15,7.

20. Α΄ Πέτρ. 1,12.

τωλούς καί συνεσθίει μέ αὐτούς. Ἐάν δέ θέλης νά ἐννοήσης τοῦτο καί ἐπί τῶν δικαίων, τί παράδοξο εἶναι, ἄν καί ὁ δίκαιος ἀγνοῆ τόν ἀνώτερο κάθε συλλήψεως πλοῦτο τῆς χρηστότητος τοῦ Θεοῦ; Γι' αὐτό καί παρηγορεῖται ἀπό τόν κοινό πατέρα καί διδάσκεται τά κατάλληλα ἀπό αὐτόν μέ τά λόγια, «ἐσύ εἶσαι πάντοτε μαζί μου», μετέχοντας στήν ἀναλλοίωτη εὐφροσύνη· «ἔπρεπε λοιπόν νά εὐχαριστηθῆς καί νά χαρῆς διότι αὐτός ὁ ἀδελφός σου ἦταν νεκρός καί ἀνέζησε, ἦταν χαμένος καί εὑρέθηκε». Ἦταν νεκρός ἀπό τήν ἁμαρτία καί ἀνέζησε μέ τήν μετάνοια, ἦταν δέ καί χαμένος, ἀφοῦ δέν ἦταν μαζί μέ τόν Θεό. Ἀφοῦ λοιπόν εὑρέθηκε, γεμίζει τόν οὐρανό μέ χαρά, ὅπως ἔχει γραφῆ, «χαρά γίνεται στόν οὐρανό γιά ἕναν ἁμαρτωλό πού μετανοεῖ»[19].

23 Τί δέ εἶναι αὐτό γιά τό ὁποῖο λυπεῖται ὁ πρεσβύτερος υἱός; «Ὅτι ἐμένα», λέγει, «δέν μοῦ ἔδωσες ποτέ ἕνα κατσίκι, γιά νά διασκεδάσω μέ τούς φίλους μου, ὅταν δέ ἦλθε αὐτός ὁ υἱός σου, πού κατέφαγε τήν περιουσία σου μέ τίς πόρνες, τοῦ ἔσφαξες τόν μόσχο τόν σιτευτό». Τόσο ἐξαίρετα εἶναι τά πρός ἐμᾶς χαρίσματα τοῦ Θεοῦ, ὥστε καί οἱ ἄγγελοι ἐπεθύμησαν νά κυττάξουν τά χαρισθέντα σ' ἐμᾶς διά τῆς ἐνανθρωπήσεώς του, ὅπως λέγει ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος[20]. Ἀλλά καί οἱ δίκαιοι ἐπεθύμησαν νά ἔλθη γι' αὐτά ὁ Χριστός καί πρίν ἀπό τήν ὥρα του ἀκόμη, ὅπως καί ὁ Ἀβραάμ ἐπεθύμησε νά ἰδῆ τήν ἡμέρα του. Αὐτός βέβαια τότε δέν ἦλθε, καί ὅταν ἦλθε, δέν ἦλθε νά καλέση δικαίους ἀλλά ἁμαρτωλούς σέ μετάνοια, καί κυρίως ὑπέρ αὐτῶν σταυρώνεται αὐτός πού ἀπαλείφει τήν ἁμαρτία τοῦ κόσμου· διότι ὑπερεπερίσσευσε ἡ χάρις, ὅπου ἐπλεόνασε ἡ ἁμαρτία[21].

---

21. Ρωμ. 5,20.

24 Ὅτι δὲ τῶν δικαίων αἰτούντων οὐδὲ ἓν τῶν ἐρίφων δίδωσι, τουτέστι τῶν ἁμαρτωλῶν, σαφὲς ἡμῖν γέγονεν ἔκ τε ἄλλων οὐκ ὀλίγων καὶ ἀπὸ τῆς κατὰ τὸν ἱερὸν καὶ μακάριον Κάρπον ὀπτασίας μάλιστα. Οὗτος γὰρ οὐ μόνον οὐκ ἠκούσθη πονηρῶν τινων ἀνδρῶν ἐπαρώμενος, καὶ δίκαιον οὐκ εἶναι λέγων, εἰ ζῶσιν ἄνδρες ἄθεοι καὶ διαστρέφοντες τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας, ἀλλὰ καὶ θείας ἀγανακτήσεως ἐπειράθη καὶ φρικωδεστάτων τινῶν ἐπύθετο λόγων, πρὸς ἐπίγνωσιν τῆς ἀρρήτου καὶ ὑπὲρ νοῦν θείας ἀνοχῆς ἐναγόντων, καὶ μὴ μόνον οὐκ ἐπαρᾶσθαι πειθόντων, ἀλλὰ καὶ εὔχεσθαι τῶν ἐν πονηρίᾳ ζώντων, τοῦ Θεοῦ καιρὸν ἔτι μετανοίας παρέχοντος ἐκείνοις. Ἵνα τοίνυν τοῦτο δείξῃ ὁ Θεὸς τῶν μετανοούντων, ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ ἵνα προσπαραστήσῃ, ὅτι τοῖς διὰ μετανοίας ἐπιστραφεῖσι μεγάλα καὶ ἐπίφθονα δῶρα δίδωσιν, οὕτω διέθηκε τὴν παραβολήν.

25 Ἐπιλαβώμεθα οὖν καὶ ἡμεῖς ἀδελφοὶ δι' ἔργου τῆς μετανοίας, ἀποταξώμεθα τῷ πονηρῷ καὶ τοῖς βοσκήμασιν αὐτοῦ· ἀποσχώμεθα τῶν χοίρων καὶ τῶν αὐτοὺς τρεφόντων κερατίων, δηλονότι τῶν βδελυρῶν παθῶν καὶ τῶν τούτοις προσκειμένων· ἀποστῶμεν τῆς πονηρᾶς νομῆς, τουτέστι τῆς κακῆς συνηθείας· φύγωμεν τὴν τῶν παθῶν χώραν, ἥτις ἐστὶν ἀπιστία καὶ ἀπληστία καὶ ἀκρασία, ἐν αἷς λιμὸς ἰσχυρὸς τῶν ἀγαθῶν γίνεται καὶ λιμοῦ χείρω πάθη· δράμωμεν πρὸς τὸν πατέρα τῆς ἀφθαρσίας, τὸν δοτῆρα τῆς ζωῆς, τὴν ὁδὸν τῆς ζωῆς διὰ τῶν ἀρετῶν βαδίσαντες. Ἐκεῖ γὰρ αὐτὸν εὑρήσομεν πρὸς ὑπαντὴν ὑπὸ φιλανθρωπίας ἐξελθόντα καὶ χαριζόμενον ἡμῖν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν, τὸ σύνθημα τῆς ἀφθαρσίας, τὸν ἀρρα-

24 Ὅτι δέ δέν δίδει οὔτε ἕνα κατσίκι στούς δικαίους, ὅταν ζητοῦν, δηλαδή οὔτε ἕνα ἁμαρτωλό, γίνεται σ' ἐμᾶς σαφές καί ἀπό ἄλλα πολλά καί ἰδιαιτέρως ἀπό τήν ὀπτασία τοῦ ἱεροῦ καί μακαρίου Κάρπου[22]. Διότι αὐτός ὄχι μόνο δέν εἰσακούσθηκε ὅταν καταράσθηκε μερικούς πονηρούς ἄνδρες καί ἔλεγε ὅτι δέν εἶναι δίκαιο νά ζοῦν ἄνδρες ἄθεοι πού διαστρέφουν τούς εὐθεῖς δρόμους τοῦ Κυρίου, ἀλλά ἐδοκίμασε καί τήν θεία ἀγανάκτησι καί ἄκουσε φρικώδεις λόγους πού ὡδηγοῦσαν στήν ἐπίγνωσι τῆς ἀρρήτου καί ὑπέρ νοῦν θείας ἀνοχῆς καί ἔπειθαν ὄχι μόνο νά μή καταρᾶται, ἀλλά καί νά εὔχεται ὑπέρ αὐτῶν πού ζοῦν στήν πονηρία, διότι ὁ Θεός παρέχει σ' ἐκείνους ἀκόμη προθεσμία μετανοίας. Γιά νά δείξη λοιπόν τοῦτο ὁ Θεός τῶν μετανοούντων, ὁ εὔσπλαγχνος πατήρ, καί γιά νά παραστήση ἐπί πλέον ὅτι δίδει μεγάλα καί ἐπίφθονα δῶρα στούς ἐπιστρέφοντας μέ μετάνοια, συνέθεσε μέ αὐτόν τόν τρόπο τήν παραβολή.

25 Ἄς ἐπιληφθοῦμε λοιπόν κι' ἐμεῖς, ἀδελφοί, τῆς μετανοίας μέ ἔργα, ἄς ἐγκαταλείψωμε τόν πονηρό καί τά βοσκήματά του· ἄς μείνωμε μακριά ἀπό τούς χοίρους καί ἀπό τά ξυλοκέρατα πού τούς τρέφουν, δηλαδή ἀπό τά βδελυρά πάθη καί τούς προσκολλημένους σ' αὐτά· ἄς σταθοῦμε μακριά ἀπό τήν πονηρά νομή, δηλαδή τήν κακή συνήθεια· ἄς ἀποφύγωμε τήν χώρα τῶν παθῶν, δηλαδή τήν ἀπιστία καί ἀπληστία καί ἀκρασία, ὅπου συμβαίνει φοβερός λιμός ἀγαθῶν καί ἐπέρχονται πάθη χειρότερα ἀπό τόν λιμό· ἄς τρέξωμε πρός τόν Πατέρα τῆς ἀφθαρσίας, τόν δότη τῆς ζωῆς, βαδίζοντας τήν ὁδό τῆς ζωῆς διά τῶν ἀρετῶν. Ἐκεῖ θά τόν εὕρωμε νά ἔχη ἐξέλθει ἀπό φιλανθρωπία γιά προϋπάντησι καί νά μᾶς χαρίζη τήν ἄφεσι τῶν ἁμαρτιῶν μας, τό σύμβολο τῆς ἀφθαρσίας; τόν ἀρραβῶνα τῆς μελλοντικῆς

22. Ὁ ἐπίσκοπος Κάρπος ἐμαρτύρησε τόν 2ον αἰῶνα ἐπὶ Μάρκου Αὐρηλίου μαζὶ μὲ τὸν Παπίλον καὶ τὴν Ἀγαθονίκη.

βῶνα τῆς μελλούσης κληρονομίας· ἐπεὶ καὶ ὁ ἄσωτος υἱός, καθάπερ παρὰ τοῦ Σωτῆρος ἐδιδάχθημεν, μέχρις ἂν ἦν ἐν τῇ χώρᾳ τῶν παθῶν, εἰ καὶ διεγοεῖτο καὶ ἔλεγε τὰ ῥήματα τῆς μετανοίας, ἀλλ' οὐδενὸς ἔτυχε χρηστοῦ, ἕως οὗ ἀφεὶς ἅπαντα ἐκεῖνα τὰ ἔργα τῆς ἁμαρτίας, δραμὼν ἦλθε πρὸς τὸν πατέρα καὶ τῶν ὑπὲρ ἐλπίδα τυχών, ἔμεινε πάντως τοῦ λοιποῦ σὺν ταπεινώσει, σωφρονῶν καὶ δικαιοπραγῶν καὶ συντηρῶν ἑαυτῷ τὴν ἐγκαινισθεῖσαν ὑπὸ τοῦ Θεοῦ χάριν ἀσινῆ.

26 Ἧς γένοιτο καὶ ἡμᾶς πάντας ἐπιτυχεῖν καὶ διατηρεῖν ἀμείωτον, ὡς ἂν καὶ ἐν τῷ μέλλοντι αἰῶνι συνευφρανθῶμεν τῷ σεσωσμένῳ ἀσώτῳ ἐπὶ τῆς ἄνω Ἰερουσαλήμ, τῆς μητρὸς τῶν ζώντων, τῆς Ἐκκλησίας τῶν πρωτοτόκων, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

κληρονομίας. Καί ὁ ἄσωτος υἱός ἄλλωστε, ὅπως ἐδιδαχθήκαμε ἀπό τόν Σωτῆρα, ὅσον καιρό εὑρισκόταν στή χώρα τῶν παθῶν, ἄν καί ἐσκεπτόταν καί ἔλεγε τά λόγια τῆς μετανοίας, δέν ἐπέτυχε τίποτε τό καλό, ἕως ὅτου ἀφήνοντας ὅλα ἐκεῖνα τά ἔργα τῆς ἁμαρτίας ἦλθε τρέχοντας πρός τόν πατέρα κι' ἀφοῦ ἐπέτυχε τά ἀνέλπιστα, ἔμεινε ὁπωσδήποτε στό ἑξῆς πλησίον του μέ ταπείνωσι, σωφρονώντας, δικαιοπραγώντας καί διατηρώντας ἀκεραία τήν ἀνανεωμένη ἀπό τόν Θεό χάρι.

26 Αὐτήν τή χάρι εἴθε νά τήν ἐπιτύχωμε ὅλοι μας καί νά τήν διατηρήσωμε ἀμείωτη, ὥστε καί στόν μέλλοντα αἰῶνα νά συνευφρανθοῦμε μέ τόν σεσωσμένο ἄσωτο στήν ἄνω Ἰερουσαλήμ, τήν μητέρα τῶν ζώντων, τήν Ἐκκλησία τῶν πρωτοτόκων, ἐν Χριστῷ τῷ Κυρίῳ ἡμῶν, στόν ὁποῖο πρέπει δόξα στούς αἰῶνες. Γένοιτο.





ΣΤΟ ΕΥΑΓΓΕΛΙΟ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΠΑΡΟΥΣΙΑΣ ΤΟΥ ΧΡΙΣΤΟΥ

Καί περί εὐσπλαγχνίας καί εὐποιΐας

ΟΜΙΛΙΑ Δ

ΕΙΣ ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΠΑΡΟΥΣΙΑΣ

καὶ περὶ εὐσπλαγχνίας καὶ εὐποιΐας

1 *Τῇ μὲν παρελθούσῃ Κυριακῇ μνήμην ἐποιεῖτο ἡ Ἐκκλησία τῆς τοῦ Θεοῦ περὶ ἡμᾶς ἀνεικάστου φιλανθρωπίας, διὰ τῆς τοῦ σεσωσμένου ἀσώτου παραβολῆς. Τῇ δὲ παρούσῃ διδάσκει περὶ τῆς μελλούσης τοῦ Θεοῦ φρικωδεστάτης κρίσεως, καλῶς τῇ τάξει χρωμένη, καὶ ταῖς προφητικαῖς ἀκολουθοῦσα φωναῖς· «ἔλεον γάρ», φησί, «καὶ κρίσιν ᾄσομαί σοι Κύριε», καὶ «ἅπαξ ἐλάλησεν ὁ Θεός, δύο ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ Θεοῦ, καὶ σοῦ Κύριε τὸ ἔλεος, ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ».*

1. Ματθ. 25,31-46.
2. Ψαλμ. 100,1.

ΟΜΙΛΙΑ 4

ΣΤΟ ΕΥΑΓΓΕΛΙΟ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΠΑΡΟΥΣΙΑΣ ΤΟΥ ΧΡΙΣΤΟΥ

Καί περί εὐσπλαγχνίας καί εὐποιΐας[1]

1 

ήν περασμένη Κυριακή ἡ Ἐκκλησία ἐμνημόνευε τήν ἀπερίγραπτη φιλανθρωπία τοῦ Θεοῦ πρός ἐμᾶς πού παρουσιάζεται μέ τήν παραβολή τοῦ σεσωσμένου ἀσώτου. Τήν σημερινή Κυριακή διδάσκει περί τῆς μελλούσης φρικωδεστάτης κρίσεως τοῦ Θεοῦ, χρησιμοποιώντας μιά καλή τάξι καί ἀκολουθώντας τίς προφητικές φωνές· διότι, λέγει, «θά σοῦ ψάλω, Κύριε, ἔλεος καί κρίσι»[2], καί «μιά φορά ἐλάλησε ὁ Θεός καί ἄκουσα τά δυό αὐτά, ὅτι τό κράτος εἶναι τοῦ Θεοῦ καί ἰδικό σου, Κύριε, τό ἔλεος, διότι ἐσύ θ' ἀποδώσης στόν καθένα κατά τά ἔργα του»[3].

---

3. Ψαλμ. 61,11.

2 Τὸ ἔλεος οὖν καὶ ἡ μακροθυμία προηγεῖται τῆς θείας κρίσεως· πᾶσαν γὰρ ἀρετὴν ὁ Θεὸς ἐν ἑαυτῷ προέχων καὶ περιέχων, καὶ δίκαιος ἐνταυτῷ καὶ ἐλεήμων ὤν, ἐπειδὴ τῇ κρίσει τὸ ἔλεος οὐ συνέρχεται, κατὰ τὸ γεγραμμένον, «πτωχὸν ἐν κρίσει μὴ ἐλεήσῃς», εἰκότως διένειμεν ὁ Θεὸς ἑκάτερα τοὺς καιρούς· τὸν μὲν παρόντα μακροθυμίας τάξας καιρόν, ἀνταποδόσεως δὲ τὸν μέλλοντα. Καὶ διὰ τοῦτο τὰ ἐπὶ τῆς ἱερᾶς Ἐκκλησίας τελούμενα οὕτω διέθηκεν ἡ τοῦ Πνεύματος χάρις, ἵνα τοῦτο μαθόντες ἡμεῖς, ὅτι τὴν ἐπὶ τοῖς ἁμαρτήμασι συγγνώμην ἀπὸ τῶν ἐνταῦθα λαμβάνομεν, σπεύσωμεν ἔτι τῷ βίῳ περιόντες τούτῳ, τοῦ αἰωνίου τυχεῖν ἐλέους, καὶ τῆς θείας ἀξίους ἑαυτοὺς ποιῆσαι φιλανθρωπίας· ἐκείνη γὰρ ἡ κρίσις ἀνήλεός ἐστι τῷ μὴ ποιήσαντι ἔλεος.

3 Περὶ μὲν οὖν τῆς ἀνεικέστου τοῦ Θεοῦ περὶ ἡμᾶς εὐσπλαγχνίας, προλαβόντες ἔναγχος προεθέμεθα, σήμερον δὲ περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας ἡμῖν ὁ λόγος, καὶ τῆς κατ' αὐτὴν φρικωδεστάτης κρίσεως, καὶ τῶν κατ' αὐτὴν ἀπορρήτως τελεσθησομένων, «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη», θείου Πνεύματος ἄμοιρον, μὴ μόνον τὴν ἀνθρωπίνην αἴσθησιν, ἀλλὰ καὶ νοῦν καὶ λόγον ὑπερβαίνοντα τὸν ἀνθρώπινον· εἰ γὰρ καὶ αὐτός ἐστιν ὁ πάντα εἰδώς, καὶ κρίνειν μέλλων πᾶσαν τὴν γῆν, ὁ διδάσκων περὶ τούτων ἡμᾶς, ἀλλὰ συγκαταβαίνει τῇ δυνάμει τῶν διδασκομένων, συμμέτρους τοὺς λόγους ἀποδιδούς· διὰ τοῦτο καὶ ἀστραπή, καὶ νεφέλαι, καὶ σάλπιγξ, καὶ θρόνος, καὶ τὰ ὅμοια τούτοις εἰσάγεται, καίτοι καινοὺς οὐρανούς,

4. Παροιμ. 24,23.

2 Τό ἔλεος λοιπόν καί ἡ μακροθυμία προηγεῖται τῆς θείας κρίσεως. Πραγματικά ὁ Θεός, ἔχοντας καί περιέχοντας κατ' ἐξοχήν ὅλες τίς ἀρετές, καί ὄντας συγχρόνως δίκαιος καί ἐλεήμων, ἐπειδή τό ἔλεος δέν συμβαδίζει μέ τήν κρίσι, σύμφωνα μέ τό γραμμένο, «νά μή εὐσπλαγχνισθῆς πτωχό κατά τήν κρίσι»[4], εὐλόγως ὁ Θεός κατένειμε τό καθένα στόν καιρό του· τόν παρόντα καιρό τόν ὥρισε γιά τήν μακροθυμία, τόν μέλλοντα γιά τήν ἀνταπόδοσι. Γι' αὐτό τά τελούμενα στήν Ἐκκλησία ἡ θεία χάρις διέθεσε κατά τέτοιον τρόπο, ὥστε ἐμεῖς ἀντιλαμβανόμενοι τοῦτο, ὅτι τήν συγγνώμη γιά τά ἁμαρτήματα λαμβάνομε ἀπό τά ἐδῶ συμβαίνοντα, νά σπεύσωμε, ὅσο ζοῦμε ἀκόμη στόν παρόντα βίο, νά ἐπιτύχωμε τό αἰώνιο ἔλεος καί νά καταστήσωμε τούς ἑαυτούς μας ἀξίους τῆς θείας φιλανθρωπίας. Διότι ἐκείνη ἡ κρίσις, ἡ τελευταία, εἶναι ἀνηλέητος γι' αὐτόν πού δέν ἔδειξε ἔλεος.

3 Περί τῆς ἀπερίγραπτης λοιπόν γιά μᾶς εὐσπλαγχνίας τοῦ Θεοῦ ὠμιλήσαμε μόλις πρό ὀλίγου. Σήμερα δέ θά ὁμιλήσωμε περί τῆς δευτέρας παρουσίας τοῦ Χριστοῦ, καθώς καί περί τῆς φρικωδεστάτης κρίσεως καί περί ὅσων θά συμβοῦν κατ' αὐτήν ἀπορρήτως· πράγματα πού ὀφθαλμός δέν εἶδε καί οὖς δέν ἤκουσε καί πού δέν ἀνέβηκαν στή σκέψι ἀνθρώπου[5], ἄν εἶναι ἀμέτοχη θείου Πνεύματος, πού ὑπερβαίνουν ὄχι μόνο τήν ἀνθρώπινη αἴσθησι, ἀλλά καί τόν ἀνθρώπινο νοῦ καί λόγο. Διότι, ἄν καί αὐτός πού μᾶς διδάσκει γιά ὅλα τοῦτα εἶναι αὐτός πού γνωρίζει τά πάντα καί πρόκειται νά κρίνη ὅλη τή γῆ, ἀλλά συγκαταβαίνει πρός τήν δυναμικότητα τῶν διδασκομένων, προσφέροντας τούς λόγους συμμέτρους πρός αὐτήν. Γι' αὐτό εἰσάγονται ἀστραπή καί νεφέλες, σάλπιγξ καί θρόνος καί τά ὅμοια μέ αὐτά.

5. Α΄ Κορ. 2,9.

καὶ καινὴν γῆν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, τῶν νῦν ὄντων ἀλλοιουμένων.

4 *Εἰ δὲ καὶ λεγόμενα μόνον, καὶ συγκαταβατικῶς οὕτω λεγόμενα, φρίκης καὶ δέους τὴν ψυχὴν τῶν συνετῶς ἀκουόντων πληροῖ, τίς ὑποίσει τότε τῶν πραγμάτων αὐτῶν τελουμένων; Ποταποὺς δὲ δεῖ ἡμᾶς εἶναι ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις, προσδοκῶντας τὴν παρουσίαν τῆς τοῦ Θεοῦ ἡμέρας; δι' ἣν ὡς ὁ θεῖος Πέτρος φησίν, «οὐρανοὶ μὲν πυρούμενοι λυθήσονται, στοιχεῖα δὲ καυσούμενα τήκεται· γῇ δὲ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται». Πρὸ δὲ τούτων ἡ βαρυτάτη τοῦ ἀντιχρίστου κατὰ τῆς πίστεως ἔσται παρουσία τε καὶ ἐπήρεια, ἥτις εἰ μὴ ἐκολοβώθη χρόνον ὀλίγον συγχωρηθεῖσα, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ, ὡς ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις φησί· διὸ καὶ τοῖς οἰκείοις παραγγέλει, λέγων· «ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι, καὶ σταθῆναι ἔμπροσθεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου».*

5 *Φρίκης μὲν οὖν ὑπερβαλλούσης πάντα ἐκεῖνα γέμει, ἀλλὰ τοῖς ἐν ἀπιστίᾳ καὶ ἀδικίᾳ καὶ ῥᾳθυμίᾳ τὸν ἑαυτὸν βίον ἀναλίσκουσι, καὶ τῶν εἰρημένων ἀπειλεῖται δεινότερα, καθάπερ αὐτὸς ὁ Κύριος λέγει, ὅτι· «τότε κλαύσονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς». Φυλαί δέ εἰσι τῆς γῆς, οἱ μὴ τῷ ἐξ οὐρανοῦ ἐλθόντι πειθαρχήσαντες, μηδὲ τὸν οὐράνιον εἰδότες καὶ ἐπικαλούμενοι Πατέρα, μηδὲ πρὸς τοῦτον διὰ τῆς τῶν ἔργων ὁμοιότητος ἀναφέροντες τὸ γένος. Καὶ πάλιν,*

---

6. Β' Πέτρου 3,13.
7. Β' Πέτρ. 3,12.
8. Ματθ. 24,22. Μάρκ. 13,20.

ἄν καί σύμφωνα μέ τήν ἐπαγγελία του περιμένομε καινούς οὐρανούς καί καινή γῆ[6], ἀφοῦ τά παρόντα ἀλλοιωθοῦν.

4 Ἄν δέ αὐτά καί μόνο λεγόμενα, μάλιστα δέ λεγόμενα συγκαταβατικῶς, γεμίζουν τήν ψυχή τῶν συνετῶν ἀκροατῶν μέ φρίκη καί δέος, ποιός θά βαστάση τότε πού θά τελοῦνται τά ἴδια τά πράγματα; Πόσο ἄξιοι πρέπει νά εἴμαστε στά ἅγια σπουδάσματα καί στήν εὐσέβεια, ὅταν προσδοκοῦμε τήν παρουσία τῆς ἡμέρας τοῦ Θεοῦ, γιά τήν ὁποία, ὅπως λέγει ὁ θεῖος Πέτρος, «οἱ μέν οὐρανοί πυρακτωμένοι θά διαλυθοῦν, τά δέ στοιχεῖα καιόμενα θά λειώσουν, ἐνῶ ἡ γῆ καί τά κτίσματα πού ὑπάρχουν σ' αὐτήν θά κατακαοῦν;»[7]. Πρίν δέ ἀπό αὐτά θά πραγματοποιηθῆ ἡ σκληρή παρουσία καί ἐπήρεια τοῦ Ἀντιχρίστου κατά τῆς πίστεως, ἡ ὁποία, ἄν δέν ἐκολοβωνόταν ἐπιτραπεῖσα γιά λίγον χρόνο, δέν θά ἐσωζόταν κανένας ἄνθρωπος, ὅπως λέγει ὁ Κύριος στά εὐαγγέλια[8]. Γι' αὐτό παραγέλλει στούς μαθητάς του «ἀγρυπνεῖτε λοιπόν παρακαλώντας ὅλον τόν καιρό, γιά νά καταξιωθῆτε ν' ἀποφύγετε ὅλα ὅσα πρόκειται νά συμβοῦν καί νά σταθῆτε ἐμπρός στόν Υἱό τοῦ ἀνθρώπου»[9].

5 Βέβαια ὅλα ἐκεῖνα εἶναι γεμᾶτα ὑπερβολική φρίκη, ἀλλά γι' αὐτούς πού δαπανοῦν τόν βίο τους σέ ἀπιστία καί ἀδικία καί ραθυμία ἀπειλοῦνται ἀκόμη δεινότερα ἀπό αὐτά, καθώς λέγει ὁ ἴδιος ὁ Κύριος· «τότε θά κλαύσουν ὅλες οἱ φυλές τῆς γῆς»[10]. Φυλές δέ τῆς γῆς εἶναι αὐτοί πού δέν ἐπειθάρχησαν στόν ἐλθόντα ἀπό τόν οὐρανό, πού δέν ἀναγνωρίζουν καί δέν ἐπικαλοῦνται τόν οὐράνιο Πατέρα οὔτε ἀνεβάζουν πρός αὐτόν τό γένος διά τῆς ὁμοιότητος τῶν ἔργων. Λέγει πάλι ὅτι «ἡ ἡμέρα

9. Λουκᾶ 21,36.
10. Ματθ. 24,30

«ὡς παγὶς ἐπελεύσεται ἡ ἡμέρα ἐκείνη ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς, τουτέστι, τοὺς ἐν κραιπάλῃ καὶ μέθῃ καὶ τρυφαῖς καὶ μερίμναις βιωτικαῖς, τῇ γῇ καὶ τοῖς γηΐνοις προσηλωμένους, καὶ προσανέχοντας ὁλοσχερῶς τοῖς φαινομένοις κατ' αἴσθησιν εὐπρεπέσι, πλούτῳ καὶ δόξῃ καὶ ἡδονῇ· διὰ μὲν γὰρ τοῦ προσώπου τῆς γῆς τὸ φαινόμενον ἐπίχαρι ταύτης ἡνίξατο, διὰ δὲ τοῦ καθῆσθαι αὐτοὺς εἰπεῖν, τὴν ἐπίμονον αὐτῶν καὶ ἐνδιάθετον προσεδρείαν. Συνάπτει δὲ διὰ τῶν τοιούτων λόγων τοὺς ἀμετανοήτως εἰς τέλος ἁμαρτῶντας τοῖς ἀσεβέσιν, ὡς καὶ Ἡσαΐας προηγόρευσεν, ὅτι· «ἐκκαυθήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων». Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἀφ' ὧν καὶ σωτῆρα ἀπεκδεχόμεθα», φησὶν ὁ ἀπόστολος· καὶ «ὑμεῖς ἐκ τοῦ κόσμου τούτου οὐκ ἐστέ», πρὸς τοὺς ἰδίους μαθητὰς ἔλεγεν ὁ Κύριος, πρὸς οὓς πάλιν φησίν, ὅτι «τούτων πάντων τελουμένων ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, ὅτι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν».

6 *Ὁρᾶτε ὡς οἱ κατὰ Χριστὸν ζῶντες ἐπὶ τοῖς εὐθὺς μετ' ἐκεῖνα γινομένοις χαρᾶς καὶ παρρησίας ἀφάτου πληροῦνται, οἱ δὲ κατὰ σάρκα ζῶντες, αἰσχύνης καὶ ὀδύνης καὶ κατηφείας; Καθὰ καὶ ὁ Παῦλος βοᾷ λέγων, «ὁ Θεὸς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ», τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον, τοῖς δὲ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ κακίᾳ θυμὸς καὶ ὀργή, θλῖψις καὶ στενοχω-*

11. Λουκᾶ 21,35. Ἡσ. 24,17.
12. Ἡσ. 1,31.
13. Φιλιπ. 3,20.

ἐκείνη θά ἐπέλθη σάν παγίδα σέ ὅλους ὅσοι κάθονται ἐπάνω στό πρόσωπο τῆς γῆς»[11], δηλαδή σ' ἐκείνους πού μέ τήν κραιπάλη καί μέθη, μέ τίς τρυφές καί τίς βιωτικές μέριμνες εἶναι προσηλωμένοι στή γῆ καί στά γήινα καί ἔχουν προσκολληθῆ ὁλοσχερῶς στά φαινόμενα κατά τήν αἴσθησι λαμπρά, στόν πλοῦτο, στή δόξα καί στήν ἡδονή. Πραγματικά μέ τήν λέξι «πρόσωπο» τῆς γῆς αἰνίχθηκε τόν φαινομενικῶς χαρωπό χαρακτῆρα της, ἐνῶ μέ τήν λέξι «κάθονται» ὑπονοεῖ τήν ἐπίμονη καί ἐνδόμυχη προσήλωση. Μέ τούς λόγους δέ αὐτούς συνάπτει πρός τούς ἀσεβεῖς αὐτούς πού ἁμάρτησαν ἀμετανοήτως ἕως τό τέλος, ὅπως προεῖπε καί ὁ Ἡσαΐας, ὅτι «θά πάρουν φωτιά οἱ ἄνομοι καί οἱ ἁμαρτωλοί συγχρόνως, καί δέν θά ὑπάρξη κανείς νά τήν σβήση»[12]. «Ἡ ἰδική μας ὅμως πολιτεία εὑρίσκεται στούς οὐρανούς, ἀπό τούς ὁποίους καί ἀναμένομε τόν Σωτῆρα»[13], λέγει ὁ ἀπόστολος· καί «ἐσεῖς δέν εἶσθε ἀπό αὐτόν τόν κόσμο»[14], ἔλεγε πρός τούς μαθητάς του ὁ Κύριος, πρός τούς ὁποίους πάλι λέγει ὅτι, «ὅταν θά τελοῦνται ὅλα αὐτά, ν' ἀνασηκωθῆτε καί νά ὑψώσετε τά κεφάλια σας, διότι προσεγγίζει ἡ ἀπολύτρωσίς σας»[15].

6 Βλέπετε ὅτι οἱ ζῶντες κατά τόν Χριστό γεμίζουν ἀνέκφραστη χαρά καί παρρησία γιά τά συμβαίνοντα εὐθύς ἔπειτα ἀπό ἐκεῖνα, ἐνῶ οἱ ζῶντες κατά τήν σάρκα εἶναι γεμᾶτοι αἰσχύνη καί ὀδύνη καί κατήφεια; Καθώς φωνάζει καί ὁ Παῦλος λέγοντας, «ὁ Θεός θ' ἀποδώση στόν καθένα κατά τά ἔργα του, σ' ἐκείνους δηλαδή πού ἐπιζητοῦν μέ ἔργο ἀγαθό κατά ὑπομονή δόξα καί τιμή καί ἀφθαρσία θά ἀποδώση ζωή αἰώνια, ἐνῶ γιά τούς ἀπειθοῦντας στήν ἀλήθεια, πειθομένους δέ στήν ἀδικία θά ὑπάρξη θυμός καί ὀργή, θά ὑπάρξη θλίψις καί στενοχώρια σέ

14. Ἰω. 15,19.
15. Λουκᾶ 21,28.

ρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου, τοῦ κατεργαζομένου τὸ κακόν». Ἐπὶ μὲν γὰρ τοῦ Νῶέ ποτε, τῆς ἁμαρτίας αὐξηνθείσης, καὶ παντὸς τοῦ ἀνθρωπίνου σχεδὸν γένους ἐπικρατησάσης, κατακλυσμὸς γέγονεν ὑπὸ Θεοῦ, ἐκτρίβων πᾶσαν πνοήν, τοῦ δικαίου μόνου πανοικὶ φυλαχθέντος πρὸς δευτέρου κόσμου γένεσιν. Καὶ μετ' αὐτὸν πάλιν τὴν κακίαν ὑλομανοῦσαν κατὰ μέρος ὁ Θεὸς ὑπετέμνετο, πυρὶ μὲν τοὺς Σοδομίτας ἀποτεφρώσας, θαλάσσῃ δὲ τοὺς Φαραωνίτας ἐξαισίως καταποντίσας, Ἰουδαίων δὲ τὸ πάντολμον γένος λιμῷ καὶ στάσει καὶ νόσοις καὶ ποιναῖς ἐξαναλώσας πικραῖς.

7 *Οὐ μὴν τοῖς αὐστηροῖς φαρμάκοις καὶ ἰατρείαις ὁ κοινὸς ἰατρὸς ὑπὲρ τοῦ γένους ἡμῶν χρησάμενος, τὰ ἱλαρὰ καὶ μεθ' ἡδονῆς ὠφελοῦντα παρῆκεν, ἀλλ' ἤγειρε πατέρας, ἔδειξε προφήτας, ἐτέλεσε σημεῖα, νόμον ἔδωκεν, ἀγγέλους ἐπέστησεν. Ἐπεὶ δὲ καὶ ταῦτα ἠσθένει πρὸς τὴν ἄσχετον τῆς ἡμετέρας κακίας φοράν, αὐτὸ τὸ μέγα ἴαμα τὸ καταπαῦον ἁμαρτίας μεγάλας, αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος κλίνας οὐρανοὺς ἐπὶ τὴν γῆν κατῆλθε· καὶ τὰ πάντα καθ' ἡμᾶς γεγονώς, χωρὶς ἁμαρτίας, κατήργησε τὴν ἁμαρτίαν ἐν ἑαυτῷ, καὶ ἡμᾶς ἐνισχύσας τὸ κέντρον ἐκείνης ἤμβλυνε, καὶ τοὺς ἀρχηγοὺς καὶ συνεργοὺς αὐτῆς παρεδειγμάτισεν ἐν τῷ σταυρῷ, διὰ τοῦ θανάτου καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου.*

8 *Καὶ ὡς ἐπι Νῶε τοὺς ἁμαρτωλοὺς δι' ὕδατος, οὕτω τὴν ἁμαρτίαν κατακλύσας ὕστερον διὰ τῆς οἰκείας δικαιοσύνης καὶ χάριτος, ἑαυτὸν ἀνέστησεν ἀθάνατον, οἷόν τι σπέρμα καὶ ἀπαρχὴν τοῦ αἰωνίου κόσμου, καὶ δεῖγμα καὶ παράστασιν τῆς ἀψευδῶς ἐλπιζο-*

16. Ρωμ. 2,6-9.

κάθε ἄνθρωπο πού κατεργάζεται τό κακό»[16]. Πραγματικά παλαιά ἐπί τοῦ Νῶε, ὅταν αὐξήθηκε ἡ ἁμαρτία καί ἐπικράτησε σέ ὅλο σχεδόν τό ἀνθρώπινο γένος, ἦλθε ἀπό τόν Θεό κατακλυσμός, πού κατέστρεψε κάθε πνοή, ἐνῶ μόνο ὁ δίκαιος αὐτός μέ τήν οἰκογένειά του διαφυλάχθηκε γιά χάρι τῆς γενέσεως ἑνός δευτέρου κόσμου. Πάλι δέ ἔπειτα ἀπό αὐτόν ὁ Θεός τήν αὐξηθεῖσα κακία περιέκοπτε μερικῶς, ὅπως ἐπί παραδείγματι ὅταν ἀπετέφρωσε μέ πῦρ τούς Σοδομίτες, κατεπόντισε στή θάλασσα τούς Φαραωνίτες, τό δέ πάντολμο γένος τῶν Ἰουδαίων ἀπεδεκάτισε μέ πεῖνα καί στάσι, μέ νόσους καί πικρές ποινές.

7 Ὁ κοινός ὅμως ἰατρός, πού ἐχρησιμοποίησε χάριν τοῦ γένους μας τά αὐστηρά φάρμακα καί ἰατρεύματα, δέν παρέλειψε ἐκεῖνα πού εἶναι εὐάρεστα καί ὠφελοῦν μ' εὐχαρίστησι, ἀλλά ἀνύψωσε πατέρες, ἀνέδειξε προφῆτες, ἐτέλεσε σημεῖα, ἔδωσε τόν μωσαϊκό νόμο, ἔστειλε ἀγγέλους. Ἐπειδή δέ καί αὐτά ἦσαν ἀνίσχυρα γιά τήν ἀσυγκράτητη ὁρμή τῆς κακίας μας, κατῆλθε στή γῆ κλίνοντας πρός τά κάτω τούς οὐρανούς ὁ ἴδιος ὁ Λόγος τοῦ Θεοῦ, τό μεγάλο ἰατρικό πού καταπαύει τίς βαρειές ἁμαρτίες· καί ἀφοῦ ἔγινε γιά μᾶς τά πάντα, πλήν τῆς ἁμαρτίας, κατήργησε τήν ἁμαρτία στόν ἑαυτό του· ἔπειτα ἐνίσχυσε κι' ἐμᾶς, ὥστε νά ἀμβλύνη τό κεντρί ἐκείνης, καί ἐπαραδειγμάτισε στόν σταυρό τούς ἀρχηγούς καί συνεργούς αὐτῆς καταργώντας διά τοῦ θανάτου τόν ἔχοντα τήν ἐξουσία τοῦ θανάτου[17],

8 Καί, ἀφοῦ ὅπως στήν ἐποχή τοῦ Νῶε κατέκλυσε μέ ὕδωρ τούς ἁμαρτωλούς, ἔτσι ὕστερα κατέκλυσε τήν ἁμαρτία διά τῆς δικαιοσύνης καί χάριτός του, ἀνέστησε τόν ἑαυτό του ἀθάνατο, σάν σπέρμα καί ἀπαρχή τοῦ αἰωνίου κόσμου, σάν παράδειγμα

17. Ἑβρ. 2,14.

μένης ἡμῖν ἀναστάσεως. Ἀναστὰς δέ, καὶ εἰς οὐρανοὺς ἀναληφθείς, Ἀποστόλους εἰς πᾶσαν ἐξαπέστειλε τὴν οἰκουμένην, μαρτύρων στίφος οὐκ εὐαρίθμητον προεβάλλετο, διδασκάλων προεστήσατο πληθύν, ἐκκλησίας ὁσίων ἔδειξεν. Ἐπεὶ δὲ πάντα πάλιν ποιήσας, καὶ μηδὲν καταλείψας τῶν δεόντων γενέσθαι, τὴν κακίαν εἶδε πάλιν τῷ αὐτεξουσίῳ τῆς ἡμῶν προαιρέσεως ἐπὶ τοσοῦτον κορυφουμένην, μᾶλλον δὲ τότε ἀρθησομένην θεάσεται, ὡς καὶ τῷ Ἀντιχρίστῳ προσκυνῆσαι τοὺς ἀνθρώπους τηνικαῦτα καὶ ὑπακοῦσαι, αὐτὸν τὸν ἀληθῆ Θεὸν καὶ τὸν αὐτοῦ ἀληθῆ καταλιπόντας Χριστόν, αὐτὸς αὖθις ἐξ οὐρανῶν ἐπελεύσεται μετὰ δυνάμεως καὶ δόξης πολλῆς, οὐκέτι μακροθυμήσων, ἀλλὰ τιμωρήσων τοὺς διὰ τῶν πονηρῶν ἔργων θησαυρίσαντας ἑαυτοῖς τὴν ὀργὴν ἐν τῷ καιρῷ τῆς μακροθυμίας αὐτοῦ. Καὶ τοὺς μὲν ἀνιάτως ἔχοντας, ὡς μέλη σεσηπότα τῶν ὑγιαινόντων ἀποτεμούμενος, καὶ τῷ πυρὶ παραδώσων, τοὺς δὲ οἰκείους αὐτῷ τῆς ἐπηρείας καὶ συναυλίας τῶν πονηρῶν ἀνθρώπων ἐκλυτρωσόμενος, καὶ τῆς τῶν οὐρανῶν βασιλείας κληρονόμους ἀπεργασόμενος.

9 Εὐθὺς οὖν μετὰ τὴν τοῦ ἀντιχρίστου βδελυρὰν παρρησίαν κλονήσει τὰ πάντα, ὁ συστήσας τὰ πάντα· κατὰ τὸ διὰ τοῦ προφήτου εἰρημένον, ὅτι «ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν». Εὐθὺς οὖν κλονεῖ τὸν κόσμον, καὶ λύει τὸν ἀνωτάτω τοῦ παντὸς ὅρον, καὶ συμπτύσσει τὸ οὐράνιον κύτος, καὶ τὴν γῆν πυρὶ μίγνυσι, καὶ συγχεῖ τὸ πᾶν, κάτωθεν μὲν ἀναμοχλεύων τοὺς παγκοσμίους ὡς εἰπεῖν θεμελίους, ἄνωθεν δὲ τῶν ἄστρων τὸ πλῆθος, οἷόν τινας ἀμυθήτους πρηστῆρας, ἐπὶ τὰς κεφαλὰς πέμπων τῶν θεοποιησάντων τὸν πονηρόν, ἵνα δι' αὐτῶν πρῶτον τι-

καί παράστασι τῆς μέ βεβαιότητα ἐλπιζομένης ἀπό ἐμᾶς ἀναστάσεως. Ἀφοῦ δέ ἀνέστη καί ἀναλήφθηκε στούς οὐρανούς, ἐξαπέστειλε σέ ὅλη τήν οἰκουμένη ἀποστόλους, προέβαλε μέγα στίφος μαρτύρων, προέστησε πλῆθος διδασκάλων, ἀνέδειξε συνάξεις ὁσίων. Ἐπειδή δέ, ἐνῶ ἔκαμε τά πάντα, χωρίς νά παραλείψη τίποτε ἀπό τά ἀπαραίτητα, εἶδε πάλι τήν κακία λόγω τοῦ αὐτεξουσίου τῆς προαιρέσεώς μας νά κορυφώνεται τόσο πολύ, ἤ μᾶλλον τότε θά τήν ἰδῆ νά ἀνυψώνεται, ὥστε τότε πλέον οἱ ἄνθρωποι νά προσκυνήσουν καί νά ὑπακούσουν στόν Ἀντίχριστο, ἐγκαταλείποντας τόν ἀληθινό Θεό καί τόν ἀληθινό Χριστό του· γι' αὐτό θά κατέλθη πάλι ἀπό τούς οὐρανούς μέ πολλή δύναμι καί δόξα, ὄχι γιά νά μακροθυμήση, ἀλλά γιά νά τιμωρήση ἐκείνους πού διά τῶν πονηρῶν ἔργων ἐθησαύρισαν στούς ἑαυτούς των τήν ὀργή κατά τόν καιρό τῆς μακροθυμίας του· καί τούς μέν ἀθεραπεύτους θ' ἀποκόψη ἀπό τούς ὑγιεῖς ὡς σάπια μέλη καί θά τούς παραδώση στό πῦρ, τούς δέ ἰδικούς του θ' ἀπαλλάξη ἀπό τήν ἐπήρεια καί τήν συναναστροφή τῶν πονηρῶν ἀνθρώπων καί θά τούς καταστήση κληρονόμους τῆς βασιλείας τῶν οὐρανῶν.

9 Εὐθύς λοιπόν μετά τήν βδελυρά παρρησία τοῦ Ἀντιχρίστου θά κλονήση τά πάντα αὐτός πού συγκρότησε τά πάντα, κατά τό λεχθέν ἀπό τόν προφήτη, ὅτι ἀκόμη μιά φορά «ἐγώ θά σείσω ὄχι μόνο τήν γῆ, ἀλλά καί τόν οὐρανό»[18]. Εὐθύς λοιπόν κλονίζει τόν κόσμο καί λύει τό ἀνώτατο ὅριο τοῦ σύμπαντος, συμπτύσσει τό οὐράνιο κύτος καί ἀναμιγνύει τήν γῆ μέ πῦρ καί συγχέει τό πᾶν, ἀπό κάτω μέν ἀναμοχλεύοντας τά παγκόσμια θά ἐλέγαμε θεμέλια, ἀπό ἄνω δέ στέλλοντας τό πλῆθος τῶν ἄστρων σάν ἀπεριγράπτους κεραυνούς ἐπάνω στά κεφάλια τῶν θεοποιησάντων τόν πονηρό, ἔτσι ὥστε δι' αὐτῶν πρῶτα νά τιμωρηθοῦν

18. Ἀγγ. 2,21.

μωρηθῶσιν οἱ τῷ ἀντιχρίστῳ πιστεύσαντες, οἷς τὸν νοῦν προσηλώθησαν, καὶ δι' ἃ ὡς Θεῷ τῷ ἀντιθέῳ ἐπείσθησαν. Ἔπειτα μετὰ δόξης αὐτὸς ἐπιφανεὶς ἀφάτου, δι' εὐσήμου σάλπιγγος, ὡς δι' ἐμφυσήματός ποτε τὸν προπάτορα, πάντας ζωώσει, καὶ ἐνώπιον αὐτοῦ παραστήσει ζῶντας τοὺς ἀπ' αἰῶνος νεκρούς. Καὶ τοὺς μὲν ἀσεβεῖς οὐκ ἄξει εἰς κρίσιν, οὐδὲ λόγου ἀξιώσει τινός· οὐδὲ γὰρ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει κατὰ τὸ γεγραμμένον, ἀλλ' ἐν κατακρίσει.

10 Προθήσει δὲ εἰς κρίσιν τὰ ἡμέτερα πάντα, κατὰ τὴν σήμερον ἀναγινωσκομένην τοῦ εὐαγγελίου φωνήν· «ὅταν γάρ» φησίν, «ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ». Ἐπὶ μὲν γὰρ τῆς προτέρας αὐτοῦ παρουσίας ἐκρύπτετο ἡ δόξα τῆς αὐτοῦ θεότητος ὑπὸ τὴν σάρκα, ἣν ἐξ ἡμῶν ὑπὲρ ἡμῶν ἀνέλαβε· νῦν δὲ κρύπτεται πρὸς τὸν Πατέρα ἐν τῷ οὐρανῷ μετὰ τῆς ὁμοθέου σαρκός, τότε δὲ πᾶσαν ἐκκαλύψει τὴν δόξαν· ἀπὸ γὰρ ἀνατολῶν ἕως δυσμῶν φανεῖται λάμπων, ἀκτῖσι θεότητος περιαυγάζων τὰ πέρατα, παγκοσμίου καὶ ζωοποιοῦ σάλπιγγος περιηχούσης, καὶ συγκαλούσης ἅμα πρὸς αὐτὸν τὰ πάντα. Καὶ τοὺς ἀγγέλους ἐπήγετο μὲν καὶ πρότερον, ἀλλ' ἀφανῶς, ἐπέχων τὸν αὐτῶν ζῆλον κατὰ τῶν θεομαχούντων· ὕστερον δὲ ἐμφανῶς ἥξει καὶ οὐ παρασιωπήσεται, ἀλλὰ καὶ ἐλέγξει καὶ παραδώσει ταῖς ποιναῖς τοὺς ἀπειθεῖς.

11 «Ὅταν οὖν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε», φησί, «καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ». Οὕτω γὰρ καὶ ὁ Δανιὴλ προεῖδε καὶ προεῖπεν· «ἰδοὺ» γὰρ φησί, «θρόνοι ἐτέθησαν, καὶ Παλαιὸς Ἡμερῶν

ὅσοι ἐπίστευσαν στόν Ἀντίχριστο, διότι προσηλώθηκαν μέ τόν νοῦ καί ἐπείσθηκαν στόν ἀντίθεο ὡς θεό. Ἔπειτα δέ, ἀφοῦ ἐπιφανῆ ὁ ἴδιος μέ ἄφατη δόξα, διά δυνατῆς σάλπιγγος, ὅπως παλαιά δι' ἐμφυσήματος τόν προπάτορα, θά ζωώση ὅλους καί θά παρουσιάση ἐνώπιόν του ζωντανούς ὅλους τούς ἀπό τούς αἰῶνας νεκρούς. Καί τούς μέν ἀσεβεῖς δέν θά φέρη σέ κρίσι οὔτε θά τούς ἀξιώση κανένα λόγο· διότι οἱ ἀσεβεῖς, κατά τό γεγραμμένο, δέν θ' ἀναστηθοῦν γιά κρίσι, ἀλλά γιά κατάκρισι.

10 Θά προβάλη δέ γιά τήν κρίσι ὅλα τά δικά μας, κατά τήν ἀναγινωσκομένη σήμερα φωνή τοῦ εὐαγγελίου· διότι, λέγει, «ὅταν ἔλθη ὁ Υἱός τοῦ ἀνθρώπου στή δόξα του καί ὅλοι οἱ ἅγιοι ἄγγελοι μαζί του». Κατά τήν πρώτη του παρουσία ἡ δόξα τῆς θεότητός του ἐκρυπτόταν κάτω ἀπό τήν σάρκα τήν ὁποία ἀνέλαβε ἀπό ἐμᾶς ὑπέρ ἡμῶν, τώρα κρύπτεται πρός τόν Πατέρα στόν οὐρανό μαζί μέ τήν ὁμόθεη σάρκα, τότε δέ θά ἀποκαλύψη ὅλη τή δόξα· διότι θά φανῆ ὁλόλαμπρος ἀπό ἀνατολή ἕως τή δύση, περιαυγάζοντας τά πέρατα μέ ἀκτῖνες θεότητος, ἐνῶ παγκόσμιος καί ζωοποιός σάλπιγγα θά ἠχῆ παντοῦ καί συγχρόνως θά συγκαλῆ πρός αὐτόν τά πάντα. Προηγουμένως ἔφερε μέν καί τούς ἀγγέλους μαζί του, ἀλλά ἀφανῶς, συγκρατώντας τόν ζῆλο τους κατά τῶν θεομάχων· ὕστερα ὅμως θά φθάση φανερά καί δέν θά ἀποσιωπήση, ἀλλά θά ἐλέγξη καί θά παραδώση τούς ἀπειθεῖς στίς ποινές.

11 «Ὅταν λοιπόν ἔλθη ὁ Υἱός τοῦ ἀνθρώπου στή δόξα του καί ἔλθουν ὅλοι οἱ ἅγιοι ἄγγελοι μαζί του, τότε», λέγει, «θά καθίση ἐπάνω στόν θρόνο δόξας του»[19]. Διότι ἔτσι προεῖδε καί προεῖπε ὁ Δανιήλ· «ἰδού», λέγει, «ἑτοποθετήθηκαν θρόνοι καί

19. Ματθ. 19,28.

ἐκάθισε· καὶ εἶδον ὡς υἱὸν ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ αὐτῷ ἐδόθη πᾶσα καὶ ἡ τιμὴ καὶ ἡ ἐξουσία· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ»· ᾧ συμφώνως καὶ τὸ ἱερὸν εὐαγγέλιον τότε, φησί, «συναχθήσονται πάντα τὰ ἔθνη ἔμπροσθεν αὐτοῦ· καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων». Πρόβατα τοὺς δικαίους καλεῖ ὡς πραεῖς καὶ ἐπιεικεῖς καὶ βαδίσαντας τὴν λείαν καὶ ὑπ' αὐτοῦ τετριμμένην ὁδὸν τῶν ἀρετῶν, καὶ ὡς ἀφομοιωμένους αὐτῷ· ἐπεὶ καὶ αὐτὸς ἀμνὸς ἐκλήθη παρὰ τοῦ Προδρόμου καὶ Βαπτιστοῦ, «ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ», λέγοντος, «ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου». Ἐρίφους δὲ καλεῖ τοὺς ἁμαρτωλοὺς ὡς θρασεῖς καὶ ἀτάκτους, καὶ κατὰ κρημνῶν φερομένους τῆς ἁμαρτίας· καὶ τοὺς μέν, φησί, στήσει ἐκ δεξιῶν, ὡς καὶ δεξιῶν ἐργάτας ἔργων, τοὺς δὲ μὴ τοιούτους ἐκ τῶν εὐωνύμων. «Τότε ἐρεῖ ὁ Βασιλεύς», φησί, καὶ οὐ προσέθηκε τίς, ἢ τίνων βασιλεύς, ὡς οὐδενὸς ὄντος ἑτέρου, πλὴν αὐτοῦ· εἰ γὰρ καὶ ἐκεῖ πολλοὶ κύριοι καὶ βασιλεῖς, ἀλλ' εἷς ὄντως Κύριος, εἷς βασιλεύς, ὁ φύσει τοῦ παντὸς δεσπότης. Ἐρεῖ τοίνυν τότε τοῖς ἐκ δεξιῶν αὐτοῦ ὁ μόνος βασιλεύς· «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου».

12 Ὄντως πρὸς τοῦτο ἔβλεπεν ἡ ἀπ' ἀρχῆς καταβολὴ τοῦ κόσμου· καὶ διὰ τοῦτο τὸ τέλος ἡ ἐπουράνιος ἐκείνη καὶ ἀρχαιοτάτη τοῦ Πατρὸς βουλή, καθ' ἣν ὁ τῆς μεγάλης βουλῆς τῆς τοῦ Πατρὸς ἄγγελος, οὐ κατ' εἰκόνα μόνον, ἀλλὰ καὶ καθ' ὁμοίωσιν οἰκείαν

20. Δαν. 7,9.
21. Ματθ. 25,32.

ἐκάθισε ὁ Παλαιός τῶν Ἡμερῶν· καί εἶδα ὡσάν τόν Υἱό τοῦ ἀνθρώπου νά ἔρχεται ἐπάνω στίς νεφέλες τοῦ οὐρανοῦ, καί ἔφθασε ἕως τόν Παλαιό τῶν Ἡμερῶν καί τοῦ ἐδόθη ὅλη ἡ τιμή καί ἡ ἐξουσία· χίλιες χιλιάδες ἐλειτουργοῦσαν σ' αὐτόν καί μύριες μυριάδες παραστέκονταν σ' αὐτόν»[20]. Σέ συμφωνία μέ αὐτόν λέγει καί τό ἱερό εὐαγγέλιο, τότε «θά συναχθοῦν ὅλα τά ἔθνη ἔμπρός του· καί θά τούς ξεχωρίση ἀνάμεσά τους, ὅπως ὁ ποιμήν ξεχωρίζει τά πρόβατα ἀπό τά γίδια»[21]. Πρόβατα καλεῖ τούς δικαίους ὡς πράους καί ἐπιεικεῖς, πού ἐβάδισαν τήν ὁμαλή ὁδό τῶν ἀρετῶν, τήν πατημένη ἀπό αὐτόν τόν ἴδιο, καί ὡς ἀφωμοιωμένους μέ αὐτόν· ἐπειδή καί αὐτός ὠνομάσθηκε ἀμνός ἀπό τόν Πρόδρομο καί Βαπτιστή πού εἶπε, «ἰδού ὁ ἀμνός τοῦ Θεοῦ πού ἀπαλείφει τήν ἁμαρτία τοῦ κόσμου»[22]. Γίδια δέ καλεῖ τούς ἁμαρτωλούς, ὡς θρασεῖς καί ἀτάκτους, καί φερομένους πρός τούς κρημνούς τῆς ἁμαρτίας. Καί λέγει, τούς πρώτους θά τοποθετήση δεξιά του ὡς ἐργάτες δεξιῶν ἔργων, τούς ἄλλους πού δέν εἶναι ἐργάτες τέτοιων ἔργων θά τοποθετήση στ' ἀριστερά. «Τότε θά εἴπη ὁ Βασιλεύς», λέγει, χωρίς νά προσθέση ποιός ἤ ποιῶν βασιλεύς, ἀφοῦ δέν ὑπάρχει ἄλλος ἐκτός ἀπό αὐτόν· διότι μέ ὅλο πού καί ἐκεῖ εἶναι πολλοί κύριοι καί βασιλεῖς, ἀλλά ἕνας εἶναι πραγματικά Κύριος, ἕνας βασιλεύς, ὁ φυσικῶς δεσπότης τοῦ σύμπαντος. Θά εἰπῆ λοιπόν τότε στούς ἀπό τά δεξιά του ὁ μόνος βασιλεύς· «ἐμπρός οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τήν ἑτοιμασμένη γιά σᾶς ἀπό τήν θεμελίωσι τοῦ κόσμου βασιλεία».

12 Πραγματικά πρός αὐτό ἀπέβλεπε ἡ ἀπό τήν ἀρχή σύστασις τοῦ κόσμου καί πρός αὐτόν τόν σκοπό ἀπέβλεπε ἡ ἐπουράνια ἐκείνη καί ἀρχαιοτάτη βουλή τοῦ Πατρός, κατά τήν ὁποία ὁ ἄγγελος τῆς μεγάλης βουλῆς τοῦ Πατρός ἐπεξεργάσθηκε τόν ἄν-

22. Ἰω. 1,29.

ἀπειργάσατο ζῶον τὸν ἄνθρωπον, ἵνα δυνηθῇ ποτε χωρῆσαι τὴν μεγαλειότητα τῆς θείας βασιλείας, τὴν μακαριότητα τῆς θείας κληρονομίας, τὴν τελειότητα τῆς τοῦ ἀνωτάτω Πατρὸς εὐλογίας, δι' ἣν πάντα ἐγένετο τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· οὐ γὰρ εἶπε τοῦ αἰσθητοῦ κόσμου, ἀλλ' ἀπροσδιορήστως τοῦ κόσμου, ὅσος οὐράνιος, καὶ ὅσος ἐπίγειος. Οὐχ οὗτος δὲ μόνον, ἀλλὰ καὶ ἡ θεία καὶ ἀπόρρητος κένωσις, ἡ θεανδρικὴ πολιτεία, τὰ σωτήρια πάθη, τὰ μυστήρια πάντα· διὰ τοῦτο τὸ τέλος προμηθῶς καὶ πανσόφως προῳκονόμηται, ὡς ἄν, ὁ διὰ τούτων ἐν τοῖς παροῦσι πιστὸς ἀναφανείς, ἀκούσῃ παρὰ τοῦ Σωτῆρος· «εὖ δοῦλε ἀγαθέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου». Δεῦτε οὖν φησι, κληρονομήσατε καὶ τὸν ἑνεστῶτα καὶ μένοντα καὶ ἐπουράνιον κόσμον, οἱ τῷ ἐπιγείῳ καὶ φθαρτῷ καὶ παραρρέοντι κόσμῳ καλῶς κατ' ἐμὴν χρησάμενοι γνώμην. «Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ ἐποτίσατέ με, ξένος ἤμην, καὶ συνηγάγετέ με, γυμνός, καὶ περιεβάλετέ με, ἠσθένησα, καὶ ἐπεσκέψασθέ με, ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με».

13 *Ἐνταῦθα ζητεῖται τίνος ἕνεκα τῆς ἐλεημοσύνης ἐμνήσθη μόνης, καὶ ταύτης ἕνεκα τὴν εὐλογίαν καὶ τὴν κληρονομίαν καὶ τὴν βασιλείαν ἔδωκεν ἐκείνην. Ἀλλ' οὐ ταύτης ἐμνήσθη μόνης τοῖς μετὰ συνέσεως ἀκούουσιν· ἐπεὶ γὰρ ἀνωτέρω τοὺς αὐτῆς ἐργάτας πρόβατα ἐκάλεσεν, ἀπὸ τῆς κλήσεως ταύτης, τήν τε πρὸς αὐτὸν ὁμοίωσιν καὶ πᾶσαν ἀρετὴν ἐμαρτύρησεν αὐτοῖς καὶ ὡς ἕτοιμοι διηνεκῶς ἦσαν εἰς τὸν ὑπὲρ τοῦ καλοῦ θάνατον· καθάπερ καὶ αὐτὸς ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, κατὰ τὸ γεγραμμένον.*

23. Ματθ. 25,21.

θρωπο ὡς ζῶο ὄχι μόνο κατ' εἰκόνα, ἀλλά καί καθ' ὁμοίωσί του, γιά νά δυνηθῆ κάποτε νά χωρέση τήν μεγαλειότητα τῆς θείας βασιλείας, τήν μακαριότητα τῆς θείας κληρονομίας, τήν τελειότητα τῆς εὐλογίας τοῦ ἀνωτάτου Πατρός, γιά τήν ὁποία ἔγιναν ὅλα τά ὁρατά καί τά ἀόρατα. Διότι δέν εἶπε 'τοῦ αἰσθητοῦ κόσμου', ἀλλά ἀπροσδιορίστως «τοῦ κόσμου», τόσο τοῦ οὐρανίου, ὅσο καί τοῦ ἐπιγείου. Ὄχι δέ μόνο αὐτός, ἀλλά καί ἡ θεία καί ἀπόρρητη κένωσις, ἡ θεανδρική πολιτεία, τά σωτήρια πάθη, ὅλα τά μυστήρια, γι' αὐτόν τόν σκοπό ἐρρυθμίσθηκαν προνοητικῶς καί πανσόφως, ὥστε αὐτός πού θά φανῆ πιστός στά παρόντα ν' ἀκούση ἀπό τόν Σωτῆρα· «εὖγε, δοῦλε ἀγαθέ, ἀφοῦ ἐφάνηκες πιστός στά ὀλίγα, θά σέ ὁρίσω οἰκονόμο σέ πολλά· εἴσελθε στή χαρά τοῦ Κυρίου σου»[23]. Ἔλθετε λοιπόν, λέγει, ὅσοι ἐχρησιμοποιήσατε κατά τήν γνώμη μου τόν ἐπίγειο καί φθαρτό καί πρόσκαιρο κόσμο καλῶς, κληρονομήσατε καί τόν ἐπικείμενο καί μόνιμο καί ἐπουράνιο κόσμο. Διότι «ἐπείνασα καί μοῦ ἐδώσατε νά φάγω, ἐδίψασα καί μ' ἐποτίσατε, ξένος ἤμουν καί μέ περιμαζεύσατε, γυμνός καί μέ ἐνδύσατε, ἀσθένησα καί μέ ἐπισκεφθήκατε, ἤμουν στίς φυλακές καί ἤλθατε πρός ἐμένα».

13 Ἐδῶ πρέπει νά συζητηθῆ γιά ποιό λόγο ἐμνημόνευσε μόνο τήν ἐλεημοσύνη καί γι' αὐτήν μόνο ἔδωσε ἐκείνη τήν εὐλογία καί τήν κληρονομία καί τήν βασιλεία. Ἀλλά δέν ἐμνημόνευσε μόνο αὐτήν γιά ὅσους ἀντιλαμβάνονται τά ἀκουόμενα. Ἐπειδή δηλαδή προηγουμένως ἐκάλεσε πρόβατα τούς ἐργάτες της, μέ αὐτόν τόν χαρακτηρισμό ἐπεβεβαίωσε τόσο τήν πρός αὐτόν ὁμοίωσι καί κάθε ἀρετή τους, ὅσο καί ὅτι ἦσαν ἕτοιμοι συνεχῶς γιά τό θάνατο ὑπέρ τοῦ καλοῦ, ὅπως βέβαια καί αὐτός ὡδηγήθηκε ὡς πρόβατο γιά σφαγή καί ὡς ἀμνός ἄφωνος ἐμπρός σ' αὐτόν πού τόν κουρεύει, κατά τό γεγραμμένον[24].

24. Πράξ. 8,32. Ἡσ. 53,7.

14 *Τούτοις οὖν καὶ αὐτοῖς οὖσι προσεπιφημίζει τὴν εὐποιΐαν· δεῖ γὰρ καὶ ταύτην δεῖγμα καὶ καρπὸν οὖσαν τῆς ἀγάπης, ὥσπέρ τινα κεφαλὴν ὑπερκειμένην ἔχειν τῶν ἄλλων ἁπασῶν ἀρετῶν τὸν μέλλοντα κληρονομεῖν τὴν ἀΐδιον βασιλείαν ἐκείνην. Ὃ καὶ διὰ τῆς παραβολῆς τῶν δέκα παρθένων ἔδειξεν ὁ Κύριος· οὐδὲ γὰρ αἱ τυχοῦσαι εἰς τὸν θεῖον εἰσάγονται νυμφῶνα, ἀλλ' αἱ παρθενίᾳ κεκοσμημέναι, ἥτις οὐκ ἂν κατορθωθείη χωρὶς ἀσκήσεως καὶ ἐγκρατείας καὶ πολλῶν καὶ ποικίλων τῶν κατ' ἀρετὴν ἀγώνων, ἔτι γε μὴν καὶ λαμπάδας ταῖν χεροῖν κατέχουσαι, τὸν οἰκεῖον νοῦν καὶ τὴν ἐν αὐτῷ ἐμμέριμνον γνῶσιν, τῷ πρακτικῷ τῆς ψυχῆς, ὃ δηλοῦται διὰ τῶν χειρῶν, ἐποχουμένην καὶ ὑπανεχομένην, καὶ τῷ Θεῷ ἀνακειμένην διὰ βίου, καὶ συνημμένην ταῖς ἐκεῖθεν λάμψεσι. Δεῖ δὲ ὅμως καὶ τοῦ ἐλαίου δαψιλοῦς, ὥστε διαρκεῖν ἡμμένας. Ἔλαιον δέ ἐστιν ἡ ἀγάπη, κορυφὴ τῶν ἀρετῶν οὖσα. Ὥσπερ οὖν, ἂν καὶ θεμελίους ὑποθῇς καὶ ἐποικοδομήσῃς τοὺς τοίχους, οὐκ ἐπιθῇς δὲ τὸν ὄροφον, ἄχρηστα πάντα ἀφῆκας ἐκεῖνα, τὸν αὐτὸν τρόπον ἂν πᾶσαν ἀρετὴν κτήσῃ, μὴ προσκτήσῃ δὲ τὴν ἀγάπην, πᾶσαι ἐκεῖναι ἄχρηστοι καὶ ἀνόνητοι· καὶ ὁ τῆς οἰκίας δὲ ὄροφος χωρὶς τῶν αὐτὸν ὑπανεχόντων ἐποικοδομηθῆναι οὐ δύναται.*

15 *Τοῖς τοιούτοις τοίνυν καὶ ὁ Κύριος τὴν οἰκείαν παρέχει κληρονομίαν, οἵτινες τὰς ἄλλας ἀρετὰς διὰ τῶν τῆς ἀγάπης ἔργων ἐπεσφραγίσαντο· καὶ ἢ δι' ἀνεπιλήπτου βίου πρὸς αὐτὴν ἀνέδραμον ἢ διὰ μετανοίας πρὸς αὐτὴν κατέφυγον· ὧν τοὺς μὲν υἱοὺς ἐγὼ καλῶ, ὡς τῆς ἐκ Θεοῦ μυστικῆς ἀναγεννήσεως φύλακας, τοὺς δὲ*

25. Ματθ. 25,11.

14 Ἀφοῦ λοιπόν τέτοιοι εἶναι καί αὐτοί, ἐγκωμιάζει ἰδιαιτέρως τήν φιλανθρωπία· διότι πρέπει καί αὐτήν, ὡς δεῖγμα καί καρπό τῆς ἀγάπης, νά τήν ἔχη σάν κεφαλή πού ὑπέρκειται ὅλων τῶν ἄλλων ἀρετῶν αὐτός πού πρόκειται νά κληρονομήση τήν ἀΐδια ἐκείνη βασιλεία. Αὐτό τό ἔδειξε ὁ Κύριος καί μέ τήν παραβολή τῶν δέκα παρθένων[25]· διότι δέν εἰσάγονται στόν θεῖο νυμφῶνα ὅσες τύχουν, ἀλλά οἱ στολισμένες μέ παρθενία, ἡ ὁποία δέν μπορεῖ νά ἐπιτευχθῆ χωρίς ἄσκησι καί ἐγκράτεια, καθώς καί χωρίς πολλούς καί ποικίλους γιά τήν ἀρετή ἀγῶνες, προσέτι δέ αὐτές πού κρατοῦν λαμπάδες στά χέρια, δηλαδή τόν νοῦ τους καί τήν μέσα σ' αὐτόν ἄγρυπνη γνῶσι, πού ἐπιβαίνει καί στηρίζεται στό πρακτικό τῆς ψυχῆς, τό δηλούμενο μέ τά χέρια, καί ἀφιερώνεται διά βίου στόν Θεό καί συνάπτεται μέ τίς ἀπό αὐτόν λάμψεις. Χρειάζεται ὅμως καί ἄφθονο ἔλαιο, ὥστε νά διαρκῆ τό ἄναμμά τους. Ἔλαιο δέ εἶναι ἡ ἀγάπη, πού εἶναι κορυφή τῶν ἀρετῶν. Ὅπως λοιπόν, ἄν θέσης θεμέλια καί οἰκοδομήσης ἐπάνω σ' αὐτά τούς τοίχους, δέν προσθέσης δέ τήν ὀροφή, τά ἀφήνεις ὅλα ἐκεῖνα ἄχρηστα, κατά τόν ἴδιο τρόπο, ἄν ἀποκτήσης ὅλες τίς ἀρετές, δέν προσαποκτήσης δέ τήν ἀγάπη, ὅλες ἐκεῖνες εἶναι ἄχρηστες καί ἀνωφελεῖς· καί ἡ ὀροφή τῆς οἰκίας ὅμως χωρίς τά στοιχεῖα πού τήν συγκρατοῦν δέν μπορεῖ νά οἰκοδομηθῆ.

15 Καί ὁ Κύριος λοιπόν προσφέρει τήν κληρονομία του σέ ὅσους ἔχουν σφραγίσει τίς ἄλλες ἀρετές διά τῶν ἔργων τῆς ἀγάπης καί ἀνέβηκαν σ' αὐτήν διά τοῦ ἀνεπιλήπτου βίου ἤ κατέφυγαν πρός αὐτήν διά μετανοίας. Ἀπό αὐτούς ἐγώ τούς μέν πρώτους καλῶ υἱούς, διότι εἶναι φύλακες μυστικῆς ἀπό τόν Θεό ἀναγεννήσεως, τούς δέ δευτέρους μισθωτούς, διότι

μισθίους. ὡς διὰ τῶν τῆς μετανοίας πολυειδῶν ἱδρώτων καὶ τῆς ταπεινώσεως, οἷα μισθὸν τὴν χάριν ἐπανακαλουμένους.

16 Διὸ καὶ πολυειδῶς τὰ τῆς κρίσεως πρότερον ἐν τοῖς θείοις Εὐαγγελίοις ἐξηγησάμενος, ὕστερον προήγαγε τὰ τῆς ἀγάπης, ὡς τὰς ἐκεῖ προκατηριθμημένας ἀρετάς, ἢ τελειούσης ἢ ἐπαναγούσης. Ἀλλ' οἱ δίκαιοι ἀποκριθήσονται λέγοντες· «Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν, ἢ διψῶντα, καὶ ἐποτίσαμεν; πότε δέ σε εἴδομεν ξένον, καὶ συνηγάγομεν, ἢ γυμνόν, καὶ περιεβάλομεν; πότε δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρὸς σέ;». Ὁρᾶτε καὶ δικαίους καλουμένους τοὺς ἐκ δεξιῶν; οὐκοῦν ἀπὸ δικαιοσύνης καὶ μετὰ δικαιοσύνης αὐτοῖς ὁ ἔλεος. Ὁρᾶτε δὲ καὶ ἑτέραν ἀρετὴν τὴν ταπείνωσιν προσμαρτυρουμένην τοῖς δικαίοις τῷ πληρώματι τῆς ἀγάπης, οἷόν τι περιτείχισμα καιρίως ἀνεγηγερμένον; Ἀνάξιοι γὰρ εἶναι τῆς ἀναρρήσεως καὶ τῶν ἐπαίνων ἰσχυρίζονται, ὡς μηδὲν ἀγαθὸν πράξαντες, οἱ μηδὲν ἄπρακτον ἀφεῖναι μαρτυρούμενοι.

17 Διὰ τοῦτο, οἶμαι, καὶ χρηματίζει παρρησίᾳ τούτοις ὁ Κύριος, ἵνα τοιοῦτοι ἀναφανῶσι καὶ τῇ ταπεινώσει ἀνυψωθῶσι καὶ χάριν εὕρωσι δικαίως παρ' αὐτοῦ, δαψιλῆ ταύτην τοῖς ταπεινοῖς παρέχοντος, «Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν», ὃς καὶ νῦν πρὸς αὐτούς φησιν· «ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε». Ἐλάχιστον καλεῖ διὰ τὴν ἔνδειαν καὶ εὐτέλειαν, ἀδελφὸν δέ, ὡς καὶ αὐτὸς οὕτω κατὰ σάρκα ζήσας ἐπὶ γῆς.

18 Ἀκούσατε καὶ εὐφράνθητε ὅσοι πτωχοί τε καὶ ἐνδεεῖς· ἀδελ-

ξαναποκτοῦν τήν χάρι διά τῶν πολυειδῶν ἰδρώτων τῆς μετανοίας καί διά τῆς ταπεινώσεως ὡς μισθόν.

16 Γι' αὐτό, ἀφοῦ προηγουμένως στά θεῖα εὐαγγέλια ἐξήγησε πολυειδῶς τά σχετικά μέ τήν κρίσι, ἔπειτα ἐξέθεσε τά περί τῆς ἀγάπης μέ τήν ἄποψι ὅτι τελειοποιεῖ ἤ ἐπαναφέρει τίς ἐκεῖ ἀπαριθμούμενες ἀρετές. Ἀλλά οἱ δίκαιοι θ' ἀποκριθοῦν μέ τά λόγια· «Κύριε, πότε σέ εἴδαμε νά πεινᾶς καί σ' ἐθρέψαμε, ἤ νά διψᾶς καί σ' ἐποτίσαμε; Πότε σέ εἴδαμε ξένο καί σέ συμμαζεύσαμε, ἤ γυμνόν καί σέ ἐνδύσαμε; Πότε σέ εἴδαμε ἀσθενῆ ἤ στήν φυλακή καί σ' ἐπισκεφθήκαμε;». Βλέπετε ὅτι οἱ ἀπό τά δεξιά καλοῦνται καί δίκαιοι; Ἐπομένως γι' αὐτούς ὁ ἔλεος προέρχεται ἀπό τήν δικαιοσύνη καί εἶναι μέ δικαιοσύνη. Βλέπετε δέ ἄλλην ἀρετή, τήν ταπείνωσι, νά προσμαρτυρῆται στούς δικαίους ἀπό τό πλήρωμα τῆς ἀγάπης; Διότι ἰσχυρίζονται ὅτι εἶναι ἀνάξιοι τῆς ἀνακηρύξεως καί τῶν ἐπαίνων, σάν νά μή ἔπραξαν κανένα ἀγαθόν, αὐτοί πού μαρτυροῦνται ὅτι δέν ἄφησαν κανένα ἀγαθό ἄπρακτο.

17 Γι' αὐτό, νομίζω, ὁ Κύριος ἀποκρίνεται σ' αὐτούς παρρησία, γιά ν' ἀναφανοῦν ὅτι εἶναι τέτοιας μορφῆς καί ἀνυψωθοῦν μέ τήν ταπείνωσι καί δικαίως εὕρουν ἀπό αὐτόν χάρι, τήν ὁποία ὁ Κύριος παρέχει ἀφθόνως στούς ταπεινούς, «διότι ὁ Κύριος ἀντιτάσσεται στούς ὑπερηφάνους, ἐνῶ στούς ταπεινούς δίδει χάρι»[26], ὁ ὁποῖος καί τώρα λέγει πρός αὐτούς· «πραγματικά σᾶς λέγω, ἐφ' ὅσον τά ἐπράξατε σ' ἕνα ἀπό τούς ἀδελφούς μου τούς ἐλαχίστους, τά ἐκάματε σ' ἐμένα». Καλεῖ τόν ἄλλο ἐλάχιστον γιά τήν πτωχεία καί τήν εὐτέλεια, ἀδελφόν δέ, διότι καί αὐτός ἔτσι ἔζησε κατά σάρκα ἐπί τῆς γῆς.

18 Ἀκούσετε καί εὐφρανθῆτε, ὅσοι εἶσθε πτωχοί καί ἐνδεεῖς,

26. Ἰακ. 4,6. Παροιμ. 3,34.

φοὶ γὰρ ἐστὲ κατὰ τοῦτο τοῦ Θεοῦ· κἂν ἀκουσίως ἦτε πτωχοί τε καὶ εὐτελεῖς, διὰ τῆς ὑπομονῆς καὶ τῆς εὐχαριστίας ἑκούσιον ἑαυτοῖς ποιήσασθε τὸ ἀγαθόν. Ἀκούσατε οἱ πλούσιοι καὶ τὴν μακαριστὴν πτωχείαν ποθήσατε, ἵνα κληρονόμοι καὶ ἀδελφοὶ Χριστοῦ γένησθε καὶ τῶν ἀκουσίως πτωχευόντων γνησιώτεροι· κἀκεῖνος γὰρ ἑκὼν ἐπτώχευσε δι' ἡμᾶς. Ἀκούσατε καὶ στενάξατε οἱ περιορῶντες κακῶς πάσχοντας τοὺς ὑμετέρους ἀδελφούς, μᾶλλον δὲ τοὺς τοῦ Θεοῦ, καὶ μὴ μεταδιδόντες ἐξ ὧν εὐπορεῖτε τοῖς ἐνδεέσι τροφῆς, σκέπης, περιβολῆς, ἐπιμελείας τῆς προσηκούσης, μηδὲ τὸ ὑμῶν περίσσευμα καταναλίσκοντες εἰς τὸ ἐκείνων ὑστέρημα. Μᾶλλον δὲ ἀκούσωμεν καὶ στενάξωμεν· καὶ γὰρ καὶ αὐτὸς ἐγώ, ὁ πρὸς ὑμᾶς ταῦτα λέγων, ἐλέγχομαι ὑπὸ τῆς συνειδήσεως οὐκ ἔξω τοῦ πάθους τελείως ὤν· πολλῶν γὰρ ριγώντων καὶ στερουμένων, ἐμπεπλησμένος αὐτός εἰμι καὶ ἐνδεδυμένος. Πολλοῦ δὲ μᾶλλον ἄξιοι πένθους, οἱ καὶ τοὺς ὑπὲρ τὴν καθημερινὴν χρείαν θησαυροὺς ἔχοντες καὶ κατέχοντες, ἢ καὶ αὔξειν σπουδάζοντες, ἀγαπᾶν ὡς ἑαυτοὺς τὸν πλησίον προστεταγμένοι καὶ μηδὲ ὡς τὸν χοῦν αὐτοὺς ἔχοντες. Τί γάρ ἐστιν ἄλλο χρυσὸς καὶ ἄργυρος, ἃ μᾶλλον ἠγαπήσαμεν τῶν ἀδελφῶν;

19 Ἀλλ' ἐπιστραφῶμεν καὶ μετανοήσωμεν καὶ κοινωνήσωμεν ἐπαρκοῦντες ταῖς χρείαις οἷς ἔχομεν τῶν ἐν ἡμῖν πτωχευόντων ἀδελφῶν, κἂν εἰ μὴ τὰ ἑνόντα πάντα θεοφιλῶς κενῶσαι προαιρώμεθα, ἀλλὰ μηδὲ πάντα παρ' ἑαυτοῖς ἀνηλεῶς κατάσχωμεν· ἀλλὰ τὸ μὲν ποιήσωμεν, εἰς ὃ δὲ ἀπολειπόμεθα, ταπεινωθῶμεν ἐνώπιον τοῦ Θεοῦ καὶ τευξόμεθα τῆς παρ' αὐτοῦ συγγνώμης, τῆς αὐτοῦ φιλανθρωπίας ἀναπληρούσης τὴν ἡμετέραν ἔλλειψιν, ἵνα μὴ τῆς

διότι κατά τοῦτο εἶσθε ἀδελφοί τοῦ Θεοῦ· κι' ἄν εἶσθε πτωχοί καί εὐτελεῖς ἀκουσίως, καταστήσατε ἑκούσιο γιά τόν ἑαυτό σας τό ἀγαθό διά τῆς ὑπομονῆς καί τῆς εὐχαριστίας. Ἀκούσετε οἱ πλούσιοι καί ποθήσετε τήν εὐλογημένη πτωχεία, γιά νά γίνετε κληρονόμοι καί ἀδελφοί τοῦ Χριστοῦ, γνησιώτεροι μάλιστα ἐκείνων πού ἐπτώχευσαν ἀκουσίως· διότι ἐκεῖνος ἐπτώχευσε γιά μᾶς ἑκουσίως. Ἀκούσετε καί στενάξετε ἐσεῖς πού περιφρονεῖτε τούς ἀδελφούς σας, ὅταν ὑποφέρουν, μᾶλλον δέ τούς ἀδελφούς τοῦ Θεοῦ, καί δέν μεταδίδετε στούς ἐνδεεῖς ἀπό ὅσα διαθέτετε ἄφθονα, τροφή, σκέπη, ἐνδυμασία, ἐπιμέλεια κατάλληλη, καί δέν προσφέρετε τό περίσσευμά σας στό ὑστέρημα ἐκείνων. Μᾶλλον δέ ἄς ἀκούσωμε καί ἄς στενάξωμε, ἀφοῦ κι' ἐγώ ὁ ἴδιος πού σᾶς λέγω αὐτά, ἐλέγχομαι ἀπό τήν συνείδησί μου ὅτι δέν εἶμαι τελείως ἔξω ἀπό τό πάθος· διότι, ἐνῶ πολλοί ριγοῦν καί στεροῦνται, ἐγώ εἶμαι γεμᾶτος καί ἐνδεδυμένος. Πολύ δέ περισσότερο ἄξιοι πένθους εἶναι αὐτοί πού ἔχουν καί κατέχουν θησαυρούς περισσοτέρους ἀπό τήν καθημερινή ἀνάγκη ἤ καί φροντίζουν νά τούς αὐξήσουν· ἐνῶ εἶναι προσταγμένοι ν' ἀγαποῦν τόν πλησίον σάν τούς ἑαυτούς των, δέν τούς θεωροῦν οὔτε σάν τό χῶμα. Διότι τί ἄλλο εἶναι ὁ χρυσός καί ὁ ἄργυρος, πού ἀγαπήσαμε περισσότερο ἀπό τούς ἀδελφούς;

19 Ἀλλά ἄς ἐπιστραφοῦμε, ἄς μετανοήσωμε καί ἄς κοινωνήσωμε ἐξυπηρετώντας τίς ἀνάγκες τῶν ἀνάμεσά μας πτωχῶν ἀδελφῶν μέ ὅσα ἔχομε. Καί ἄν δέν εἴμαστε διατεθειμένοι ν' ἀδειάσωμε θεοφιλῶς ὅλα τά ὑπάρχοντα, τουλάχιστον νά μή τά κατακρατήσωμε ὅλα γιά τούς ἑαυτούς μας ἀσπλάγχνως· ἀλλά τό μέν ἕνα ἄς τό πράξωμε, γι' αὐτό δέ πού θά παραλείψωμε, ἄς ταπεινωθοῦμε ἐνώπιον τοῦ Θεοῦ, καί θά ἐπιτύχωμε ἀπό αὐτόν συγγνώμη, διότι ἡ φιλανθρωπία του ἀναπληρώνει τήν ἔλλειψί μας, γιά νά μή, ὅ μή γένοιτο, ἀκούσωμε τήν ἀπαίσια φωνή· διό-

ἀπευκταίας, ὃ μὴ γένοιτο, φωνῆς ἀκούσωμεν· «τότε γάρ», φησίν, «ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι». Πόσον τοῦτο! τῆς ζωῆς μακρύνθητε, τῆς τρυφῆς ἐκβλήθητε, τοῦ φωτὸς στερήθητε!

20 Ἀλλ' οὐ τοῦτο μόνον, ἀλλὰ «πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ»· ὡς γὰρ οἱ ἐκ δεξιῶν ζωὴν ἔξουσι καὶ περισσὸν ἔξουσι, ζωὴν μὲν τῷ συνεῖναι Θεῷ, περισσὸν δὲ τῷ καὶ υἱοὶ διατελεῖν καὶ κληρονόμοι τῆς αὐτοῦ βασιλείας, οὕτως οἱ ἐξ εὐωνύμων τῆς ἀληθινῆς ζωῆς ἀποτυχόντες τῷ μακρυνθῆναι Θεοῦ, καὶ περισσότερον ἔξουσι κακόν, τῷ δαίμοσι συντετάχθαι καὶ πυρὶ παραδοθῆναι κολάζοντι.

21 Οἷον δὲ τὸ πῦρ ἐκεῖνο, ὃ καὶ τῶν σωμάτων ἅπτεται καὶ τῶν λογικῶν ἐν σώμασί τε ὄντων καὶ οὐκ ἐν σώμασι πνευμάτων, ὀδυνῶν ἅμα καὶ παρακατέχον ἀθάνατα, δι' οὗ καὶ τὸ καθ' ἡμᾶς πῦρ τακήσεται, κατὰ τὸ γεγραμμένον, «στοιχεῖα καυσούμενα τήκεται;». Ὅση δὲ τῆς ὀδύνης προσθήκη τὸ τῆς ἀπολυτρώσεως ἀπροσδόκητον; Καὶ γὰρ ἄσβεστον ἐκεῖνο τὸ πῦρ. Τί δὲ αὖθις ἡ βιαία φορά; Καὶ γὰρ ποταμός φησιν ἕλκων ἐκεῖνο τὸ πῦρ, ὡς ἔοικεν ἀεὶ πορρωτέρω φέρον Θεοῦ· διὸ οὐδέ, πορεύθητε, εἶπεν, ἀλλά, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι· καὶ γὰρ ὑπὸ τῶν πτωχῶν ἐκ πολλοῦ κεκατήρασθε· κἂν εἴπερ ἔφερον ἐκεῖνοι, ἀλλ' ὑμεῖς κατάρας ἄξιοι. Πορεύεσθε δέ φησι πρὸς αὐτοὺς εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον οὐχ ὑμῖν, ἀλλὰ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· οὐ γὰρ ἐμόν ἐστι τοῦτο προηγούμενον θέλημα, οὐκ εἰς τοῦτο ὑμᾶς ἐποίησα, οὐκ ἐφ'

τι, λέγει, «τότε θά εἰπῆ καί στούς ἀπό τά ἀριστερά· φεύγετε ἀπό ἐμένα οἱ καταραμένοι». Πόσο φοβερό εἶναι τοῦτο! Ἀπομακρυνθῆτε ἀπό τή ζωή, ἐκβληθῆτε ἀπό τήν τρυφή, στερηθῆτε τό φῶς!

20 Καί δέν λέγει μόνο τοῦτο, ἀλλά προχωρεῖ· «φεύγετε ἀπό ἐμένα οἱ καταραμένοι, στό αἰώνιο πῦρ, τό ἑτοιμασμένο γιά τόν Διάβολο καί τούς ἀγγέλους του». Ὅπως δηλαδή οἱ ἀπό τά δεξιά θά ἔχουν ζωή, καί μάλιστα μέ τό παραπάνω, ζωή μέν ἀφοῦ θά συνευρίσκωνται μέ τόν Θεό, μέ τό παραπάνω δέ ἀφοῦ θά εἶναι υἱοί καί κληρονόμοι τῆς βασιλείας του, ἔτσι καί οἱ ἀπό τά ἀριστερά, ἀποτυγχάνοντας ν' ἀποκτήσουν τήν ἀληθινή ζωή λόγω τῆς ἀπομακρύνσεως ἀπό τόν Θεό, θά εὕρουν καί παραπάνω κακό, ἀφοῦ θά ἔχουν συνταχθῆ μέ τούς δαίμονες καί θά παραδοθοῦν στό κολαστικό πῦρ.

21 Ποιοῦ δέ εἴδους εἶναι τό πῦρ ἐκεῖνο, τό ὁποῖο ἅπτεται καί τῶν σωμάτων καί τῶν λογικῶν σέ σώματα ὄντων, καί τῶν ἀσωμάτων πνευμάτων, θλίβοντας καί στενοχωρώντας τα παντοτινά, καί διά τοῦ ὁποίου θά λειώση καί τό δικό μας πῦρ, κατά τό γεγραμμένο, «τά καιόμενα στοιχεῖα θά λειώσουν»[27]; Πόση προσθήκη φέρει στήν ὀδύνη τό ἀνέλπιδο τῆς ἀπολυτρώσεως; Διότι, λέγει, ὑπάρχει ποταμός, πού παρασύρει τό πῦρ ἐκεῖνο, ὅπως φαίνεται, καί τό φέρει μακρύτερα ἀπό τόν Θεό. Γι' αὐτό δέν εἶπε 'πορευθῆτε', ἀλλά «πορεύεσθε ἀπό ἐμένα οἱ καταραμένοι»· διότι ἔχετε ἀφθόνως δεχθῆ τίς κατάρες ἀπό τούς πτωχούς, καί μέ ὅλο πού ὑπέφεραν ἐκεῖνοι, ἐσεῖς·πάντως εἶσθε ἄξιοι κατάρας. Λέγει δέ πρός αὐτούς «πηγαίνετε στό πῦρ τό ἑτοιμασμένο» ὄχι γιά σᾶς, ἀλλά γιά τόν Διάβολο καί τούς ἀγγέλους του· διότι

27. Β΄ Πετρ. 3,12.

ὑμᾶς ἡτοίμασα τὴν πυράν· διὰ τοὺς ἀμετάβλητον ἔχοντας τῆς κακίας τὴν ἕξιν δαίμονας προανεκαύθη τὸ ἄσβεστον πῦρ, οἷς ὑμᾶς συνῆψεν ἡ κατ' ἐκείνους ἀμετανόητος γνώμη. Αὐθαίρετος οὖν ὑμῖν ἐστιν ἡ μετὰ τῶν πονηρῶν ἀγγέλων συμβίωσις· «ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνός, καὶ οὐ περιεβάλλετέ με, ἀσθενὴς καὶ ἐν φυλακῇ ἤμην, καὶ οὐκ ἐπισκέψασθέ με»· ὡς γὰρ ἡ ἀγάπη, ἀδελφοί, καὶ τὰ τῆς ἀγάπης ἔργα πλήρωμα τῶν ἀρετῶν ἐστιν, οὕτω τὸ μῖσος καὶ τὰ τοῦ μίσους ἔργα, ὁ ἀσυμπαθὴς τρόπος, ἡ ἀμετάδοτος γνώμη, πλήρωμά ἐστι τῆς ἁμαρτίας· καὶ καθάπερ τῇ φιλανθρωπίᾳ ἕπονται καὶ σύνεισιν αἱ ἀρεταί, οὕτω τῇ μισανθρωπίᾳ αἱ κακίαι· διὰ τοῦτο καὶ ἀπὸ ταύτης μόνης καταδικάζονται.

22 Ἐβουλόμην μὲν οὖν εἰπεῖν ὡς οὐδὲν μεῖζον δεῖγμα μίσους, ἀλλ' ἢ τὸ προτιμᾶν τοῦ ἀδελφοῦ τὸ περιττεῦον ἀργύριον· ἀλλ' ὁρῶ τὴν κακίαν καὶ μεῖζον εὑροῦσαν δεῖγμα τῆς μισανθρωπίας· εἰσὶ γὰρ οἳ μὴ μόνον οὐκ ἐλεοῦσιν ἐξ ὧν εὐποροῦσιν, ἀλλὰ καὶ σφετερίζονται τὰ ἀλλότρια. Συλλογιζέσθωσαν οὖν ἐκ τῆς πρὸς τοὺς μὴ ἐλεοῦντας ἀποφάσεως, τίνος οὗτοι τεύξονται, καὶ τί πείσονται, καὶ οἵας ἀπερινοήτου τε καὶ ἀφορήτου καταδίκης ἄξιοι καὶ ἀποστήτωσαν τῆς ἀδικίας, καὶ διὰ τῶν τῆς μετανοίας ἔργων ἐξιλεούσθωσαν τὸ θεῖον. Ἐκεῖνοι δὲ ἀποκριθήσονται τηνικαῦτα λέγοντες· «Κύριε, πότε σε εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξένον, ἢ γυμνόν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι»;

23 Ὁρᾶτε καὶ αὐτὸ τὸ ἔσχατον κακὸν τὴν ὑπερηφανίαν τῷ ἀσυμπαθεῖ συνεζευγμένην τρόπῳ, ὥσπερ καὶ τῇ συμπαθείᾳ τὴν

τοῦτο δέν εἶναι προηγούμενο δικό μου θέλημα, δέν σᾶς ἔπλασα γι' αὐτό, δέν ἑτοίμασα γιά σᾶς τήν φωτιά. Τό ἄσβεστο πῦρ ἔχει ἀναφθῆ γιά τούς δαίμονες πού ἔχουν ἀμετάβλητη τήν ἕξι τῆς κακίας, μέ τούς ὁποίους σᾶς συνέδεσε ἡ σύμφωνη μ' ἐκείνους ἀμετανόητη γνώμη. Εἶναι λοιπόν ἐθελοντική ἡ συμβίωσις μέ τούς πονηρούς ἀγγέλους. «Διότι ἐπείνασα καί δέν μοῦ ἐδώσατε νά φάγω, ἐδίψασα καί δέν μέ ἐποτίσατε, ξένος ἤμουν καί δέν μέ συμμαζεύσατε, γυμνός καί δέν μέ ἐνδύσατε, ἀσθενής καί στή φυλακή ἤμουν καί δέν μ' ἐπισκεφθήκατε». Ὅπως, ἀδελφοί, ἡ ἀγάπη καί τά ἔργα τῆς ἀγάπης εἶναι πλήρωμα τῶν ἀρετῶν, ἔτσι τό μῖσος καί τά ἔργα τοῦ μίσους, ὁ ἀσυμπαθής τρόπος, ἡ ἀκοινώνητη γνώμη, εἶναι πλήρωμα τῆς ἁμαρτίας. Καί ὅπως τή φιλανθρωπία ἀκολουθοῦν καί συνυπάρχουν μέ αὐτήν οἱ ἀρετές, ἔτσι τή μισανθρωπία ἀκολουθοῦν οἱ κακίες· γι' αὐτό καί ἀπό αὐτήν μόνο καταδικάζονται.

22 Θά ἤθελα λοιπόν νά εἰπῶ ὅτι δέν ὑπάρχει κανένα δεῖγμα μίσους μεγαλύτερο ἀπό τό νά προτιμοῦμε ἀπό τόν ἀδελφό τό ἄφθονο ἀργύριο· ἀλλά βλέπω τήν κακία νά ἔχη εὕρει καί μεγαλύτερο δεῖγμα τῆς μισανθρωπίας. Ὑπάρχουν δηλαδή ἄνθρωποι πού ὄχι μόνο δέν ἐλεοῦν ἀπό ὅσα διαθέτουν πλουσίως, ἀλλά καί σφετερίζονται τά ξένα. Ἄς συλλογισθοῦν λοιπόν ἀπό τήν ἀπόφασι πρός τούς μή ἐλεήμονες, τί θά εὕρουν αὐτοί καί τί θά πάθουν, καί ποιᾶς ἀκατανόητης καί ἀφόρητης καταδίκης εἶναι ἄξιοι, ἄς ἀποστοῦν ἀπό τήν ἀδικία καί ἄς ἐξιλεώσουν τό θεῖο διά τῶν ἔργων τῆς μετανοίας. Ἐκεῖνοι δέ θ' ἀποκριθοῦν τότε ὡς ἑξῆς· «Κύριε, πότε σέ εἴδαμε νά πεινᾶς ἤ νά διψᾶς ἤ ξένον ἤ γυμνόν ἤ ἀσθενῆ ἤ φυλακισμένον, καί δέν σέ ὑπηρετήσαμε;».

23 Βλέπετε καί αὐτό τό τελευταῖο κακό, τήν ὑπερηφάνεια, συνεζευγμένη μέ τόν ἀσυμπαθῆ τρόπο, ὅπως τήν ταπείνωσι μέ τήν

ταπείνωσιν; Οἱ δίκαιοι διὰ τὴν εὐποιΐαν ἐγκωμιαζόμενοι ταπεινοῦνται μᾶλλον, οὐ δικαιοῦσιν ἑαυτούς. Οὗτοι διὰ τὴν ἀσπλαγχνίαν κατηγορούμενοι παρὰ τοῦ ἀψευδοῦς, οὐ προσπίπτουσι ταπεινωθέντες, ἀλλ' ἀντιλέγουσι καὶ δικαιοῦσιν ἑαυτούς· διὸ καὶ ἀκούσουσιν, «ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε». Καὶ οὕτως ἀπελεύσονται, φησίν, «οὗτοι μὲν εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον».

24 Ἐλεήσωμεν οὖν ἡμᾶς αὐτούς, ἀδελφοί, διὰ τοῦ πρὸς τοὺς ἀδελφοὺς ἐλέους, κτησώμεθα διὰ τῆς συμπαθείας τὴν συμπάθειαν, εὖ ποιήσωμεν ἵνα πάθωμεν εὖ· ὁμοία μὲν ἡ ἀντίδοσις, εὐποιΐα γὰρ καὶ φιλανθρωπία καὶ ἀγάπη καὶ ἔλεος καὶ συμπάθεια, οὐκ ἴση δὲ τῇ ἀξίᾳ καὶ τῷ μέτρῳ τῆς ὑπεροχῆς· σὺ μὲν γὰρ παρέχεις ἐξ ὧν ἄνθρωπος ἔχει, καὶ ἐφ' ὅσον ἄνθρωπος εὐεργετῆσαι δύναται, ἀντιλαμβάνεις δὲ παρὰ τῶν θείων καὶ ἀκενώτων θησαυρῶν ἑκατονταπλασίονα, καὶ τὴν αἰώνιον ζωήν, καὶ εὐεργετῇ ἐξ ὧν καὶ ὅσον ὁ Θεὸς εὐεργετῆσαι δύναται· «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη».

25 Σπεύσωμεν οὖν ἵνα τοῦ πλούτου τῆς χρηστότητος ἐπιτύχωμεν, ὀλίγων ἀργυρίων κληρονομίαν αἰώνιον ἀγοράσωμεν, φοβηθῶμεν τὴν κατὰ τῶν ἀνηλεῶν ἀπόφασιν ἀρτίως, ἵνα μὴ ὑπ' αὐτῆς ἐκεῖ κατακριθῶμεν· μὴ φοβηθῶμεν μὴ πτωχοὶ γενώμεθα διδόντες ἐλεημοσύνην· καὶ γὰρ ἀκούσομεν παρὰ Χριστοῦ, «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομῆσατε τὴν βασιλείαν». Φοβηθῶ-

28. Α' Κορ. 2,9.

συμπάθεια; Οἱ δίκαιοι ἐγκωμιαζόμενοι γιά τήν φιλανθρωπία τους, ταπεινώνονται περισσότερο, δέν δικαιώνουν τούς ἑαυτούς των. Οἱ ὑπερήφανοι, ὅταν κατηγοροῦνται γιά τήν ἀσπλαγχνία τους ἀπό τόν ἀψευδῆ, δέν προσπίπτουν ταπεινωμένοι, ἀλλά ἀντιλέγουν καί δικαιώνουν τούς ἑαυτούς των. Γι' αὐτό καί θ' ἀκούσουν τά λόγια· «ἀληθινά σᾶς λέγω, ἐφ' ὅσον δέν τό ἐπράξατε σ' ἕνα ἀπό αὐτούς τούς ἐλαχίστους, δέν τό ἐκάματε οὔτε σ' ἐμένα». Κι' ἔτσι θά μεταβοῦν, λέγει, «αὐτοί μέν σέ αἰώνια κόλασι, οἱ δέ δίκαιοι σέ αἰώνια ζωή».

24 Ἄς ἐλεήσωμε λοιπόν τούς ἑαυτούς μας, ἀδελφοί, διά τοῦ ἐλέους πρός τούς ἀδελφούς, ἄς ἀποκτήσωμε διά τῆς συμπαθείας τήν συμπάθεια, ἄς εὐεργετήσωμε γιά νά εὐεργετηθοῦμε. Ἡ μέν ἀνταπόκρισις εἶναι ὁμοία, διότι πρόκειται γιά εὐποιία καί φιλανθρωπία, γιά ἀγάπη καί ἔλεος καί συμπάθεια· ἀλλά δέν εἶναι ἴση κατά τήν ἀξία καί τό μέτρο τῆς ὑπεροχῆς. Διότι ἐσύ μέν παρέχεις ἀπό ὅσα ἔχει ὁ ἄνθρωπος, καί ὅσο μπορεῖ νά εὐεργετήση ὁ ἄνθρωπος, παίρνεις δέ σέ ἀνταπόδοσι ἀπό τούς θείους καί ἀκενώτους θησαυρούς ἑκατονταπλάσια καί τήν αἰώνια ζωή, καί εὐεργετῆσαι ἀπό ὅσα καί ὅσο μπορεῖ ὁ Θεός νά εὐεργετήση, «πράγματα πού ὀφθαλμός δέν εἶδε καί οὖς δέν ἄκουσε καί πού δέν ἀνέβηκαν στήν καρδιά τοῦ ἀνθρώπου»[28].

25 Ἄς σπεύσωμε λοιπόν γιά νά ἐπιτύχωμε τόν πλοῦτο τῆς ἀγαθότητος, ἄς ἀγοράσωμε μέ ὀλίγα ἀργύρια αἰώνια κληρονομία, ἄς φοβηθοῦμε τέλος τήν ἀπόφασι ἐναντίον τῶν ἀνοικτιρμόνων, γιά νά μή κατακριθοῦμε ἀπό αὐτήν ἐκεῖ· ἄς μή φοβηθοῦμε μή τυχόν γίνωμε πτωχοί, δίδοντας ἐλεημοσύνη, διότι θ' ἀκούσωμε ἀπό τόν Χριστό, «ἔλθετε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τήν γῆ». Ἄς φοβηθοῦμε καί ἄς κάμωμε

μεν καὶ πάντα πράξωμεν ἵνα μὴ φανῶμεν ἔξω τῆς πρὸς τὸν Θεὸν ἀγάπης διὰ τῆς ἀσπλαγχνίας· «ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, πῶς ἀγαπήσει», φησὶν ὁ εὐαγγελιστής, «τὸν Θεὸν ὃν οὐχ ἑώρακεν», ὁ δὲ μὴ ἀγαπῶν τὸν Θεόν, πῶς συνέσται αὐτῷ; ὁ δὲ μὴ συνὼν αὐτῷ πορευθήσεται ἀπ' αὐτοῦ· ὁ δὲ πορευόμενος ἀπ' αὐτοῦ, εἰς τὴν γέενναν ἐμπεσεῖται πάντως.

26 Ἀλλ' ἡμεῖς ἀγάπης ἔργα ἐπιδειξώμεθα εἰς τοὺς ἡμέτερους ἐν Χριστῷ ἀδελφούς, ἐλεοῦντες τοὺς πενομένους, ἐπιστρέφοντες τοὺς πεπλανημένους, ἧν ἂν εἴποις πλάνην τε καὶ πενίαν, ἐκδικοῦντες τοὺς ἀδικουμένους, ἐπιρρωννῦντες τοὺς ἐν ἀσθενείᾳ κατακειμένους, εἴτε διὰ τῶν αἰσθητῶν τοῦτο πάσχοντας ἐχθρῶν τε καὶ νοσημάτων, εἴτε διὰ τῶν ἀοράτων πονηρῶν πνευμάτων καὶ τῶν τῆς ἀτιμίας παθῶν, ἐπισκεπτόμενοι τοὺς ἐν φυλακῇ καθειργμένους, ἀλλὰ καὶ ἀνεχόμενοι τῶν εἰς ἡμᾶς πταιόντων, καὶ χαριζόμενοι ἀλλήλοις εἴ τις πρός τινα ἔχει μομφήν, ὡς καὶ ὁ Χριστὸς ἐχαρίσατο ἡμῖν· καὶ ἁπλῶς παντὶ τρόπῳ καὶ πᾶσιν ἔργοις τε καὶ λόγοις, οἷς ἔχομεν, ἐπιδειξώμεθα τὴν πρὸς ἀλλήλους ἀγάπην, ἵνα καὶ τῆς παρὰ τοῦ Θεοῦ ἐπιτύχωμεν ἀγάπης καὶ εὐλογηθῶμεν παρ' αὐτοῦ καὶ κληρονομήσωμεν τὴν ἐπηγγελμένην ἡμῖν καὶ δι' ἡμᾶς ἡτοιμασμένην οὐράνιον καὶ αἰώνιον βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

27 Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τό πᾶν, γιά νά μή φανοῦμε ἔξω ἀπό τήν ἀγάπη πρός τόν Θεό διά τῆς ἀσπλαγχνίας· «διότι αὐτός πού δέν ἀγαπᾶ τόν ἀδελφό του, πού τόν εἶδε», λέγει ὁ εὐαγγελιστής, «πῶς θ' ἀγαπήση τόν Θεό πού δέν τόν εἶδε», αὐτός δέ πού δέν ἀγαπᾶ τό Θεό πῶς θά συνυπάρξη μέ αὐτόν; Καί αὐτός πού δέν συνυπάρχει μέ αὐτόν θ' ἀπομακρυνθῆ ἀπό αὐτόν· ὁ δέ ἀπομακρυνόμενος ἀπό αὐτόν ὁπωσδήποτε θά πέση στή γέεννα τοῦ πυρός.

26 Ἀλλά ἐμεῖς ἄς ἐπιδείξωμε ἔργα ἀγάπης πρός τούς ἀδελφούς μας ἐν Χριστῶ, ἐλεώντας τούς πτωχούς, ἐπιστρέφοντας τούς πλανημένους, σέ ὅποιαν πλάνη καί πτωχεία καί ἄν εἶναι, δικαιώνοντας τούς ἀδικουμένους, δυναμώνοντας τούς κατακοίτους ἀπό ἀσθένεια, εἴτε πάσχουν τοῦτο διά τῶν αἰσθητῶν ἐχθρῶν καί νοσημάτων εἴτε διά τῶν ἀοράτων πονηρῶν πνευμάτων καί τῶν παθῶν τῆς ἀτιμίας, ἐπισκεπτόμενοι τούς ἐγκαθείρκτους στή φυλακή, ἀλλά καί ἀνεχόμενοι αὐτούς πού μᾶς κτυποῦν, καί χαρίζοντας ὁ ἕνας στόν ἄλλο ὅποια μομφή ἔχει ἐναντίον του, ὅπως καί ὁ Χριστός μᾶς τήν ἐχάρισε. Καί γενικῶς ἄς ἐπιδείξωμε τήν μεταξύ μας ἀγάπη μέ κάθε τρόπο καί μέ κάθε ἔργο καί λόγο, γιά νά ἐπιτύχωμε τήν ἀπό τόν Θεό ἀγάπη καί εὐλογηθοῦμε ἀπό αὐτόν καί κληρονομήσωμε τήν ἐπηγγελμένη σ' ἐμᾶς καί γιά μᾶς οὐράνια καί αἰώνια βασιλεία ἀπό τήν θεμελίωσι τοῦ κόσμου.

27 Αὐτήν εἴθε ν' ἀποκτήσωμε ὅλοι ἐμεῖς, μέ τήν χάρι καί φιλανθρωπία τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μαζί μέ τόν ὁποῖο πρέπει στόν Πατέρα, καθώς καί στό ἅγιο Πνεῦμα, τιμή καί δόξα στούς αἰῶνες τῶν αἰώνων. Γένοιτο.

29. Ἰω. 4,20.



ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

ἐν ᾗ καὶ περὶ σωφροσύνης καὶ τῆς ἀντιθέτου ταύτῃ κακίας

ΟΜΙΛΙΑ Ε'

ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

ἐν ᾗ καὶ περὶ σωφροσύνης καὶ τῆς ἀντιθέτου ταύτῃ κακίας

1 *Τὴν μὲν προγονικὴν ἐκείνην ἀράν τε καὶ καταδίκην κοινήν τε καὶ τὴν αὐτὴν ἅπαντες εἴχομεν πρὸ Χριστοῦ, ἐξ ἑνὸς τοῦ προπάτορος ἐπὶ πάντας χυθεῖσαν, ὡς ἐκ ρίζης τοῦ γένους ἀναδιδομένην καὶ τῇ φύσει συγκεκληρωμένην· ἕκαστος δὲ δι' ὧν αὐτὸς ἰδίως ἔπραττεν, ἢ τὴν μέμψιν ἢ τὸν ἔπαινον εἰς τὴν ἰδίαν ὑπόστασιν παρὰ Θεοῦ ἐπεσπᾶτο, πρὸς ἐκείνην τὴν κοινὴν ἀράν τε καὶ καταδίκην καὶ τὸν ἄνωθεν πρὸς αὐτὸν καὶ δι' αὐτοῦ πρὸς τοὺς ἐξῆς καταβαίνοντα πονηρὸν κλῆρον πράττειν ἔχων οὐδέν.*

ΟΜΙΛΙΑ 5

ΣΤΗΝ ΥΠΑΠΑΝΤΗ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΜΑΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

Ὅπου γίνεται λόγος καί περί σωφροσύνης καί τῆς ἀντίθετης μέ αὐτήν κακίας

1 Ἐκείνη τήν προγονική κατάρα καί καταδίκη πρό Χριστοῦ τήν εἴχαμε ὅλοι κοινή καί ἴδια, ἐκχυμένη σέ ὅλους ἀπό ἕναν προπάτορα, σάν νά ἀναπτυσσόταν ἀπό τή ρίζα τοῦ γένους καί νά ἦταν συνημμένη μέ τή φύση. Ὁ καθένας ἐπέσυρε ἀπό τόν Θεό στήν ὑπόστασί του μέ ὅσα ἔπραττε προσωπικῶς ἤ τήν μομφή ἤ τόν ἔπαινο, ἐνῶ δέν μποροῦσε νά κάμη τίποτε ἀπέναντι σ' ἐκείνη τήν κοινή κατάρα καί καταδίκη καί ἀπέναντι στόν πονηρό κλῆρο πού κατεβαίνει ἀπό ἐπάνω σ' αὐτόν καί δι' αὐτοῦ στούς ἀπογόνους του.

2 Ἀλλ' ἦλθε Χριστὸς ὁ τῆς φύσεως ἐλευθερωτής, ὁ τὴν κοινὴν ἀρὰν εἰς εὐλογίαν μετάγων κοινὴν καὶ τὴν ὑπεύθυνον ἡμῶν φύσιν ἀναλαβὼν ἐξ ἀκηράτου Παρθένου καὶ ταύτην ὑποστήσας ἑαυτῷ καινήν, παλαιοῦ μὴ μετασχοῦσαν σπέρματος, ἀνεύθυνον αὐτὴν καὶ δεδικαιωμένην ἀπέδειξεν, ὡς καὶ τοὺς ἐξ αὐτοῦ κατὰ Πνεῦμα γεννωμένους ἔπειτα πάντας τῆς προγονικῆς ἐκείνης ἀρᾶς καὶ καταδίκης μένειν ἐκτός. Τί οὖν; οὐχὶ καὶ τῶν ὑποστάσεων ἡμῶν ἑκάστῃ τῆς αὐτοῦ μεταδίδωσι χάριτος, οὐδὲ τῶν ἰδίων ἕκαστος πλημμελημάτων λαμβάνει παρ' αὐτοῦ τὴν ἄφεσιν, ἐπειδήπερ οὐχ ὑπόστασιν αὐτὸς παρ' ἡμῶν, ἀλλὰ τὴν ἡμετέραν ἀναλαβὼν ἐκαινούργησε φύσιν, ἑνωθεὶς αὐτῇ κατ' ἰδίαν ὑπόστασιν; Καὶ πῶς, ὃς πάντας τελείως θέλει σωθῆναι καὶ ὑπὲρ πάντων κλίνας οὐρανοὺς κατῆλθε καὶ δι' ἔργων καὶ λόγων καὶ παθημάτων οἰκείων πᾶσαν ὑποδείξας σωτηρίας ὁδὸν εἰς οὐρανοὺς ἐπανῆλθεν, ἕλκων ἐκεῖσε τοὺς πειθομένους; οὐκοῦν, οὐ τῇ φύσει μόνον ἣν αὐτὸς παρ' ἡμῶν ἔσχε καθ' ἕνωσιν ἀδιάσπαστον, ἀλλὰ καὶ τῶν εἰς αὐτὸν πιστευόντων ἑκάστῳ παράσχοι τελείαν τὴν ἀπολύτρωσιν· καὶ πεποίηκε καὶ ποιῶν οὐ διέλιπε, δι' ἑαυτοῦ τῷ Πατρὶ καταλάττων καὶ πρὸς ὑπακοὴν ἡμῶν ἐπανάγων ἕκαστον καὶ πᾶσαν ἡμῶν παρακοὴν ἐξιώμενος.

3 Διὰ ταῦτα τοίνυν καὶ βάπτισμα ἐνετείλατο θεῖον καὶ νόμους ἔθηκε σωτηρίους καὶ μετάνοιαν ἐκήρυξε πᾶσι καὶ τοῦ οἰκείου μετέδωκε σώματός τε καὶ αἵματος· οὐ γὰρ ἁπλῶς ἡ φύσις, ἀλλ' ἡ ἑκάστου τῶν πιστευόντων ὑπόστασις καὶ τὸ βάπτισμα δέχεται καὶ κατὰ τὰς θείας ἐντολὰς πολιτεύεται καὶ τοῦ θεουργοῦ ἄρτου καὶ τοῦ ποτηρίου ἐν μεθέξει γίνεται. Διὰ τούτων μὲν οὖν ὑποστατικῶς ἡμᾶς ὁ Χριστὸς ἐδικαίωσε καὶ πρὸς ὑπακοὴν τοῦ ἀνωτάτου Πατρὸς ἐπανήγαγεν· αὐτὴν δὲ τὴν φύσιν ἣν παρ' ἡμῶν προσλαβόμε-

2 Ἀλλ᾽ ἦλθε ὁ Χριστός ἐλευθερωτής τῆς φύσεως, πού μετέβαλε τήν κοινή κατάρα σέ κοινή εὐλογία· ἀφοῦ ἀνέλαβε τήν ἔνοχη φύσι μας ἀπό τήν ἀκήρατη Παρθένο καί τήν ἥνωσε στήν ὑπόστασί του, νέαν, χωρίς νά ἔχη μετάσχει σέ παλαιό σπέρμα, τήν κατέστησε ἀθώα καί δικαιωμένη, ὥστε καί οἱ γεννώμενοι ἀπό αὐτόν ἔπειτα κατά πνεῦμα νά μένουν ὅλοι ἔξω ἀπό τήν προγονική ἐκείνη κατάρα καί καταδίκη. Τί λοιπόν; Δέν μεταδίδει τή χάρι του σέ καθεμιά ἀπό τίς ὑποστάσεις μας καί δέν λαμβάνει ὁ καθένας μας ἄφεσι τῶν πλημμελημάτων του ἀπό αὐτόν, ἐπειδή αὐτός δέν ἀνέλαβε ὑπόστασι ἀπό ἐμᾶς, ἀλλά τήν φύσι μας, τήν ὁποία ἀνανέωσε ἑνωθείς μέ αὐτήν κατά τήν ἰδιαίτερη ὑπόστασί του; Πῶς ὅμως θά ἐνεργοῦσε ἔτσι, αὐτός πού θέλει νά σωθοῦν ὅλοι τελείως καί κατῆλθε κλίνοντας τούς οὐρανούς γιά χάρι ὅλων καί, ἀφοῦ δι᾽ ἔργων καί λόγων καί παθημάτων του ὑπέδειξε κάθε δρόμο σωτηρίας, ἐπανῆλθε στούς οὐρανούς, ἐλκύοντας πρός τά ἐκεῖ τούς πιστούς του; ἐπομένως γιά νά παράσχη τελεία ἀπολύτρωσι ὄχι μόνο στή φύσι τήν ὁποία ἔλαβε ὁ ἴδιος ἀπό ἐμᾶς σέ ἀδιάσπαστη ἕνωση, ἀλλά καί στόν καθένα ἀπό τούς πιστεύοντας σ᾽ αὐτόν; Τοῦτο λοιπόν ἔπραξε καί δέν ἔπαυσε νά πράττη, συνδιαλλάσσοντας τόν καθένα μας δι᾽ ἑαυτοῦ πρός τόν Πατέρα καί ἐπαναφέροντας τόν καθένα στήν ὑπακοή καί θεραπεύοντας κάθε παρακοή.

3 Γι᾽ αὐτό λοιπόν καθώρισε καί θεῖο βάπτισμα κι᾽ ἔθεσε σωτηρίους νόμους, ἐκήρυξε μετάνοια σέ ὅλους καί μετέδωσε δέν μεταδίδει τή χάρι του σέ καθεμιά ἀπό τίς ὑποστάσεις μας ἀπό τό σῶμα καί αἷμα του. Διότι δέν εἶναι γενικῶς ἡ φύσις ἀλλά ἡ ὑπόστασις τοῦ καθενός ἀπό τούς πιστεύοντας πού δέχεται τό βάπτισμα καί πολιτεύεται κατά τίς θεῖες ἐντολές καί γίνεται μέτοχος τοῦ θεουργοῦ ἄρτου καί τοῦ ποτηρίου. Διά τῶν μέσων τούτων βέβαια ὁ Χριστός μᾶς ἐδικαίωσε ὑποστατικῶς

νος ἐκαινούργησεν ἡγιασμένην καὶ δεδικαιωμένην καὶ τῷ Πατρὶ διὰ πάντων ὑπήκοον οὖσαν ἔδειξε, δι' ὧν αὐτὸς ταύτῃ καθ' ὑπόστασιν ἡνωμένος κατ' αὐτὴν ἔπραξέ τε καὶ ἔπαθεν· ὧν ἐστι καὶ ἡ τούτου σήμερον ἑορταζομένη παρ' ἡμῶν εἰς τὸ ἱερὸν τὸ παλαιὸν ἐκεῖνο πρὸς καθαρισμὸν ἀνάβασις ἢ ἀναβίβασις καὶ ἡ τοῦ θεολήπτου Συμεὼν ὑπάντησις καὶ ἡ τῆς διὰ βίου τῷ ἱερῷ προσανεχούσης Ἄννης ἐξομολόγησις.

4 Μετὰ γὰρ τὴν ἐκ Παρθένου τοῦ Σωτῆρος γέννησιν καὶ τὴν κατὰ νόμους ὀκταήμερον περιτομήν, καθάπερ ὁ Εὐαγγελιστὴς Λουκᾶς φησιν, «ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωϋσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ Κυρίου». Περιτέμνεται κατὰ τὸν νόμον, ἀνάγεται κατὰ τὸν νόμον, παρίσταται κατὰ τὸ γεγραμμένον ἐν νόμῳ Κυρίου, προσάγεται θυσία κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου.

5 Ὁρᾶτε ὅτι διὰ πάντων ὑπήκοος τῷ νόμῳ γίνεται ὁ τοῦ νόμου ποιητὴς καὶ δεσπότης; Τί διὰ τούτων ἀπεργαζόμενος; ὑπήκοον ἐν πᾶσι τῷ Πατρὶ τὴν ἡμετέραν φύσιν ποιούμενος καὶ τὴν κατ' αὐτὴν ἡμῶν παρακοὴν ἐξιώμενος καὶ τὴν δι' αὐτὴν ἀρὰν εἰς εὐλογίαν μετασκευάζων. Ὡς γὰρ ἐν Ἀδὰμ ἅπασα ἦν ἡ φύσις ἡμῶν, οὕτω καὶ ἐν Χριστῷ· καὶ ὡς διὰ τοῦ ἐκ γῆς Ἀδὰμ πάντες οἱ ἐξ ἐκείνου τὸ εἶναι λαβόντες εἰς γῆν ἀπεστράφημεν καὶ εἰς ᾅδου, φεῦ, κατηνέχθημεν, οὕτω διὰ τοῦ ἐξ οὐρανοῦ Ἀδάμ, κατὰ τὸν ἀπόστολον, πάντες εἰς οὐρανὸν ἀνεκλήθημεν καὶ τῆς ἐκεῖ δόξης καὶ χάριτος ἠξιώθημεν μυστικῶς μέν τοι νῦν, κέκρυπται γάρ, φησίν, ἡ ζωὴ ὑμῶν σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ, ὅταν δὲ ὁ Χριστὸς φανερωθῇ κατὰ τὴν

καί μᾶς ἐπανέφερε στήν ὑπακοή τοῦ οὐρανίου Πατρός· τήν ἴδια δέ τή φύσι πού προσέλαβε ἀπό ἐμᾶς καί ἀνανέωσε, τήν ἔδειξε ἁγιασμένη καί δικαιωμένη καί σέ ὅλα ὑπήκοο στόν Πατέρα, δι' ἐκείνων πού ἔπραξε καί ἔπαθε αὐτός κατ' αὐτήν ἑνωμένος μέ αὐτήν ὑποστατικῶς. Ἀνάμεσα σέ αὐτά εἶναι καί ἡ ἑορταζομένη σήμερα ἀπό ἐμᾶς ἀνάβασις ἤ ἀναβίβασίς του στόν παλαιό ἐκεῖνο ναό πρός καθαρισμό, ἡ προϋπάντησις ἀπό τόν θεόληπτο Συμεών καί ἡ εὐχαριστία τῆς Ἄννας, ἡ ὁποία παρέμενε στόν ναό ὅλη τή ζωή της[1].

4 Πραγματικά μετά τήν γέννησι τοῦ Σωτῆρος ἀπό τήν Παρθένο καί τήν κατά τόν μωσαϊκό νόμο περιτομή τήν ὀγδόη ἡμέρα, ὅπως λέγει ὁ εὐαγγελιστής Λουκᾶς, «ὅταν συμπληρώθηκαν οἱ ἡμέρες τοῦ καθαρισμοῦ αὐτῶν κατά τόν νόμο τοῦ Μωϋσέως, τόν ἀνέβασαν στά Ἱεροσόλυμα γιά νά τόν παρουσιάσουν στόν Κύριο». Περιτέμνεται κατά τόν νόμο, ἀνεβάζεται κατά τό γεγραμμένο, προσφέρεται θυσία κατά τά λεγόμενα στόν νόμο Κυρίου.

5 Βλέπετε ὅτι ὁ ποιητής καί δεσπότης τοῦ νόμου γίνεται καθ' ὅλα ὑπήκοος στόν νόμο; Ἐπιτελώντας τί μέ αὐτά; Καθιστώντας καθ' ὅλα ὑπήκοο τήν φύσι μας στόν Πατέρα καί θεραπεύοντας τήν κατ' αὐτήν παρακοή μας καί μετατρέποντας τήν γι' αὐτήν κατάρα σ' εὐλογία. Ὅπως δηλαδή ὅλη ἡ φύσις μας ἦταν στόν Ἀδάμ, ἔτσι καί στόν Χριστό· καί ὅπως διά τοῦ ἀπό τήν γῆ Ἀδάμ ὅλοι ὅσοι ἐλάβαμε ἀπό ἐκεῖνον τήν ὕπαρξι ἐστραφήκαμε πρός τήν γῆ καί καταρριφθήκαμε, φεῦ, στόν Ἅδη, ἔτσι διά τοῦ ἀπό τόν οὐρανό Ἀδάμ, κατά τόν ἀπόστολο, ὅλοι ἀνακληθήκαμε στόν οὐρανό καί ἀξιωθήκαμε τήν ἐκεῖ δόξα καί χάρι. Τώρα ὅμως ἀξιωθήκαμε μυστικῶς, διότι, λέγει «ἡ ζωή σας μαζί μέ τόν Χριστό εἶναι στόν Θεό, ὅταν δέ ὁ Χριστός φανερωθῆ κατά

1. Λουκᾶ 2,22-38.

δευτέραν αὐτοῦ ἐπιφάνειαν καὶ παρουσίαν, τότε καὶ ὑμεῖς πάντες φανερωθήσεσθε ἐν δόξῃ. Πάντες τίνες; Οἱ τῷ Χριστῷ υἱοποιηθέντες ἐν Πνεύματι καὶ πνευματικὰ τούτου τέκνα διὰ τῶν ἔργων ἀποδεικνύμενοι.

6 Ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν ἀνήγαγον αὐτὸν παραστῆσαι τῷ Κυρίῳ. Τίνων αὐτῶν; περὶ τῶν τεκόντων ἅμα δὲ καὶ τῶν ἐκ συνδυασμοῦ τικτομένων ὁ τοῦ νόμου λόγος, ὡς δεομένων καθάρσεως· ἐπεὶ καὶ ὁ ψαλμῳδός φησιν «ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου»· ὅπου δὲ οὐ τεκόντες, ἀλλὰ τεκοῦσα ἦν μόνη, καὶ αὕτη παρθένος, καὶ παιδὸς τόκος ἀσπόρως συλληφθέντος, πάντως οὐκ ἦν χρεία καθαρισμοῦ, ἀλλ' ὑπακοῆς ἦν ἔργον καὶ τοῦτο, ἐπαναγαγούσης τὴν παρακούσασαν φύσιν καὶ τῆς διὰ τὴν παρακοὴν ἀπαγούσης εὐθύνης. Ὅτε οὖν ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν ἀνήγαγον αὐτὸν παραστῆσαι τῷ Κυρίῳ, ἀναθεῖναι, φανερὸν ποιῆσαι πρωτότοκον ὄντα, καθὰ γέγραπται ἐν νόμῳ Κυρίου, ὅτι «πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται».

7 Καὶ μὴν οὗτος μόνος ἐστὶν ὁ μήτραν ἐν τῷ συλληφθῆναι διανοίξας, ἀσυνδυάστως κυοφορηθεὶς διὰ μόνου προσρήματος καὶ μηνύματος Θεοῦ, ὅπερ εἰς ἀκοὴν ἡ Παρθένος δι' ἀγγέλου ἐδέξατο· πῶς οὖν ὁ νόμος πᾶν ἄρσεν φησὶ διανοῖγον μήτραν; Ὥσπερ πολλοὶ λέγονται προφῆται καὶ πολλοὶ χριστοί, ὡς καὶ διὰ τοῦ ψαλμῳδοῦ λέγει ὁ Θεός, «μὴ ἅπτεσθε τῶν χριστῶν μου καὶ ἐν τοῖς

2. Κολ. 3,3.
3. Ψαλμ. 50,7.

τήν δευτέρα ἐπιφάνεια καί παρουσία, τότε καί σεῖς ὅλοι θά φανερωθῆτε σέ δόξα»[2]. Ποιοί «ὅλοι»; Ὅσοι υἱοποιήθηκαν κατά τόν Χριστό διά τοῦ Πνεύματος ἀποδείχθηκαν καί διά τῶν ἔργων πνευματικά τέκνα τούτου.

6 Ὅταν συμπληρώθηκαν οἱ ἡμέρες τοῦ καθαρισμοῦ αὐτῶν, τόν ἀνέβασαν στά Ἱεροσόλυμα γιά νά τόν παρουσιάσουν στόν Κύριο. Ποιῶν «αὐτῶν»; Ὁ λόγος τοῦ νόμου εἶναι περί τῶν γεννητόρων, καθώς ἐπίσης καί τῶν γεννωμένων ἀπό τήν ἕνωσί τους, πού ἔχουν ἀνάγκη καθάρσεως. Διότι καί ὁ ψαλμωδός λέγει «συνελήφθηκα σέ ἀνομίες καί ἡ μητέρα μου μ' ἐκυοφόρησε σέ ἁμαρτίες»[3]. Ἐδῶ δέ πού δέν ὑπάρχουν γεννήτορες, ἀλλά ἦταν μόνο μητέρα, καί αὐτή Παρθένος, πού ὑπάρχει ἐπίσης γέννησις παιδιοῦ συλληφθέντος ἀσπόρως, ὁπωσδήποτε δέν ὑπῆρχε χρεία καθαρισμοῦ, ἀλλ' ἦταν ἔργο ὑπακοῆς καί τοῦτο, πού ἐπανέφερε τήν παρακούσασα φύσι καί ἀπήλειφε τήν εὐθύνη ἐξ αἰτίας τῆς παρακοῆς. Ὅταν λοιπόν συμπληρώθηκαν οἱ ἡμέρες τοῦ καθαρισμοῦ των, τόν ἀνέβασαν γιά νά τόν παρουσιάσουν στόν Κύριο, νά τόν ἀφιερώσουν, νά καταστήσουν φανερό ὅτι εἶναι πρωτότοκος, ὅπως ἔχει γραφῆ στόν νόμο τοῦ Κυρίου, ὅτι «κάθε ἀρσενικό παιδί πού διανοίγει τήν μήτρα, θά ἀποκληθῆ ἀφιερωμένο στόν Κύριο»[4].

7 Καί ὅμως αὐτός εἶναι ὁ μόνος πού διάνοιξε μήτρα, ἀφοῦ ἐκυοφορήθηκε χωρίς γεννετήσια ἕνωσι μέ μόνο τό προσφώνημα καί τό μήνυμα τοῦ Θεοῦ, πού ἐδέχθηκε στίς ἀκοές της ἡ Παρθένος δι' ἀγγέλου· πῶς λοιπόν ὁ νόμος λέγει «κάθε ἀρσενικό παιδί πού διανοίγει μήτρα»; Ὅπως πολλοί λέγονται προφῆτες καί πολλοί χρισμένοι, καθώς λέγει ὁ Θεός διά τοῦ ψαλμωδοῦ, «μή ἐγγίζετε τούς χρισμένους μου καί μή κακοποιῆτε τούς

4. Ἐξ. 13,2. 12,15. Λουκᾶ 2,23.

προφήταις μου μὴ πονηρεύεσθε», εἷς δέ ἐστιν ὁ Χριστὸς καὶ εἷς ὁ μόνος Προφήτης οὗτος, οὕτω καὶ πᾶν μὲν πρωτότοκον λέγεται διανοίγειν μήτραν, ὁ δὲ ἀληθῶς διανοίξας οὗτός ἐστιν ὁ μόνος ἅγιος τοῦ Ἰσραήλ. Ἀνήγαγον δέ φησι, καί, «τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν».

8 Τὸ μὲν οὖν τῶν τρυγόνων ζεῦγος, ὑπεμφαῖνον τῶν τεκόντων τὸ σῶφρον, εἶχέ τινα λόγον πρὸς τοὺς νόμῳ γάμου συνεζευγμένους, οἱ δὲ δύο νεοσσοὶ τῶν περιστερῶν ἀπειρόγαμοι ὄντες σαφῶς προεδήλουν τὴν Παρθένον καὶ τὸν ἐκ τῆς Παρθένου ταύτης τεχθέντα καὶ Παρθένον εἰς τέλος ὄντα. Καὶ ὅρα τοῦ νόμου τὸ ἀκριβές· ἐπὶ μὲν γὰρ τῶν τρυγόνων ζεῦγος εἶπεν, ὡς αἰνιττομένων τοὺς γάμῳ συνευζεγμένους, ἐπὶ δὲ τῶν νεοσσῶν ἐφυλάξατο τοῦτο· ἀπειρόζυγος γὰρ καὶ ἡ τεκοῦσα καὶ ὁ τεχθείς. Ἀλλ' ὁ μὲν νόμος πόρρωθεν προκαταγγέλων τὸν παρθενικὸν τόκον τοιαῦτα χρησμῳδεῖ καὶ διὰ τοιούτων τοῦτον προϋπογράφει· αὐτοῦ δὲ τοῦ παραδόξως τεχθέντος νῦν εἰς τὸ ἱερὸν ἀναχθέντος, ἑτέρας τρυγόνας καὶ ἄλλους περιστερῶν νεοσσοὺς πρεπωδεστέρους ἡτοίμασε τὸ Πνεῦμα τὸ ἅγιον. Τίνας τούτους; Συμεὼν καὶ τὴν Ἄνναν, οὕς, εἴτε νεοσσοὺς περιστερῶν εἴποι τις, διὰ τὸ πρὸς κακίαν παντάπασι νηπιῶδες, εἴτε τρυγόνας διὰ τὸ τῆς σωφροσύνης ἀκρότατον, εὐλόγως ἐρεῖ.

9 Ἀλλ' ὁ μὲν Συμεών, ἵνα κατ' ἐπιδρομὴν τὰ εὐαγγελικὰ διέλθωμεν ῥήματα, δίκαιος ὢν καὶ εὐλαβής, προκεχρηματισμένος τε ὑπὸ Πνεύματος ἁγίου, καὶ νῦν ὑπὸ τούτου κεκινημένος ἦλθεν εἰς τὸ ἱερὸν καὶ ὑπήντησε καὶ ἐνηγκαλίσατο τοῦτο τὸ οὐράνιον καὶ ἐπί-

προφῆτες μου»[5], ἐνῶ ἕνας εἶναι ὁ Χριστός καί ἕνας μόνο ὁ Προφήτης αὐτός, ἔτσι λέγεται ὅτι καί κάθε πρωτότοκο διανοίγει μήτρα, ἀλλ' ὁ ἀληθῶς διανοίξας εἶναι αὐτός ὁ μόνος ἅγιος τοῦ Ἰσραήλ. Λέγει δέ ὅτι τόν ἀνέβασαν γιά νά δώσουν θυσία κατά τό λεγόμενο στόν νόμο τοῦ Κυρίου, ἕνα ζεῦγος τρυγονιῶν ἤ δύο νεοσσούς περιστεριῶν».

8 Τό μέν ζεῦγος τῶν τρυγονιῶν λοιπόν, δηλώνοντας τήν σωφροσύνη τῶν γονέων, εἶχε κάποια σχέσι πρός τούς συνεζευγμένους κατά τόν νόμο τοῦ γάμου, οἱ δέ δύο νεοσσοί τῶν περιστεριῶν, σάν ἄπειροι γάμου, προεδήλωναν σαφῶς τήν Παρθένο καί τόν γεννηθέντα ἀπό τήν Παρθένο αὐτή πού εἶναι ἕως τό τέλος Παρθένος. Καί πρόσεξε τήν ἀκρίβεια τοῦ νόμου. Πραγματικά γιά τά τρυγόνια εἶπε ζεῦγος διότι ὑπαινίσσονται τούς συνεζευγμένους σέ γάμο, ἐνῶ γιά τά περιστεράκια τό ἀπέφυγε τοῦτο· διότι ἄπειροι γάμου ἦσαν καί ἡ μητέρα καί ὁ υἱός. Ἀλλά ὁ μέν νόμος, προμηνύοντας ἀπό παλαιά τήν παρθενική γέννησι, τέτοια χρησμοδοτεῖ καί μέ τέτοια τήν προτυπώνει· τώρα δέ πού ὡδηγήθηκε στόν ναό ὁ ἴδιος ὁ παραδόξως γεννηθείς, τό ἅγιο Πνεῦμα ἑτοίμασε ἄλλα τρυγόνια καί ἄλλους νεοσσούς περιστεριῶν περισσότερο ταιριαστούς. Ποιούς λοιπόν; Τόν Συμεών καί τήν Ἄννα, τούς ὁποίους εἴτε νεοσσούς περιστερῶν τούς εἰπῆ κανείς, λόγω τῆς τελείως νηπιακῆς διαθέσεως πρός τήν κακία, εἴτε τρυγόνια γιά τό ἄκρο ὕψος τῆς σωφροσύνης, σωστά θά εἰπῆ.

9 Ἀλλά ὁ μέν Συμεών, γιά νά διέλθωμε σύντομα τά εὐαγγελικά λόγια, δίκαιος καί εὐλαβής καί προεμπνευσμένος ἀπό ἅγιο Πνεῦμα, ἦλθε στόν ναό κινημένος καί τώρα ἀπό αὐτό, προϋπάντησε καί ἀσπάσθηκε τοῦτο τό οὐράνιο καί ἐπίγειο βρέφος, προ-

5. Ψαλμ. 104,15.

γειον βρέφος, αὐτῷ προσάγων ὡς Θεῷ τόν τε ὕμνον καὶ τὴν ἱκεσίαν, ἐν εἰρήνῃ τε λυθῆναι τοῦ σώματος ἱκετεύων καὶ σωτήριον αὐτὸ φῶς εἶναι καταγγέλων τοῖς πᾶσιν, εἰς πτῶσίν τε τοῦτο τεθεῖσθαι τῶν ἀπιστούντων καὶ εἰς ἀνάστασιν τῶν εἰς αὐτὸ πιστευόντων ἰσχυριζόμενος.

10 Εἶτα καὶ τῇ Παρθένῳ καὶ Μητρὶ τοῦ βρέφους προσδιελέξατο, ἐκ τῆς περὶ τὸν σταυρὸν τοῦ παιδὸς ὀδύνης μητέρα κατὰ φύσιν φανερωθήσεσθαι δεικνὺς τοῦ νῦν θεανθρώπου βρέφους καὶ τοὺς ἀμφιβόλους περὶ τούτου λογισμοὺς ἀποκαλύψασαν ἐκ τῶν καρδιῶν ἀπαλείψειν· καὶ ὁ Συμεὼν γὰρ τὴν γνησίαν τοῦ ἀμφιβόλου παιδὸς μητέρα ἐκ τῆς περὶ τὸ πάθος τοῦ παιδὸς ὀδύνης καὶ τῆς ἐπ' αὐτὸ σφοδρᾶς λύπης καὶ συμπαθείας καλῶς ἐτεκμήρατο.

11 Προφῆτις δὲ Ἄννα ἡ τοῦ Φανουὴλ χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων οὖσα, νηστείαις τε καὶ δεήσεσι προσκειμένη καὶ τοῦ ἱεροῦ μηδαμῶς ἀφισταμένη, θείῳ Πνεύματι τηνικαῦτα μᾶλλον γενομένη κάτοχος εὐχαρίστει τῷ Θεῷ καὶ τὴν λύτρωσιν παραγενομένην τοῖς προσδεχομένοις εὐηγγελίζετο, ταύτην εἶναι δεικνῦσα τὸ βρέφος τοῦτο.

12 Τοιαύτας λογικὰς τρυγόνας πρὸς ὑπαντὴν προέπεμψεν εἰς τὸ ἱερὸν ἀνιόντι τῷ Χριστῷ τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἔδειξεν ἡμῖν ὁποίους εἶναι δεῖ τοὺς εἰσδεχομένους Χριστόν, καὶ ὁποίους εἶναι δεῖ καὶ ὁποίας τὰς ἐξ ἀνδρῶν τε τὸν βίον ἀπολιπούσας καὶ τοὺς τὰς ὁμοζύγους ἀποβαλόντας. Χήρα γὰρ ἦν ἡ τοῦ Φανουὴλ αὕτη Ἄννα, ἀλλὰ καὶ προφῆτις. Πῶς; ὅτι τῶν κοσμικῶν καὶ βιωτικῶν ἀποστᾶσα φροντίδων οὐκ ἀφίστατο τοῦ ἱεροῦ· ὅτι νηστείαις καὶ ἀγρυπνίαις καὶ προσευχαῖς καὶ ψαλμῳδίαις συνδιημερεύουσα καὶ δια-

φέροντας σ' αὐτό ὡς Θεόν τόν ὕμνο καί τήν ἱκεσία, παρακαλώντας ν' ἀπαλλαγῆ εἰρηνικά ἀπό τό σῶμα καί διακηρύσσοντας σέ ὅλους ὅτι αὐτό εἶναι τό σωτήριο φῶς, ἰσχυριζόμενος δέ ὅτι τοῦτο ἔχει τεθῆ σέ πτῶσι τῶν ἀπιστούντων καί σέ ἀνάστασι τῶν πιστευόντων σ' αὐτό.

10 Ἔπειτα συνωμίλησε μέ τήν Παρθένο καί Μητέρα τοῦ βρέφους, δεικνύοντας ἀπό τήν ὀδύνη γιά τόν μελλοντικό σταυρό τοῦ παιδιοῦ ὅτι θά φανερωθῆ κατά φύσι μητέρα τοῦ τώρα θεανθρώπου βρέφους καί ὅτι, ἀφοῦ ἀποκαλύψη τούς ἀμφιβόλους γι' αὐτό λογισμούς θά τούς ἀπαλείψη ἀπό τίς καρδιές· διότι καί ὁ Συμεών τήν γνησία μητέρα τοῦ ἀμφιβόλου παιδιοῦ[6] προσδιώρισε ἀπό τήν σχετική μέ τό πάθος ὀδύνη καί ἀπό τήν γι' αὐτό τό πάθος σφοδρά λύπη καί συμπάθεια.

11 Ἡ δέ προφῆτις Ἄννα, χήρα τοῦ Φανουήλ ἡλικίας ὀγδόντα τεσσάρων ἐτῶν, ἐπιδιδομένη σέ νηστεῖες καί δεήσεις καί μή ἀπομακρυνομένη καθόλου ἀπό τόν ναό, καταληφθεῖσα τότε περισσότερο ἀπό θεῖο Πνεῦμα εὐχαρίστησε τόν Θεό καί εὐαγγελίσθηκε ὅτι θά ἔλθη ἡ λύτρωσις σ' ὅσους τήν προσδέχονται, δεικνύοντας ὅτι αὐτή εἶναι τό βρέφος τοῦτο.

12 Τέτοια λογικά τρυγόνια προέπεμψε τό ἅγιο Πνεῦμα πρός προϋπάντησι τοῦ Χριστοῦ, καθώς ἀνέβαινε στόν ναό καί μᾶς ἔδειξε ὁποῖοι πρέπει νά εἶναι οἱ δεχόμενοι μέσα τους τόν Χριστό, καί ὁποῖοι καί ὁποῖες πρέπει νά εἶναι αὐτές πού ἔχασαν τούς ἄνδρες των καί αὐτοί πού ἔχασαν τίς συζύγους των. Διότι ἡ Ἄννα αὐτή ἦταν χήρα τοῦ Φανουήλ ἀλλά καί προφῆτις. Πῶς; διότι, ἀφοῦ ἄφησε τίς κοσμικές καί βιωτικές φροντίδες, δέν ἐγκατέλειψε τόν ναό· διότι εἶχε ἄμωμο τόν βίο διημερεύοντας καί διανυκτερεύοντας μέ νηστεῖες καί ἀγρυπνίες, μέ προσευχές καί

6. Ἀμφίβολο παιδί εἶναι ὁ Χριστός λόγω τῆς διπλῆς ἰδιότητός του, θείας καί ἀνθρωπίνης.

νυκτερεύουσα τὸν βίον εἶχεν ἄμωμον· διὸ καὶ τὸν Κύριον, ᾧ δι' ἔργων ἐλάτρευεν, εἰκότως ἐπεγίνωσκεν ἐλθόντα, καθὰ καὶ ὁ ψαλμῳδὸς προφήτης πρὸς αὐτόν φησιν· «ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρός με;».

13 Τοιαύτας εἶναι δεῖ καὶ τοιούτους τοὺς ἐκ τοῦ γάμου διὰ τῆς ἐντίμου χηρείας πρὸς τὸν παρθενικὸν βίον ἐγγίζειν ἢ καὶ συμβιοῦν αἱρουμένους. Ἐὰν οὖν τῆς δευτέρας συζυγίας ὡς χαμαιζήλου παντάπασιν ὑπερεῖδες, ἀπρὶξ ἔχου μοι τῆς προθέσεως, κατ' ἴχνος βάδιζε τῶν ἐξ ἀρχῆς καὶ διὰ τέλους ἁγάμων. Ἦν ὅτε καὶ Πέτρος πενθερὰν ἔσχεν, ἀλλ' Ἰωάννου τοῦ παρθένου πρὸς τὸ ζωαρχικὸν μνῆμα προσδραμόντος οὐκ ἀπελείφθη· ἔστι δὲ ἐφ' ὧν καὶ ἐπανῆλθε, διὸ καὶ κορυφαῖος τῶν κορυφαίων ὑπὸ τοῦ κοινοῦ δεσπότου κατέστη. Πρὸς τοιοῦτον ὕψος ἀνάγει πόθος ἀπὸ τῆς σαρκὸς ἐπὶ τὸ πνεῦμα μετενεχθείς.

14 Σὺ δὲ ὅρα, μὴ τῆς μὲν ἀποσχόμενος ὡς πανδήμου, τῆς δὲ μὴ ἐφικόμενος ὡς δυσεφίκτου, παραρρυῇς καὶ λάθῃς καταπεσών, ὡς μήτε τῶν κατὰ νόμον μήτε τῶν ὑπὲρ νόμον, ἀλλὰ τῶν παρὰ νόμον ἐχόμενος. Εἰ δὲ τοὺς ἐν χηρείᾳ ὄντας, ἂν μὴ σωφρονῶσι, κατακρίτους ἀποφαινόμεθα, κἂν δευτέροις ἐννόμως ὁμιλήσωσι γάμοις, οὐ παντάπασιν ἀμέμπτους ἡγούμεθα (εἶπεν ἂν ὁ Παῦλος, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν), πόσῳ μείζονος ἄξιοι καταδίκης, οἱ τῆς ἐννόμου συζυγίας τὴν παράνομον ἡδονὴν προτιμῶντες, καὶ οἱ γυναιξὶ συνοικοῦντες, καὶ τῆς πορνείας οὐκ ἀπεχόμενοι; πορνείας, ἣ καὶ τὸν παγκόσμιον ἐκεῖνον ἐπήνεγκε κατακλυσμὸν καὶ αὐτοῖς τοῖς υἱοῖς Θεοῦ κληθεῖσι τὴν ἀρχὴν καὶ τοῖς Σοδομίταις ἐπήνεγκε τὸν

ψαλμωδίες. Γι' αὐτό καί ἡ γυναίκα αὐτή τόν Κύριο, πού ἐλάτρευε μέ ἔργα, εὐλόγως τόν ἀνεγνώρισε ὅταν ἦλθε, ὅπως λέγει πρός αὐτόν ὁ ψαλμωδός προφήτης, «θά ψάλω καί θά προσέξω στήν τελεία ὁδό, πότε θά ἔλθης πρός ἐμένα»[7].

13 Τέτοιες καί τέτοιοι πρέπει νά εἶναι ὅσοι ἀπό τόν γάμο διά τῆς ἔντιμης χηρείας ἀποφασίζουν νά προσέλθουν πρός τόν παρθενικό βίο ἤ στή συμβίωσι. Ἐάν λοιπόν καταφρονήσης τελείως τήν δευτέρα συζυγία ὡς χαμερπῆ, κράτησε σταθερά τήν πρόθεσί σου, βάδιζε στά ἴχνη τῶν ἀπό τήν ἀρχή ἕως τό τέλος ἀγάμων. Κάποτε εἶχε καί ὁ Πέτρος πεθερά, ἀλλά δέν ὑστέρησε τοῦ παρθένου Ἰωάννου, ὅταν ἔτρεξε πρός τό ζωαρχικό μνῆμα· σέ μερικά σημεῖα μάλιστα καί ὑπερτέρησε, γι' αὐτό καί ἀπό τόν κοινό δεσπότη κατέστη κορυφαῖος τῶν κορυφαίων. Πρός τόσο ὕψος ἀναβιβάζει ὁ πόθος πού μεταφέρεται ἀπό τήν σάρκα πρός τό πνεῦμα.

14 Ἐσύ δέ πρόσεχε, μή τυχόν ἀπό μέν τήν συζυγία ἀπόσχης ὡς πάνδημη, τήν δέ ἀγαμία δέν ἐπιτύχης ὡς δυσέφικτη, ὁπότε θά ἐκτραπῆς καί χωρίς νά τό καταλάβης θά καταπέσης, διότι θ' ἀκολουθῆς ὄχι τά κατά νόμο οὔτε τά ὑπέρ νόμο, ἀλλά τά παρά νόμο. Ἄν ἐμεῖς τούς εὑρισκομένους σέ χηρεία, ἐφ' ὅσον δέν σωφρονοῦν, τούς θεωροῦμε κατακρίτους, ἐνῶ, καί ἄν συνέλθουν νομίμως σέ δεύτερο γάμο, δέν τούς θεωροῦμε ἐντελῶς ἀμέμπτους (ὁ Παῦλος ἔλεγε ὅτι ἀθέτησαν τήν πρώτη πίστι), πόσο μεγαλυτέρας καταδίκης ἄξιοι εἶναι ἐκεῖνοι πού, ἐνῶ συζοῦν μέ γυναῖκες, δέν ἀπέχουν τῆς πορνείας; Πορνεία, ἡ ὁποία ἐπέφερε τόν παγκόσμιο ἐκεῖνο κατακλυσμό σέ αὐτούς πού ὠνομάσθηκαν ἀρχικῶς υἱοί Θεοῦ καί προεκάλεσε τόν ἀπό τόν οὐρανό ἐμπρησμό στούς Σοδομῖτες καί ἔφερε στούς Ἰσραηλῖτες

7. Ψαλμ. 100,1.

οὐρανόθεν ἐμπρησμὸν καὶ τοῖς Ἰσραηλίταις τὴν ἀπὸ τῶν Μωαβιτῶν ἧτταν καὶ τὸν πολυάνθρωπον ἐκεῖνον φόνον καὶ νῦν ἡμῖν, οἶμαι, τὰς ὑπὸ τῶν ἐθνῶν ἥττας καὶ τὰς πολυειδεῖς ἐσωθέν τε καὶ ἔξωθεν κακώσεις καὶ συμφοράς.

15 Υἱοὺς δὲ Θεοῦ τοὺς ἀπογόνους Ἐνὼς πρώτους ἐκάλεσεν ἡ Γραφή, ὃς πρῶτος ἤλπισεν ἐπικαλεῖσθαι τῷ ὀνόματι Κυρίου. Οὗτος δὲ ἦν υἱὸς Σήθ, οὗ τὸ γένος διΐστατο τοῦ διὰ τὸν Κάϊν ἐπαράτου γένους καὶ διεῖγον ἐν σωφροσύνῃ, καὶ δι' αὐτοὺς ἔτι τότε ἵστατο ὁ κόσμος, ἕως κατὰ τὸ γεγραμμένον ἰδόντες τὰς θυγατέρας τῶν ἀνθρώπων, τουτέστι τὰς ἐκ τοῦ γένους τοῦ Κάϊν, ὅτι καλαὶ καὶ τοῦ πορνικοῦ κάλλους ἡττηθέντες ἔλαβον αὐτοῖς ἀπὸ πασῶν ὧν ἐξελέξαντο καὶ ἔμαθον τὰ ἔργα αὐτῶν καὶ ἐπληθύνθη ἡ κακία ἐπὶ τῆς γῆς καὶ ἦλθεν ὁ κατακλυσμός, καὶ ἦρεν ἅπαντας· καὶ εἰ μὴ Νῶε τότε καὶ οἱ τοῦ Νῶε υἱοὶ σωφρονοῦντες εὑρέθησαν ἐπὶ τῆς γῆς (δῆλον δέ, καὶ γὰρ μιᾶς γυναικὸς ἕκαστος ἦν ἀνήρ, μεθ' ἧς καὶ εἰσῆλθεν εἰς τὴν κιβωτόν), οὐδ' ἂν ὑπελείφθη ῥίζα τις καὶ ἀρχὴ πρὸς δευτέρου κόσμου γένεσιν.

16 Ὁρᾶτε ὅτι διὰ τοὺς πορνεύοντας πάλαι ἂν ἀπώλετο ὁ κόσμος οὗτος, εἰμὴ διὰ τοὺς σωφρονοῦντας ἵστατο; Οἱ δὲ μηδὲ τοῦ παρόντος ἄξιοι κόσμου, ὡς ἀκοσμίαν τοῦτον ἀπεργαζόμενοι, πῶς οὐχὶ καὶ τοῦ μέλλοντος αἰῶνος ἐξωσθήσονται, τῷ πυρὶ τῆς γεέννης παραδοθέντες, ὡς μὴ τῷ πυρὶ τῶν σαρκικῶν ἡδονῶν ἀντισχόντες, εἰ μὴ νῦν διὰ μετανοίας αὐτὸ μὲν ἀποσβέσουσι σπεύσαντες, τοὺς δὲ προγεγονότας ἐντεῦθεν μολυσμοὺς τοῖς δάκρυσιν ἀπονίψονται; Καὶ τοῦτο δὲ

τήν ἦττα ἀπό τούς Μωαβῖτες καί τόν πολυάνθρωπο ἐκεῖνο φόνο, τώρα δέ, νομίζω, φέρει σ' ἐμᾶς τίς ἀπό τά ἀλλόφυλα ἔθνη ἥττες καί τίς πολυειδεῖς ἀπό μέσα καί ἔξω κακώσεις καί συμφορές;

15 Υἱούς δέ Θεοῦ ἐκάλεσε ἡ Γραφή πρώτους τούς ἀπογόνους τοῦ Ἐνώς, ὁ ὁποῖος πρῶτος ἤλπισε ὅτι θά καλῆται μέ τό ὄνομα τοῦ Κυρίου[8]. Ἦταν δέ αὐτός υἱός τοῦ Σήθ, τοῦ ὁποίου τό γένος ἦταν διαφορετικό ἀπό τό καταραμένο γένος τοῦ Κάϊν καί ἐζοῦσε σωφρόνως. Ἐξ αἰτίας αὐτῶν ἐστεκόταν ἀκόμη τότε ὁ κόσμος, ἕως ὅτου κατά τό γεγραμμένο εἶδαν ὅτι οἱ θυγατέρες τῶν ἀνθρώπων, δηλαδή οἱ κόρες ἀπό τήν γενεά τοῦ Κάϊν, ἦσαν ὡραῖες καί γοητευμένοι ἀπό τήν πορνική ὁμορφιά τους ἐπῆραν ὅσες ἐδιάλεξαν ἀπό ὅλες αὐτές καί ἔμαθαν τά ἔργα τους. Τότε αὐξήθηκε ἡ κακία ἐπάνω στήν γῆ, ἦλθε ὁ κατακλυσμός καί τούς ἐξαφάνισε ὅλους· καί ἄν τότε δέν εὑρίσκονταν ἐπάνω στή γῆ σώφρονες, ὁ Νῶε καί οἱ υἱοί τοῦ Νῶε (τοῦτο δέ φανερώνεται ἀπό τό γεγονός ὅτι ὁ καθένας ἦταν σύζυγος μιᾶς γυναικός μέ τήν ὁποία εἰσῆλθε στήν κιβωτό), δέν θά ὑπολειπόταν καμμιά ρίζα καί ἀρχή γιά τή γένεσι δευτέρου κόσμου.

16 Βλέπετε ὅτι ἐξ αἰτίας τῶν πορνευόντων θά καταστρεφόταν παλαιά ὁ κόσμος αὐτός, ἄν δέν διατηρεῖτο ἀπό τούς σωφρονοῦντας; Αὐτοί δέ πού δέν εἶναι ἄξιοι οὔτε τοῦ παρόντος κόσμου, ἀφοῦ τόν μεταβάλλουν σέ ἀκοσμία, πῶς δέν θά ἐξωσθοῦν καί ἀπό τόν μέλλοντα αἰῶνα, παραδιδόμενοι στό πῦρ τῆς γεέννης, διότι δέν ἄνθεξαν στό πῦρ τῶν σαρκικῶν ἡδονῶν, ἄν δέν σπεύσουν τώρα νά τό ἀποσβέσουν διά τῆς μετανοίας καί νά ξεπλύνουν μέ τά δάκρυα τούς ἀπό αὐτό γενομένους ἤδη μολυ-

8. Γεν. 4,26.

μὴ ἀγνοείτωσαν, ὡς ἐὰν μὴ ἀντιστῶσι σπεύσαντες διὰ τῆς μετανοίας τῷ πάθει, χείροσι προϊόντες παραδοθήσονται τοῖς παρὰ φύσιν αἰσχροῖς, ἃ πορνικῆς μέν ἐστιν ἐπιθυμίας γεννήματα, ἕλκει δὲ τῆς γεέννης ἐνταῦθα τὸ πῦρ, ὡς ἐντεῦθεν συναρπᾶσον τοὺς ἀκολάστους εἰς αἰώνιον κόλασιν.

17 Τίς οὐκ οἶδε τοὺς Σοδομίτας καὶ τὴν παρανομωτέραν ἐκείνων πορνείας ἔκκαυσιν καὶ τὸν καινότερον τοῦ πυρὸς ἐπ' αὐτοὺς ὄμβρον καὶ τὴν ἀπώλειαν; Πολλάκις δὲ καὶ σύμπασα πόλις ἑνὸς ἀνδρὸς ἀσελγοῦς ἀπήλαυσεν, ὡς ἐπὶ τῶν Σικήμων ὑπὸ τῶν Ἰακὼβ παίδων ἄρδην ἀφανισθέντων ἐγένετο, τοῦ Συχὲμ τὴν τοῦ Ἰακὼβ θυγατέρα Δείναν ἁρπάσαντος. Ἀλλ' ἵνα τοὺς πρὸ τοῦ νόμου νῦν ἀφῶμεν, αὐτὸς ὁ νόμος, οὐ τὴν νυμφευομένην, μὴ εὑρεθείσης ἐν αὐτῇ παρθενίας, λιθοβολεῖσθαι προστάττει, τὴν δὲ πεπορνευμένην ἱερέως θυγατέρα οὐ πυρὶ κατακαίεσθαι; μίσθωμα δὲ πόρνης οὐκ ἀπαγορεύει τῷ ναῷ Κυρίου προσφέρεσθαι; Τῶν δὲ Ἰσραηλιτῶν πορνικῶς ταῖς Μωαβίτισι συμφθαρέντων ἔργον μαχαίρας ἐν μιᾷ ἡμέρᾳ τρεῖς πρὸς ταῖς εἴκοσι χιλιάδες ἀνδρῶν ἐγένοντο. Διὸ καὶ Παῦλος ὁ μέγας πρὸς ἡμᾶς φησι· «μὴ πορνεύετε, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες». Τοιαῦτα καὶ πρὸ νόμου καὶ ἐν νόμῳ καὶ διὰ νόμου τὰ τῆς πορνείας εἰσὶν ἐπιτίμια.

18 Τί δὲ ἡμεῖς οἱ σταυρῶσαι τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις ἐπιταττόμενοι καὶ πάλιν τοῖς αὐτοῖς περιπίπτοντες, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας; οἱ νεκρῶσαι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς παραινούμενοι, πορνείαν, ἀκαθαρσίαν, πάθος κακὸν καὶ τὴν ἐπιθυμίαν, καὶ τῆς παραινέσεως οὐκ ἐπι-

9. Γεν. 34,1 ἑξ.

σμούς; Ἂς μή ἀγνοοῦν δέ καί τοῦτο, ὅτι ἄν δέν σπεύσουν ν' ἀντισταθοῦν στό πάθος διά τῆς μετανοίας, μέ τόν καιρό θά παραδοθοῦν σέ χειρότερα παρά φύσι πάθη, τά ὁποῖα εἶναι γεννήματα πορνικῆς ἐπιθυμίας, ἑλκύει δέ ἐδῶ τό πῦρ τῆς γεέννης, γιά νά συναρπάση ἀπό ἐδῶ τούς ἀκολάστους σ' αἰώνια κόλασι.

17 Ποιός δέν γνωρίζει τούς Σοδομῖτες καί τήν παρανομωτέρα ἀπό πορνεία ἔξαψί τους καί τήν παραδοξοτέρα βροχή τοῦ πυρός ἐπάνω σ' αὐτούς καί τήν ἀπώλεια; Πολλές φορές μάλιστα ὁλόκληρη πόλις ὑπέστη τίς συνέπειες τῆς διαγωγῆς ἑνός μόνο ἀσελγοῦς ἀνδρός, ὅπως συνέβηκε στήν πόλι τῶν Σικίμων, οἱ ὁποῖοι ἀφανίσθηκαν τελείως ἀπό τά παιδιά τοῦ Ἰακώβ, ἐπειδή ὁ Συχέμ ἅρπαξε τήν θυγατέρα τοῦ Ἰακώβ Δείνα[9]. Ἀλλά γιά ν' ἀφήσωμε τώρα τούς πρό τοῦ νόμου, ὁ ἴδιος ὁ μωσαϊκός νόμος δέν παραγγέλλει νά λιθοβολῆται ἡ νύφη, ἄν δέν εὑρεθῆ παρθένος, ἡ δέ πορνευομένη κόρη ἱερέως νά καίεται στό πῦρ; Δέν ἀπαγορεύει δέ νά προσφέρεται στόν ναό τοῦ Κυρίου ὁ μισθός πόρνης; Ὅταν δέ οἱ Ἰσραηλῖτες συνῆλθαν πορνικῶς μέ τίς Μωαβίτιδες, ἔπεσαν μέ μάχαιρα σέ μιά ἡμέρα εἴκοσι τρεῖς χιλιάδες ἄνδρες. Γι' αὐτό καί ὁ μέγας Παῦλος μᾶς λέγει· «μή πορνεύετε, ὅπως ἐπόρνευσαν μερικοί ἀπό αὐτούς καί ἔπεσαν σέ μιά ἡμέρα εἴκοσι τρεῖς χιλιάδες»[10]. Τέτοια εἶναι τά ἐπιτίμια τῆς πορνείας καί πρό τοῦ μωσαϊκοῦ νόμου καί στό νόμο καί διά τοῦ νόμου.

18 Τί πρέπει λοιπόν νά αἰσθανώμαστε ἐμεῖς πού, ἐνῶ ἔχομε διαταχθῆ νά σταυρώσωμε τή σάρκα μαζί μέ τίς ἐπιθυμίες, περιπίπτομε πάλι στά ἴδια, ἐξ αἰτίας τῶν ὁποίων ἔρχεται ἡ ὀργή τοῦ Θεοῦ πρός τούς υἱούς τῆς ἀπειθείας; πού, ἐνῶ διαταχθήκαμε νά νεκρώσωμε τά μέλη τά ἐπί τῆς γῆς, πορνεία, ἀκαθαρσία, πάθος

10. Α΄ Κορ. 10,8.

στρεφόμενοι; Οὐ φοβηθησόμεθα ὀψέποτε γοῦν εἰ μηδὲν ἄλλο, τὰς γοῦν θεομηνίας, τὰς κάτωθεν, τὰς ἄνωθεν, τὰς ἐκβάσας, τὰς ἠπειλημένας ἐκείνας καὶ αἰωνίους; οὐκ αἰδεσθησόμεθα τὴν διὰ σαρκὸς ἐπιφάνειαν τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ, καὶ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν; Οὐ φρίξομεν τὰς ἀποστολικὰς ἐπεξελεύσεις καὶ ἀποφάσεις καὶ παραινέσεις, «οὐκ οἴδατε», λέγοντος, «ὅτι ναός ἐστε Θεοῦ, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός». Καὶ πάλιν, «φανερά ἐστι τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστι πορνεία, ἀκαθαρσία, ἀσέλγεια καὶ τὰ ἑξῆς, ἃ προλέγω ὑμῖν, καθὼς ἤδη καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι». Καὶ πάλιν, «τοῦτό ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ». Καὶ πάλιν, «τοῦτό ἐστι τὸ θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμὸς ἡμῶν, ἀπέχεσθαι ἡμᾶς ἀπὸ τῆς πορνείας· οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐπὶ ἁγιασμῷ· τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν δόντα τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ εἰς ἡμᾶς».

19 Καὶ τίς ἂν ἑξῆς καταλέξῃ τὰς εἰς τοῦτο πάσας τῶν τε Ἀποστόλων καὶ τῶν προφητῶν φωνάς; Τοῖς μέν τοι σωφρονοῦσι καὶ διὰ τοῦτο τελοῦσιν εἰς τὰ μέλη τοῦ Χριστοῦ τί παραγγέλει ὁ ἀπόστολος; «Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ, μὴ συναναμίγνυσθαι πόρνοις». Ἐπειδὴ γὰρ ἐκεῖνοι παρ' ἑαυτῶν οὐκ ἐντρέπονται, παραινεῖ τοῖς ἄλλοις ἐκτρέπεσθαι καὶ ἐντρέπειν αὐτούς, λέγων πρὸς αὐτούς, «ἐάν τις

11. Κολ. 3,5.
12. Α' Κορ. 3,16.
13. Γαλ.5,19.

κακό καί τήν ἐπιθυμία, δέν ἐφαρμόζομε τήν παραίνεσι[11]; Δέν θά φοβηθοῦμε λοιπόν κάποτε, ἄν ὄχι τίποτε ἄλλο, τουλάχιστο τίς θεομηνίες, τίς ἀπό κάτω, τίς ἀπό ἐπάνω, τίς περασμένες, τίς μελλοντικές ἐκεῖνες καί αἰώνιες πού μᾶς ἀπειλοῦν; Δέν θά σεβασθοῦμε τήν κατά σάρκα ἐπιφάνεια τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ, ὥστε νά περιπατήσωμε προσεκτικά σάν σέ ἡμέρα; Δέν θά φρίξωμε τίς ἀποστολικές προειδοποιήσεις καί ἀποφάσεις καί παραινέσεις, πού λέγουν, «δέν γνωρίζετε ὅτι εἶσθε ναοί Θεοῦ καί μέσα σας κατοικεῖ τό Πνεῦμα τοῦ Θεοῦ; Ὅποιος φθείρει τό ναό τοῦ Θεοῦ, θά τόν φθείρη ὁ Θεός»[12]· καί πάλι, «φανερά εἶναι τά ἔργα τῆς σαρκός, πού εἶναι πορνεία, ἀκαθαρσία, ἀσέλγεια καί τά ὅμοια, γιά τά ὁποῖα προλέγω, ὅπως καί ἤδη προεῖπα, ὅτι ὅσοι πράττουν τέτοια δέν θά κληρονομήσουν τή βασιλεία τοῦ Θεοῦ»[13]· καί πάλι, «τοῦτο νά γνωρίζετε, ὅτι κάθε πόρνος ἤ ἀκάθαρτος ἤ πλεονέκτης, δηλαδή εἰδωλολάτρης, δέν ἔχει κληρονομία στή βασιλεία τοῦ Χριστοῦ καί Θεοῦ»[14]· καί πάλι, «τοῦτο εἶναι τό θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμός μας, ἡ ἀποχή ἀπό τήν πορνεία· διότι δέν μᾶς ἐκάλεσε ὁ Θεός γιά ἀκαθαρσία, ἀλλά γιά ἁγιασμό· ἐπομένως ὅποιος τό ἀθετεῖ, δέν ἀθετεῖ ἄνθρωπο, ἀλλά τόν Θεό πού δίδει τό ἅγιο Πνεῦμα του σ' ἐμᾶς»[15].

19 Ποιός θά μποροῦσε νά συλλέξη ὅλες τίς παραγγελίες τῶν Ἀποστόλων καί τῶν προφητῶν γιά τό θέμα τοῦτο; Σ' αὐτούς ἀκριβῶς πού σωφρονοῦν καί γι' αὐτό εὑρίσκονται ἀνάμεσα στά μέλη τοῦ Χριστοῦ, τί παραγγέλλει ὁ ἀπόστολος; «Σᾶς ἔγραψα στήν ἐπιστολή, μή συναναστρέφεσθε πόρνους»[16]. Πραγματικά ἐπειδή ἐκεῖνοι δέν ἐντρέπονται οἱ ἴδιοι, συμβουλεύει τούς ἄλ-

14. Ἐφ. 5,5.
15. Α΄ Θεσσ. 4,3.
16. Α΄ Κορ. 5,9.

ἀδελφὸς ὀνομαζόμενος ἢ πόρνος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν». Ὁρᾷς ὅτι κοινὸν μόλυσμά ἐστι τῆς Ἐκκλησίας ὁ πορνείᾳ ἐγκαλινδούμενος καὶ διὰ τοῦτο δεῖ πάντας τοῦτον ἀποτροπιάζεσθαι καὶ ἐξελαύνειν; Αὐτὸς δὲ ὁ Παῦλος καὶ τῷ Σατανᾷ παρέδωκε τὸν ἐν Κορίνθῳ πορνεύσαντα καὶ οὐκ ἐκύρωσε πρὸς αὐτὸν ἀγάπην, οὐδὲ προσελάβετο τοῦτον, μέχρις ὅτου τὴν μετάνοιαν ἱκανῶς ἐπεδείξατο.

20 Σώζων σῶζε τὴν σεαυτοῦ ψυχὴν ἀπὸ τῶν τοσούτων κακῶν, ὦ ἄνθρωπε, τῶν μὲν παρόντων, τῶν δὲ μελλόντων, καὶ τούτων διττῶν ἔν τε τῷ μέλλοντι κάν τῷ παρόντι αἰῶνι. Τὸ γὰρ Ἡσαῦ γένος ἀπόβλητον, ἐπειδὴ πόρνος καὶ βέβηλος ἐκεῖνος ἦν, καὶ ὁ Ροβοὰμ ἀφαιρεῖται τῆς βασιλείας τὸ πλεῖστον, ἐπεὶ γυναικομανὴς εἴπέρ τις ὁ τοῦτον γεννήσας Σολομὼν ἀπεβίω μὴ τοῦτο παθὼν αὐτὸς διὰ τὸν Δαβίδ, ὃς καὶ τὸ προστριβὲν ἅπαξ ἄγος δακρύων λιβάσι καὶ τοῖς ἄλλοις τῆς μετανοίας ἔργοις διαρκῶς ἀπετρίψατο.

21 Φεύγετε τὴν πορνείαν, ἀδελφοί, πάλιν ὁ ἀπόστολος ἐγκελεύεται. Εἰ Σαμψὼν ταύτην ἔφευγεν, οὐκ ἂν τῆς Δαλιδᾶς ταῖς χερσὶ κρατηθεὶς μετὰ τῆς ἐν τῇ κεφαλῇ τριχὸς καὶ τὴν ἰσχὺν ἀφῃρέθη, οὐκ ἂν ἐξεκόπη τοὺς ὀφθαλμούς, οὐκ ἂν τοῖς ἀλλοφύλοις κακῶς τὸ ζῆν συναπέρρηξεν. Εἰ ταύτην ἔφευγον οἱ ὑπὸ Μωσέως στρατηγοῦντος καὶ νομοθετοῦντος ἀγόμενοι, οὐκ ἂν ἔθυσαν τῷ Βεελφεγώρ, οὐδ' ἂν ἔφαγον θυσίας νεκρῶν, οὐδ' ἂν ἔπεσον ὅσον πεπτώκασιν. Εἰ ταύτην

17. Α' Κορ. 5,11.

λους νά τούς ἀποφεύγουν καί νά τούς ἐντροπιάζουν, λέγοντας πρός αὐτούς, «ἐάν κάποιος κατ' ὄνομα ἀδελφός εἶναι πόρνος, μέ αὐτόν οὔτε νά συντρώγετε»[17]. Βλέπεις ὅτι ὅποιος κυλίεται στήν πορνεία εἶναι κοινό μόλυσμα τῆς Ἐκκλησίας, καί γι' αὐτό πρέπει ὅλοι νά τόν ἀποφεύγουν καί νά τόν ἀπομακρύνουν; Ὁ ἴδιος δέ ὁ Παῦλος παρέδωσε στόν Σατανᾶ τόν πορνεύοντα στήν Κόρινθο καί δέν συνέστησε πρός αὐτόν ἀγάπη οὔτε τόν προσέλαβε, ἕως ὅτου ἐπέδειξε τήν μετάνοια ἱκανοποιητικῶς.

20 Σῶζε ὁπωσδήποτε τήν ψυχή σου ἀπό τά τόσα κακά, ὦ ἄνθρωπε, τῶν παρόντων καί τῶν μελλόντων, τῶν τελευταίων διττῶν μάλιστα, καί στόν μέλλοντα καί στόν παρόντα αἰῶνα. Τό γένος τοῦ Ἡσαῦ ἦταν ἀπόβλητο, διότι ἐκεῖνος ἦταν πόρνος καί βέβηλος, καί ὁ Ροβοάμ ἔχασε τό μεγαλύτερο μέρος τῆς βασιλείας, ἐπειδή ὁ πατέρας του Σολομών, γυναικομανής περισσότερο ἀπό κάθε ἄλλον, ἐπέθανε χωρίς νά πάθη τοῦτο ὁ ἴδιος λόγω τοῦ Δαβίδ, ὁ ὁποῖος τό προσαφθέν κάποτε σέ βάρος του ἅγος ἐκαθάρισε μέ ροές δακρύων καί μέ τά ἄλλα ἔργα τῆς μετανοίας.

21 Ἀποφεύγετε τήν πορνεία, ἀδελφοί, παραγγέλλει πάλι ὁ ἀπόστολος[18]. Ἄν τήν ἀπέφευγε ὁ Σαμψών, δέν θά ἔπιπτε στά χέρια τῆς Δαλιδᾶς, ὥστε μαζί μέ τά μαλλιά του νά χάση καί τήν δύναμί του, δέν θά ἐτυφλωνόταν, δέν θά ἔχανε ἀδόξως τή ζωή του μαζί μέ τούς ἀλλοφύλους. Ἄν τήν ἀπέφευγαν οἱ ὁδηγούμενοι ἀπό τόν Μωϋσῆ ὡς στρατηγό καί νομοθέτη Ἰουδαῖοι δέν θά ἐθυσίαζαν στόν Βεελφεγώρ, δέν θά ἔτρωγαν θυσίες, δέν θά ἔπιπταν ὅσο ἔπεσαν. Ἄν τήν ἀπέφευγε ὁ Σολομών, δέν θ' ἀπομα-

18. Α΄ Κορ. 6,18.

ἔφευγε Σολομών, οὐκ ἂν ἀπέστη ἀπὸ Θεοῦ τοῦ βασιλεύσαντος αὐτὸν καὶ σοφίσαντος, οὐδ' ἂν εἰδώλοις ναοὺς ἀνήγειρεν.

22 Ὁρᾶτε ὅτι καὶ πρὸς ἀσέβειαν ἐκφέρει τὸ τῆς πορνείας πάθος τὸν ἄνθρωπον; Οὐδὲ τοὺς ἐν Βαβυλῶνι πρεσβυτέρους κριτὰς τὸ τῆς Σωσάννης κάλλος ἐξαπατῆσαν, ἐθριάμβευσεν ὕστερον καὶ ταῖς τῶν λίθων συνεκάλυψε βολαῖς, εἰ τὸ μύσος πόρρωθεν ἔφευγον καὶ μὴ καθ' ἑκάστην ταύτην ἀκολάστως παρετήρουν πρότερον. Οὐδ' Ὀλοφέρνης ἐκτραχηλισθεὶς ἄθλιος ἔκειτο, εἰ μὴ πρότερον τὸ σανδάλιον Ἰουδίθ, κατὰ τὸ γεγραμμένον, ἥρπασεν ὀφθαλμὸν αὐτοῦ καὶ τὸ κάλλος αὐτῆς ἠχμαλώτευσε ψυχὴν αὐτοῦ. Διὰ τοῦτο Ἰὼβ φησι· «Διαθήκην διεθέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ συνήσω ἐπὶ παρθένον»· πόσῳ μᾶλλον ἐπὶ ἄσεμνον γύναιον ἀπολελυμένον ἢ συνημμένον.

23 Ἡ μονίαν ἄσκει, ὦ οὗτος, θεοφιλῆ, ἢ συζυγίαν θεόσδοτον. Πίνε ὕδατα ἀπὸ σῶν φρεάτων, οἰκειότερον δὲ νῦν εἰπεῖν, ἀπὸ σοῦ μόνου φρέατος, καὶ τοῦτο σωφρονικῶς, ἀπέχου δὲ παντελῶς νόθου πόματος· στυγός ἐστι ὕδωρ, ποταμοῦ τυγχάνει ῥεῖθρον Ἀχέροντος, ἰοῦ θανατηφόρου γέμει, δηλητηρίου δύναμιν κέκτηται· εἰς γὰρ πέταυρον ᾅδου, μᾶλλον δὲ τοὺς μυχοὺς αὐτοὺς τοὺς πιόντας κατασπᾶν πέφυκε. Φεῦγε τὸ ἀπὸ χειλέων πορνικῶν μέλι· σεσοφισμένον γάρ ἐστι θάνατον πορνικὸν ἐπαλεῖφον, ὅς ἐστιν ὁ ἀπὸ τοῦ Θεοῦ χωρισμός· πρὸς ὃν φησι ὁ Δαβίδ· «ἐξολόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ».

24 Ἀνάγκη γοῦν καθαρεύειν ἢ γοῦν καθαίρεσθαι, καὶ οὕτως ἀμίαντον μένειν διηνεκῶς ταῖς ἐνδεδομέναις ἡδοναῖς ἀρκούμενον, οὗ τὸ σῶμα ναὸς Θεοῦ διὰ τοῦ Πνεύματος γέγονε καὶ τὸ Πνεῦμα τοῦ

19. Ἰὼβ 31,1.

κρυνόταν ἀπό τόν Θεό πού τόν κατέστησε βασιλέα καί σοφό οὔτε θά ἀνήγειρε ναούς στά εἴδωλα.

22 Βλέπετε ὅτι τό πάθος τῆς πορνείας ὠθεῖ τόν ἄνθρωπο καί πρός ἀσέβεια; Οὔτε τό κάλλος τῆς Σωσάννης, πού ἐξαπάτησε στή Βαβυλῶνα τούς πρεσβυτέρους, θά ἐθριάμβευε ἔπειτα καί θά συνεκάλυπτε τόν λιθοβολισμό, ἄν αὐτοί ἀπέφευγαν ἀπό τήν ἀρχή τό βδέλυγμα καί δέν τήν παρατηροῦσαν κάθε μέρα ἀκολάστως πρωτύτερα. Οὔτε ὁ Ὀλοφέρνης θά ἐκοιτόταν μέ κομμένον τόν λαιμό ὁ ἄθλιος, ἄν προηγουμένως, ὅπως ἔχει γραφῆ, δέν εἵλκυε τόν ὀφθαλμό του τό σανδάλιο τῆς Ἰουδίθ καί δέν αἰχμαλώτιζε τήν ψυχή του ἡ ὁμορφιά της. Γι' αὐτό λέγει ὁ Ἰώβ· «ἔβαλα κανόνα στούς ὀφθαλμούς μου, καί δέν θά προσέξω παρθένο»[19], πόσο μᾶλλον ἄσεμνο γύναιο, ἄγαμο ἤ ἔγγαμο.

23 Ἡ ἀγαμία θεοφιλῆ νά τηρῆς, ἀγαπητέ, ἡ συζυγία θεόδοτη. Πίνε ὕδατα ἀπό τά πηγάδια σου, κι' αὐτό μέ σωφροσύνη, ἄπεχε δέ τελείως ἀπό νοθευμένο ποτό, διότι εἶναι ὕδωρ Στυγός, ρεῦμα τοῦ ποταμοῦ Ἀχέροντος, εἶναι γεμᾶτο θανατηφόρο ἰό, ἔχει τή δύναμι δηλητηρίου· διότι ἔχει τήν ἰδιότητα νά ρίπτη ὅσους πίνουν στήν καταπακτή τοῦ Ἅδη ἤ μᾶλλον στούς ἴδιους τούς μυχούς τοῦ Ἅδη. Ἀπόφευγε τό μέλι ἀπό πορνικά χείλη, διότι ἔχουν τήν ἰδιότητα νά ἐπαλείφουν πορνικό θάνατο, πού εἶναι ὁ χωρισμός ἀπό τό Θεό. Πρός αὐτόν λέγει ὁ Δαβίδ, «ἐξωλόθρευσε ὅλους ὅσοι πορνεύουν»[20].

24 Εἶναι λοιπόν ἀνάγκη νά καθαρεύη ἤ νά καθαίρεται κι' ἔτσι νά μένη διαρκῶς ἀμίαντος, ἀρκούμενος στίς ἐπιτρεπτόμενες ἡδονές, αὐτός τοῦ ὁποίου τό σῶμα ἔγινε ναός τοῦ Θεοῦ διά τοῦ

20. Ψαλμ. 72,27.

Θεοῦ οἰκεῖ ἐν αὐτῷ καὶ πρὸς κτῆσιν μὲν ἁγνείας καὶ σωφροσύνης σπεύδειν, πορνείας δὲ καὶ πάσης ἀκαθαρσίας ἀποφυγήν, ἵνα τῷ ἀφθάρτῳ νυμφίῳ ἐν ταῖς ἀκηράτοις παστάσι συνδιαιωνίζωμεν πάντες συνευφραινόμενοι, πρεσβείαις τῆς ἐν παρθενίᾳ τεκούσης αὐτὸν εἰς ἡμῶν σωτηρίαν, ἀειπαρθένου καὶ παναμώμου καὶ ὑπερδεδοξασμένης Μητρός· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πνεύματος καί τό Πνεῦμα τοῦ Θεοῦ κατοικεῖ σ' αὐτό, νά σπεύδη πρός ἀπόκτησι ἁγνείας καί σωφροσύνης καί πρός ἀποφυγή πορνείας καί κάθε ἀκαθαρσίας, γιά νά παραμείνωμε αἰωνίως εὐφραινόμενοι μαζί μέ τόν ἄφθαρτο νυμφίο στίς ἁγνές παστάδες, μέ τίς πρεσβεῖες τῆς ἀειπαρθένου καί παναμώμου καί ὑπερδοξασμένης Μητέρας πού τόν ἐγέννησε παρθενικῶς γιά τήν σωτηρία μας· τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Γένοιτο.



ΠΡΟΤΡΕΠΤΙΚΗ ΠΡΟΣ ΝΗΣΤΕΙΑΝ

Ἐν ᾗ καὶ περὶ τῆς τοῦ κόσμου γενέσεως
ὡς ἐν ἐπιτόμῳ

ΟΜΙΛΙΑ ΣΤ'

ΠΡΟΤΡΕΠΤΙΚΗ ΠΡΟΣ ΝΗΣΤΕΙΑΝ

Ἐν ᾗ καὶ περὶ τῆς τοῦ κόσμου γενέσεως
ὡς ἐν ἐπιτόμῳ

1 ὀλύς ἐστιν εἰς κακίαν εὐμήχανός τε καὶ πολυτροπώτατος, μᾶλλον δὲ παμμήχανος ὁ νοητὸς καὶ ἀρχέκακος ὄφις. Ἔχει δι' ὧν ἀρχομένην ἐμποδίζει τὴν πρόθεσιν ἡμῶν καὶ τὴν πρᾶξιν τὴν ἀγαθήν· ἂν δὲ μὴ δυνηθῇ τὴν ἀρχὴν ἐμποδίσαι ταύτην, ἄλλας ἐπίσταται μηχανάς, δι' ὧν ἀχρειοῖ ταύτην ἐνεργουμένην· ἂν δὲ μηδὲ τελουμένην ἀχρειῶσαι ταύτην περὶ τὰ μέσα που δυνηθῇ, πάλιν ἕτερα σοφίσματα καὶ τρόπους ἑτέρους οἶδε, δι' ὧν καὶ τελειωθεῖσαν ἐκκενοῖ ταύτην καὶ ἀκερδῆ καθίστησι, μᾶλλον δὲ ἐπιζήμιον τοῖς μὴ πάνυ προσέχουσι. Καὶ πρῶτον μὲν τὸ ἐπίπονον καὶ δυσκατόρ-

ΟΜΙΛΙΑ 6

ΠΡΟΤΡΕΠΤΙΚΗ ΠΡΟΣ ΤΗ ΝΗΣΤΕΙΑ

Ὅπου γίνεται σύντομος λόγος καί περί τῆς γενέσεως τοῦ κόσμου

1 Πολυμήχανος καί πολυτροπώτατος γιά τήν κακία, μᾶλλον δέ παμμήχανος εἶναι ὁ νοητός ὄφις, ὁ πρωταίτιος τοῦ κακοῦ. Ἔχει τά μέσα νά ἐμποδίση τήν ἀγαθή πρόθεσί μας καί πρᾶξι, μόλις ἀρχίζει. Κι' ἄν δέν μπορέση νά τήν ἐμποδίση στήν ἀρχή, γνωρίζει ἄλλες μηχανές, μέ τίς ὁποῖες τήν ἀχρηστεύει ὅταν εὑρίσκεται σ' ἐνέργεια· κι' ἄν δέν μπορέση νά τήν ἀχρηστεύση, ὅταν τελῆται κάπου στή μέση, πάλι γνωρίζει ἄλλα σοφίσματα καί ἄλλους τρόπους γιά νά τήν ἀφανίση ὅταν τελειωθῆ καί νά τήν καταστήση ἀνωφελῆ, μᾶλλον δέ

θωτον τῆς ἀρετῆς ὑποδείκνυσι, καὶ ραθυμίαν ἐντεῦθεν ἡμῖν ἐμποιεῖ καὶ ἀνελπιστίαν, ὡς δυσκόλοις καὶ ἀδυνάτοις ἐπιχειροῦσι, διὸ μηδὲ δυνησομένοις εἰς ἔργον ἐνεγκεῖν τὴν πρόθεσιν· ἔτι δὲ καὶ ἀπιστίαν ἐντίκτει τῶν ἐπηγγελμένων παρὰ Θεοῦ τοῖς ἀγωνιζομένοις βραβείων.

2 *Ἀλλ' ἡμεῖς, ἀδελφοί, διὰ τῆς κατὰ ψυχὴν ἀνδρείας καὶ προθυμίας καὶ πίστεως, τῆς παγίδος ταύτης ὑπεραρθῶμεν, ἐπὶ νοῦν λαβόντες ὡς οὔτε γῆ χωρὶς καμάτων εὐχρήστους ἀναδίδωσι τοὺς καρποὺς οὔτε ψυχὴ χωρὶς ἀγώνων πνευματικῶν θεοφιλές τι καὶ σωτήριον κτήσεται. Καὶ γῆν μὲν οὐκ ἐπιτηδείαν πρὸς γεωργίαν ἔστιν εὑρεῖν· ψυχὴ δὲ λογικὴ πᾶσα πρὸς ἀρετήν ἐστιν εὐφυής. Ἐπεὶ δὲ καὶ διὰ τὴν προγονικὴν καταδίκην πόνῳ καὶ μόχθῳ ζῆν κατεκρίθημεν καὶ τοῦτο διαφυγεῖν οὐκ ἔνι, ποιήσωμεν τὴν ἀνάγκην φιλοτιμίαν, τὸ ἀκουσίως προσὸν ὡς ἑκούσιον τῷ Θεῷ προσενέγκωμεν, ἀντιδῶμεν τῶν μονίμων τὰ πρόσκαιρα καὶ τῶν δεινῶν ἀντιληψόμεθα τὰ χρηστότατα, πορισμὸν αἰωνίου ἀνέσεως τὸν πρόσκαιρον πόνον ἀπεργαζόμενοι· ὑπὲρ ἀρετῆς γὰρ ἐνταῦθα πονοῦντες τῆς ἐπηγγελμένης ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἀναπαύσεως πάντως ἐπιτευξόμεθα. Καὶ γὰρ πιστὸς ὁ ἐπαγγειλάμενος, ὃς καὶ βοηθός ἐστιν ἕτοιμος τοῖς ὑπελθοῦσιν ἑτοίμως τὸν ἀγῶνα τῆς ἀρετῆς· τούτου δὲ βοηθοῦντος τοῦ τὰ πάντα ἰσχύοντος, τί τῶν ἁπάντων οὐκ ἀνύσιμον ἔσται;*

3 *Ἀλλ' ὅταν, ταῦτα ἐνθυμηθέντες, προθύμως ἐπιβαλλώμεθα τοῖς ἔργοις τῆς ἀρετῆς, εἰδὼς ἐκεῖνος ὁ πονηρὸς ὅτι τὸ καλὸν οὐ καλόν, ὅταν μὴ καλῶς γένηται, σπουδάζει πείθειν ἡμᾶς μὴ κατὰ θεά-*

1. Ἡ ἐπίδοσις στὴν ἀρετὴ εἶναι δῶρο τοῦ Θεοῦ.

καί ἐπιζημία γιά ὅσους δέν προσέχουν πολύ. Καί πρῶτα μέν ὑποδεικνύει τό ἐπίπονο καί δυσκατόρθωτο τῆς ἀρετῆς, ὥστε μέ αὐτό νά μᾶς ἐμβάλη ραθυμία καί ἀνελπισία, μέ τήν σκέψι ὅτι ἐπιχειροῦμε δύσκολα καί ἀδύνατα, κι' ἔτσι ὅτι δέν θά μπορέσωμε νά φέρωμε σέ ἔργο τήν πρόθεσι· προσέτι δέ γεννᾶ στούς ἀγωνιζομένους καί ἀπιστία στά ὑπεσχημένα ἀπό τόν Θεό βραβεῖα.

2 Ἀλλά ἐμεῖς, ἀδελφοί, πρέπει νά ὑπερπηδήσωμε αὐτήν τήν παγίδα μέ τήν ψυχική ἀνδρεία, τήν προθυμία καί τήν πίστι, λαμβάνοντας ὑπ' ὄψι ὅτι οὔτε γῆ ἀποδίδει χρησίμους καρπούς χωρίς κόπους οὔτε ἡ ψυχή θ' ἀποκτήση τίποτε θεοφιλές καί σωτήριο χωρίς πνευματικούς ἀγῶνες. Καί γῆ μέν ἀκατάλληλη γιά καλλιέργεια μπορεῖς νά εὕρης, ἐνῶ κάθε λογική ψυχή εἶναι ἐπιδεκτική ἀρετῆς. Ἐπειδή δέ ἐξ αἰτίας τῆς προγονικῆς ἐνοχῆς κατακριθήκαμε νά ζοῦμε μέ κόπο καί μόχθο, καί δέν εἶναι δυνατό νά τό ἀποφύγωμε αὐτό, ἄς κάμωμε τήν ἀνάγκη φιλοτιμία· τό ἀκουσίως προσόν[1] ἄς τό προσφέρωμε στόν Θεό ὡς ἑκούσιο, ἄς δώσωμε ἀντί τῶν μονίμων τά πρόσκαιρα καί ἄς λάβωμε ἀντί τῶν δεινῶν τά χρηστά, καθιστῶντας τόν πρόσκαιρο κόπο μέσο πορισμοῦ αἰωνίας ἀνέσεως. Διότι κοπιάζοντας ἐδῶ γιά τήν ἀρετή ἀσφαλῶς θά ἐπιτύχωμε τήν ἀναψυχή πού μᾶς ἔχει ἐπαγγελθῆ γιά τόν μέλλοντα αἰῶνα. Εἶναι βεβαίως ἀξιόπιστος αὐτός πού ἐπαγγέλθηκε, πού εἶναι ἐπίσης βοηθός ἕτοιμος σέ ὅσους ἐξεκίνησαν ἕτοιμοι τόν ἀγῶνα τῆς ἀρετῆς. Ὅταν δέ βοηθῆ αὐτός, πού μπορεῖ τά πάντα, ποιό πρᾶγμα θά εἶναι ἀκατόρθωτο;

3 Ἀλλά ὅταν, ἐνθυμούμενοι αὐτά, ἀναλάβωμε προθύμως τά ἔργα τῆς ἀρετῆς, γνωρίζοντας ἐκεῖνος ὁ πονηρός ὅτι τό καλό δέν εἶναι καλό, ἄν δέν γίνη καλῶς, προσπαθεῖ νά μᾶς πείση νά

ρεστον σκοπὸν ἐκτελεῖν τὴν τοῦ καλοῦ ἐργασίαν, μηδὲ πρὸς τὸν ἐκ τοῦ Θεοῦ ἔπαινον, ἀλλὰ πρὸς τὸν ἐξ ἀνθρώπων ὁρᾶν, ἵνα καὶ οὕτω τῆς παρὰ Θεοῦ μισθαποδοσίας καὶ τῶν πνευματικῶν καὶ οὐρανίων ἀποστερήσῃ γερῶν. Ἡμεῖς δὲ καὶ ταύτην αὐτοῦ τὴν σπουδὴν ἄπρακτον ἀποδείξωμεν, τῶν τε ἀποκειμένων τοῖς θεαρέστως ζῶσιν ἀμοιβῶν τὸ μέγεθος καὶ τὸ τῆς ἀνθρωπαρεσκείας οὐτιδανὸν λογισάμενοι, μὴ μόνον πρὸς ἐκεῖνο τὸ μέλλον τῆς θείας δόξης μέγεθος συγκρινόμενον, ἀλλ' οὐδὲ πρὸς κάκωσιν καὶ τῆξιν σαρκὸς ἀξιόλογον ὄν.

4 *Ἀλλὰ καὶ μετὰ τὴν κατ' αὐτοῦ ταύτην νίκην ὁ ἀρχέκακος ἐκεῖνος ἡμῖν ὑπορύττει τὴν ὑπερηφανίαν, οἷόν τι τελευταῖον καὶ πονηρότατον βάραθρον, οἰήσεως λογισμοὺς ὑποβάλλων καὶ μεγαλαυχεῖν ἡμᾶς πείθων, ὡς οἰκείᾳ δυνάμει καὶ περινοίᾳ τὴν ἀρετὴν κατορθώσαντας. Ἀλλ' ἡμεῖς ἐπιμνησθῶμεν τῆς αὐτοαληθείας λεγούσης, ὅτι «χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν»· καὶ οὕτως ἀποκρουώμεθα τὰς τοῦ πονηροῦ πολυειδεῖς μηχανάς, καὶ ἐργαζόμενοι καὶ καλῶς ἐργαζόμενοι τὸ καλόν, καὶ σὺν ταπεινώσει τῇ προσηκούσῃ γινώσκοντες ὅτι, καθάπερ εἴ τις ἐν ἀγγείῳ μῦρον πολύτιμον κεκτημένος, κἂν αὐτὸ χέῃ ἐπὶ τῆς κόπρου κἂν τὴν κόπρον βάλλῃ εἰς τὸ ἀγγεῖον, ὁμοίως τὸ μῦρον ἠχρείωσε καὶ ἀπώλεσεν, οὕτω καὶ τὴν ἀρετὴν κἂν ἀπώσηταί τις καὶ ἀφ' ἑαυτοῦ ἀπορρίψῃ διὰ τῆς ἀπραξίας κᾶς ἀπραξίας κἂν ἀναμίξῃ τῇ πράξει ταύτης τὴν πονηρίαν, ἑκατέρωθεν ὁμοίως ἀχρειοῖ καὶ ἀπόλλυσι.*

5 *Καὶ ταῦτα νῦν λέγω πρὸς τὴν ὑμετέραν ἀγάπην διὰ τὸν τῆς*

---

2. Ἰω. 15,5.

μή ἐκτελοῦμε κατά θεάρεστο τρόπο τήν ἐργασία τοῦ καλοῦ οὔτε πρός τόν ἔπαινο ἐκ μέρους τοῦ Θεοῦ, ἀλλά πρός τόν ἐκ μέρους τῶν ἀνθρώπων, γιά νά μᾶς ἀποστερήση κι' ἔτσι τήν μισθαποδοσία ἀπό τόν Θεό καί τά πνευματικά καί οὐράνια. Ἐμεῖς δέ ἄς ἀποδείξωμε κι' αὐτήν τήν προσπάθειά του ἄπρακτη ὑπολογίζοντας ἀφ' ἑνός μέν τό μέγεθος τῶν ἀμοιβῶν πού περιμένουν τούς θεαρέστους ζῶντας, ἀφ' ἑτέρου δέ τήν μηδαμινότητα τῆς ἀνθρωπαρεσκείας, ἡ ὁποία δέν εἶναι ἀξιόλογη ὄχι μόνο σέ σύγκρισι πρός ἐκεῖνο τό μελλοντικό μέγεθος τῆς θείας δόξας, ἀλλ' οὔτε γιά τήν κάκωσι καί τήν τῆξι τῆς σαρκός.

4 Ἀλλά καί μετά τήν ἐναντίον του αὐτή νίκη ὁ ἀρχέκακος ἐκεῖνος ὄφις μᾶς προκαλεῖ ὑπούλως τήν ὑπερηφάνεια, σάν τελευταῖο καί πονηρότατο βάραθρο, ὑποβάλλοντάς μας λογισμούς ὑπεροψίας καί πείθοντάς μας νά καυχώμαστε ὅτι τάχα κατακτήσαμε τήν ἀρετή μέ τήν δική μας δύναμι καί σύνεσι. Ἀλλά ἐμεῖς ἄς ἐνθυμηθοῦμε τήν αὐτοαλήθεια πού λέγει ὅτι «χωρίς ἐμένα δέν μπορεῖτε νά κάμετε τίποτε»[2]· καί ἔτσι ἄς ἀποκρούωμε τίς πολυειδεῖς μηχανές τοῦ πονηροῦ, ἐκτελώντας καί μάλιστα ἐκτελώντας καλῶς τό καλό καί μέ τήν ἁρμόζουσα ταπείνωσι γνωρίζοντας ὅτι, ὅπως, ὅταν κάποιος ἔχη σέ ἀγγεῖο πολύτιμο μῦρο, εἴτε σέ κόπρο τό χύση εἴτε τήν κόπρο βάλη στό ἀγγεῖο, ὁμοίως ἀχρειώνει καί καταστρέφει τό μῦρο, ἔτσι καί τήν ἀρετή, εἴτε τήν ἀπωθήση κανείς καί τήν ἀπορρίψη ἀπό τόν ἑαυτό του μέ τήν ἀπραξία εἴτε ἀναμίξη μέ τήν ἐκτέλεσί της τήν πονηρία, καί μέ τούς δύο τρόπους τήν ἀχρειώνει καί τήν καταστρέφει ὁμοίως.

5 Κι' αὐτά τά λέγω τώρα πρός τήν ἀγάπη σας μέ τήν εὐκαιρία

νηστείας καιρόν, ἵνα τοῦτον ἄμικτον πάσης κακίας ἑαυτοῖς συντηρήσωμεν· καὶ γὰρ τὸν ἐν τῷ εὐαγγελίῳ Φαρισαῖον ἐκεῖνον, καίτοι νηστεύοντα δὶς τοῦ σαββάτου τὸν ἅπαντα χρόνον, οὐδὲν ὠφέλησεν ἡ νηστεία· μεμιγμένην γὰρ εἶχε ταύτῃ τὴν ὑπερηφανίαν καὶ τὴν πρὸς τὸν πλησίον κατάκρισιν. Οὐ μὴν διὰ τοῦτο οὐκ ἔστιν ὠφέλιμος ἡ νηστεία· τοῖς γὰρ θεαρέστως καὶ ὡς προσῆκε ταύτην ἐργαζομένοις, ὅσον ἐστὶ τὸ ὄφελος, ἔδειξεν ὁ Μωϋσῆς, ὁ Ἠλίας, αὐτὸς ὁ Κύριος.

6 *Μωϋσῆς μὲν γὰρ πολυήμερον νηστείαν ἄγων (ἀλλά, διεγείρατε, παρακαλῶ, τὴν ὑμετέραν διάνοιαν, καὶ συνανυψώσατε νῦν, τοῦ καιροῦ διδόντος, ταῖς τοῦ Μωϋσέως ἐπ' ὄρους πρὸς Θεὸν ἀναβάσεσιν, ἵνα δι' αὐτῶν καθ' ὁδὸν αὖθις ἐπαναβαίνοντες συνανυψωθῆτε Χριστῷ, μηκέτι πρὸς ὄρος, ἀλλὰ πρὸς οὐρανὸν ἀνιόντι καὶ ἡμᾶς συνεπαίροντι)· Μωϋσῆς μὲν οὖν τεσσαρακονθήμερον νηστείαν ἐπ' ὄρους ἄγων, ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων κατὰ τὸ γεγραμμένον ὁρᾷ Θεόν· καὶ ὁμιλεῖ τούτῳ καὶ προσλαλεῖ, καθάπερ εἴ τις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον, καὶ μανθάνει παρὰ Θεοῦ καὶ διδάσκει πάντας περὶ αὐτοῦ, ὡς αὐτός ἐστιν ὁ ἀεὶ ὢν καὶ πρὸς τὸ μὴ ὂν οὐκ ἰών, ἀλλὰ καὶ τὰ μὴ ὄντα ὡς ὄντα καλῶν καὶ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγὼν καὶ πρὸς τὸ μὴ ὂν διαπεσεῖν οὐκ ἐῶν. Ὃς πρῶτον μὲν νεύματι καὶ θελήματι μόνῳ τὴν αἰσθητὴν κτίσιν σύμπασαν ἀθρόαν ἐξ οὐκ ὄντων προήγαγεν· «Ἐν ἀρχῇ» γάρ, φησίν, «ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»· οὐ διάκενον πάντως, οὐδ' ἄνευ πάντη τῶν μεταξὺ πάντων· ὕδατι μὲν γὰρ ἀναμὶξ ἦν ἡ γῆ, κυοφόρον δὲ ἑκάτερον ἀέρος τε καὶ τῶν κατ' εἶδος ζώων τε καὶ φυτῶν, ὁ δὲ οὐρανὸς τῶν διαφόρων φώτων τε καὶ πυρῶν, ἐν οἷς τὸ σύμπαν ὑφέστηκεν.*

---

3. Γεν. 1,1.

τῆς νηστείας, γιά νά τήν φυλάξωμε ἀμιγῆ ἀπό κάθε κακία γιά χάρι μας. Πραγματικά τόν Φαρισαῖο ἐκεῖνον τοῦ εὐαγγελίου, ἄν καί ἐνήστευε πάντοτε δύο ἡμέρες τήν ἑβδομάδα, δέν τόν ὠφέλησε καθόλου ἡ νηστεία, διότι εἶχε ἀναμιγμένη μέ αὐτήν τήν ὑπερηφάνεια καί τήν κατάκρισι πρός τόν πλησίον. Ἀλλ' αὐτό δέν σημαίνει ὅτι ἡ νηστεία δέν εἶναι ὠφέλιμη· διότι πόσο εἶναι τό ὄφελος σ' αὐτούς πού τήν τελοῦν θεαρέστως κι' ὅπως ἁρμόζει, τό ἔδειξαν ὁ Μωϋσῆς, ὁ Ἠλίας, ὁ ἴδιος ὁ Κύριος.

6 Πραγματικά ὁ Μωϋσῆς, κρατώντας πολυήμερη νηστεία (ἀλλά, παρακαλῶ, ἐντείνατε τή διάνοιά σας καί ἀνυψώσατέ την τώρα, πού εἶναι ἡ εὐκαιρία, μαζί μέ τίς ἀναβάσεις τοῦ Μωϋσέως ἐπάνω στό ὄρος πρός τόν Θεό, ὥστε διά μέσου αὐτῶν, ξαναρχίζοντας πάλι τήν ἀνάβασι στό δρόμο, νά συνανυψωθῆτε μέ τόν Χριστό, πού ἀνεβαίνει ὄχι στό ὄρος πλέον ἀλλά στόν οὐρανό καί μᾶς παίρνει μαζί του)· ὁ Μωϋσῆς λοιπόν, κρατῶντας τεσσαρακονταήμερη νηστεία ἐπάνω στό ὄρος, βλέπει τόν Θεό, σύμφωνα μέ τήν Γραφή κατά πρόσωπο καί ὄχι αἰνιγματικῶς· καί ὁμιλεῖ πρός αὐτόν, ὅπως ὁμιλεῖ κανείς πρός τόν φίλο του, μαθαίνει ἀπό τόν Θεό καί διδάσκει γι' αὐτόν ὅλους, ὅτι αὐτός εἶναι ὁ παντοτινά ὤν, πού δέν μεταβαίνει στό μή ὄν, ἀλλά καί καλεῖ τά μή ὄντα ὡς ὄντα καί παρήγαγε τά πάντα ἐκ μή ὄντων καί δέν ἀφήνει νά ἐκπέσουν πρός τό μή ὄν. Αὐτός πρῶτα μόνο μέ τό νεῦμα καί τό θέλημα παρήγαγε ὅλη τήν αἰσθητή κτίσι μεμιᾶς ἐκ μή ὄντων, διότι «στήν ἀρχή», λέγει, «κατεσκεύασε ὁ Θεός τόν οὐρανό καί τή γῆ»[3]· ὄχι πάντως ἀδειανά οὔτε χωρίς ὅλα τά ἐνδιάμεσα μεταξύ τους· ἡ γῆ ἦταν ἀνάμικτη μέ τό ὕδωρ, τό κάθε μέρος ἦταν γεμᾶτο μέ ἀέρα καί ζῶα καί φυτά ὅλων τῶν εἰδῶν, ὁ δέ οὐρανός ἦταν γεμᾶτος διάφορα φῶτα καί λάμψεις, ἀπό τά ὁποῖα συνίσταται τό σύμπαν.

7 Οὕτως οὖν ἐποίησεν ὁ Θεὸς ἐν ἀρχῇ τὸν οὐρανὸν καὶ τὴν γῆν, οἷόν τινα ὕλην πανδεχῆ καὶ δυνάμει τὰ πάντα φέρουσαν, καλῶς πόρρωθεν ἀπορραπίζων τοὺς καθ' ἑαυτὴν προϋφεστηκέναι τὴν ὕλην κακῶς νομίζοντας. Εἶτα καλλιεργῶν καὶ τὸν κόσμον ἐπικοσμῶν, τὴν οἰκείαν ἑκάστῳ καὶ προσήκουσαν τάξιν τῶν προσόντων αὐτῷ καὶ συμπληρούντων τὸν αὐτοῦ κόσμον ἐν ἓξ ἡμέραις διένειμε, διακρίνων ἕκαστον προστάγματι μόνῳ καὶ καθάπερ ἐκ θησαυρῶν ἀποθέτων ἐξάγων εἰς εἶδος τὰ ἐντεθέντα· διατιθείς τε καὶ συντεθεὶς ἐναρμονίως ἄκρως καὶ προσφυῶς ἄλλο πρὸς ἄλλο τούτων, ἕκαστόν τε πρὸς πάντα καὶ πρὸς ἕκαστον ἅπαντα. Καὶ τῇ μὲν ἀκινήτῳ γῇ καθάπέρ τινι κέντρῳ περιτιθεὶς ἀνωτάτῳ κύκλῳ καὶ συνδῶν πανσόφως διὰ τῶν μέσων τὸν ἀεικίνητον οὐρανόν, ἵν' ὁ αὐτὸς διαμένῃ κόσμος ἑστῶς ὁμοῦ καὶ κινούμενος· πάντῃ γὰρ κύκλῳ τῶν ἀεικινήτων καὶ ταχυκινήτων ἄγαν σωμάτων περιτεθέντων, τὸ ἀκίνητον ἐξ ἀνάγκης τὴν μέσην ἔλαχε χώραν, ἀντίρροπον τῇ κινήσει τὴν στάσιν ἔχον, ὡς μὴ μεταχωρεῖν κυλίνδρου δίκην τὴν παγκόσμιον σφαῖραν.

8 Τοιαύτην δὲ νείμας ὁ ἀριστοτέχνης τῶν τοῦ παντὸς περάτων ἑκατέρῳ τὴν θέσιν, τὸν σύμπαντα τοῦτον εὐκόσμως ὡς εἰπεῖν κόσμον καὶ ἔπηξε καὶ ἐκίνησε. Τῶν δὲ μεταξὺ τῶν περάτων τούτων διανέμει πάλιν τὸ προσῆκον ἑκάστῳ, καὶ τὰ μὲν ἄνω τάττει καὶ μετεωροπολεῖν ἐπιτάττει καὶ συμπεριπολεῖν τῷ ἀνωτάτω τοῦ παντὸς ὅρῳ ταυτῶς καὶ κοσμίως εὖ μάλα τὸν ἀεὶ χρόνον, ὅσα κοῦφα καὶ δραστικὰ καὶ μετασκευαστικὰ πρὸς τὸ χρήσιμον τῶν ὑποκειμένων ἐστί· τοσοῦτον ὑπερανεστηκότα τοῦ μέσου συνετῶς ἄγαν, ὡς καὶ τὴν ἐν τούτῳ τοῦ ψύχους ἀμετρίαν ἀποχρώντως θραύειν ἔχειν περιημμένα καὶ τὴν οἰκείαν τῆς θερμότητος ἀμετρίαν ἐπὶ χώρας κατέχειν· ἐπέχειν δέ πως καὶ τὴν ἀμετρίαν τῆς φορᾶς τῶν ἀνωτάτω περάτων ἀντιστρόφως ἰδίως αὐτὰ κινούμενα καὶ κατέχειν ἐπὶ χώρας

7 Ἔτσι λοιπόν ἐδημιούργησε ὁ Θεός στήν ἀρχή τόν οὐρανό καί τή γῆ, σάν ὕλη πού δέχεται τά πάντα καί δυνάμει φέρει τά πάντα, καλῶς ραπίζοντας ἀπό μακριά ἐκείνους πού κακῶς νομίζουν ὅτι ἡ ὕλη προϋπῆρχε αὐτοτελῶς. Ἔπειτα καλλιεργώντας καί στολίζοντας τόν κόσμο κατένειμε σέ ἕξι ἡμέρες τήν κατάλληλη καί ἁρμοδία στό καθένα τάξι ἀπό τά προσόντα του πού συμπληρώνουν τόν κόσμο του· ἐξεχώριζε τό καθένα μέ τό πρόσταγμα μόνο καί σάν νά ἐξῆγε ἀπό κρυφό θησαυροφυλάκιο κατά εἶδος τά φυλαγμένα, διέθετε καί συνέθετε μέ ἄκρα ἁρμονία καί προσαρμογή τό ἕνα πρός τό ἄλλο, τό καθένα πρός τό σύνολο καί τά πάντα πρός τό καθένα. Στήν ἀκίνητη γῆ, σάν σέ κέντρο, περιέθετε σ' ἕνα ἀνώτατο κύκλο τόν ἀεικίνητο οὐρανό, καί τόν συνέδεε πανσόφως μέ τά ἐνδιάμεσα γιά νά διατηρῆται ὁ ἴδιος κόσμος ἀκίνητος μαζί καί κινούμενος· διότι, ἀφοῦ τά ἀεικίνητα καί πολύ ταχυκίνητα σώματα ἐτοποθετήθηκαν ἐντελῶς τριγύρω, ἀναγκαστικῶς τό ἀκίνητο ἔλαβε τόν μέσο χῶρο, ἔχοντας τή στάσι ὡς ἀντίρροπη στήν κίνησι, ὥστε ἡ παγκόσμια σφαῖρα νά μή μετακινῆται σάν κύλινδρος.

8 Κατανέμοντας ὁ ἀριστοτέχνης Θεός τήν κατάλληλη θέσι στό καθένα ἀπό τά δύο πέρατα τοῦ σύμπαντος, ἐστερέωσε κι' ἐκίνησε εὐκόσμως, θά ἐλέγαμε, τοῦτον τόν κόσμο. Στά ἐνδιάμεσα δέ τῶν περάτων τούτων διανέμει πάλι ὅ,τι ἀνήκει στό καθένα· ἄλλα τοποθετεῖ ἐπάνω καί τά διατάσσει νά μετεωροπολοῦν καί νά κινοῦνται μαζί μέ τό ἀνώτατο ὅριο τοῦ παντός ταυτοχρόνως καί πολύ κοσμίως ὅλον τόν χρόνο, ὅσα εἶναι ἐλαφρά καί ἐνεργητικά καί μετασκευαστικά πρός ὄφελος τῶν χαμηλοτέρων· εἶναι δέ τόσο ὑψηλότερα ἀπό τό μέσο, ὥστε προσαρτημένα γύρω νά μποροῦν ἀφ' ἑνός μέν νά μετριάζουν τήν ὑπερβολή τοῦ ψύχους τῶν ἀνωτάτων περάτων κινούμενα αὐτά ἀντιστρόφως καί νά κρατοῦν ἐπιτοπίως κι' ἐκεῖνα διά τῆς ἀντίστρο-

κάκεῖνα διὰ τῆς ἀντι στρόφου περιστροφῆς, ἡμῖν τε παρέχειν ἐνιαυσιαίων πολυωφελεῖς διαφορὰς ὡρῶν, χρονικῶς τε διαστημάτων μέτρα, καὶ τοῦ κτίσαντος καὶ τάξαντος καὶ κοσμήσαντος Θεοῦ τοῖς συνιεῖσι γνῶσιν.

9 Τὰ μὲν οὖν ἐν μετεώρῳ καὶ ἀνωτέρω πολυστρόφως οὕτω περιχορεύειν διττῶς ἐφῆκε, κάλλους τε παγκοσμίου χάριν καὶ ὠφελείας πολυειδοῦς, τὰ δ' ἄλλα κάτω καὶ περὶ τὸ μέσον ἔθηκεν, ὅσα βάρος ἔχει καὶ παθητὰ τὴν φύσιν ἐστί, γίνεσθαί τε καὶ ἀπογίνεσθαι πέφυκε, διακρινόμενά τε καὶ συγκρινόμενα, καὶ πάσχοντα μᾶλλον μεταβάλλειν πρὸς εὐχρηστίαν, κατὰ κόσμον ὑποτιθεὶς καὶ ταῦτα καὶ τὸν πρὸς ἄλληλα λόγον, ἵν' ἐτύμως ἔχῃ καλεῖσθαι κόσμος τὸ πᾶν.

10 Οὕτω δὴ πρῶτόν τι τῶν ὄντων ἐν τῇ κτίσει παρήχθη καὶ μετὰ τὸ πρῶτον ἕτερον καὶ μετ' αὐτὸ πάλιν ἄλλο καὶ ἑφεξῆς, καὶ μετὰ πάντα ὁ ἄνθρωπος, ὃς τιμῆς τῆς παρὰ Θεοῦ καὶ προμηθείας ἠξίωται μείζονος, καὶ πρὶν ἢ πλασθῆναι καὶ μετὰ τὴν πλάσιν, ὡς καὶ τὸν αἰσθητὸν τοῦτον ἅπαντα κόσμον πρὸ αὐτοῦ γενέσθαι δι' αὐτὸν καὶ τὴν τῶν οὐρανῶν βασιλείαν εὐθὺς ἀπὸ καταβολῆς κόσμου δι' αὐτὸν ἑτοιμασθῆναι πρὸ αὐτοῦ καὶ βουλὴν περὶ αὐτοῦ προηγήσασθαι καὶ χειρὶ Θεοῦ καὶ κατ' εἰκόνα πλασθῆναι Θεοῦ καὶ μὴ τὸ πᾶν σχεῖν ἐκ τῆς ὕλης ταύτης καὶ τοῦ κατ' αἴσθησιν κόσμου, καθάπερ τὰ ἄλλα τῶν ζώων, ἀλλὰ τὸ σῶμα μόνον, τὴν δὲ ψυχὴν ἐκ τῶν ὑπερκοσμίων, μᾶλλον δὲ παρ' αὐτοῦ τοῦ Θεοῦ δι' ἐμφυσήματος ἀπορρήτου, ὡς μέγα τι καὶ θαυμαστὸν καὶ τοῦ παντὸς ὑπερέχον καὶ τὸ πᾶν ἐποπτεῦον καὶ τοῖς πᾶσιν ἐπιστατοῦν καὶ Θεοῦ γνωστικὸν ἅμα καὶ δεκτικόν καὶ δεικτικόν, παντὸς μᾶλλον τῆς ὑπερανῳκισμένης τοῦ

φης περιστροφῆς, νά παρέχουν δέ σ' ἐμᾶς ὠφελιμώτατες διαφορές ἐτησίων ἐποχῶν καί μέτρα χρονικῶν διαστημάτων, καθώς καί γνῶσι γιά τούς νοήμονες τοῦ Θεοῦ πού τά ἔκτισε, τά διέταξε καί τά διεκόσμησε.

9 Ἄλλα λοιπόν ἐπέβαλε ἄνω σέ μετέωρο νά περιχορεύουν διπλᾶ κατ' αὐτόν τόν τρόπο, γιά χάρι παγκοσμίου κάλλους καί πολυειδοῦς ὠφελείας· τά δέ ἄλλα ἐτοποθέτησε κάτω καί γύρω ἀπό τό μέσο, ὅσα ἔχουν βάρος καί εἶναι παθητῆς φύσεως, ὅσα εἶναι καμωμένα νά γίνωνται καί νά ξεγίνωνται, διακρινόμενα καί συγκρινόμενα, καί ὅταν πάσχουν νά μεταβάλλωνται περισσότερο πρός εὐχρηστία, θέτοντας γιά διάκοσμο καί αὐτά καί τόν μεταξύ τους λόγο, γιά νά μπορῆ τό σύμπαν νά καλῆται κυριολεκτικῶς κόσμος.

10 Ἔτσι λοιπόν παρήχθηκε ἕνα πρῶτο ἀπό τά ὄντα στήν κτίσι καί μετά τό πρῶτο ἄλλο καί μετά ἀπό αὐτό ἄλλο καί ἔτσι στή συνέχεια, ἔπειτα δέ ἀπό ὅλα ὁ ἄνθρωπος, ὁ ὁποῖος ἀξιώθηκε μεγαλυτέρας τιμῆς ἀπό τόν Θεό καί προνοίας, καί πρίν πλασθῆ καί μετά τήν πλάσι, ὥστε καί ὁ αἰσθητός τοῦτος κόσμος ὅλος νά γίνη γι' αὐτόν πρίν ἀπ' αὐτόν καί ἡ βασιλεία τῶν οὐρανῶν νά ἑτοιμασθῆ γι' αὐτόν πρίν ἀπό αὐτόν, ἀπό τήν θεμελίωσι τοῦ κόσμου, ὥστε νά προηγηθῆ γι' αὐτόν βουλή, νά πλασθῆ μέ τό χέρι τοῦ Θεοῦ καί κατ' εἰκόνα Θεοῦ καί νά μή πάρη τό σύνολό του ἀπό τήν ὕλη αὐτή καί ἀπό τόν κόσμο κατ' αἴσθησι, ὅπως στά ἄλλα ζῶα, ἀλλά μόνο τό σῶμα, ἐνῶ τήν ψυχή ἔλαβε ἀπό τά ὑπερκόσμια, μᾶλλον δέ ἀπό τόν ἴδιο τόν Θεό μέ ἀπόρρητο ἐμφύσημα, σάν κάτι μεγάλο καί θαυμαστό, πού ὑπερέχει ὅλων τῶν ἄλλων καί ἐποπτεύει στό σύνολο κι' ἐπιστατεῖ σέ ὅλα, σάν κάτι πού εἶναι γνωστικό καί συγχρόνως δεκτικό καί ἀποδεικτικό τοῦ Θεοῦ· ἐξοχώτερο ἀπό κάθε ἄλλο ἀποτέλεσμα τῆς ὑπερ-

τεχνίτου μεγαλειότητος ἀποτέλεσμα· ἐντεῦθεν καὶ παράδεισον ἐνδιαίτημα σχεῖν, ἐξαιρέτως ὑπὸ Θεοῦ καὶ τοῦτον πεφυτευμένον, καὶ θείας θέας καὶ ὁμιλίας ἐκεῖ τυγχάνειν αὐτοπροσώπου καὶ συμβουλὴν ἐν τούτῳ καὶ ἐντολὴν παρὰ Θεοῦ λαβεῖν, νηστείαν ἐντελλομένην τὴν ἐκεῖ πρέπουσαν, ὡς ἂν ταύτην κατέχων καὶ συντηρῶν, ἀθάνατος καὶ ἀκάματος καὶ ἄλυπος διαμένῃ τὸν ἀεὶ χρόνον.

11 Ὁ δὲ τῆς ἐντολῆς ταύτης καὶ συμβουλῆς τὴν ἐπιβουλήν, φεῦ, τοῦ ἀρχεκάκου ὄφεως ἑκὼν προτιμήσας, καταλύσας τὴν ἐντεταλμένην νηστείαν, τῆς μὲν ἀειζωΐας τὸν θάνατον, τοῦ δὲ τῆς ἀκηράτου τρυφῆς χωρίου τὸ πολυπαθὲς καὶ πολυσυμφορώτατον χωρίον τοῦτο τῆς ἁμαρτίας ἀντιλαμβάνει, μᾶλλον δὲ τὸν ᾅδην, καὶ τὸν ἐκεῖ κατακρίνεται ζόφον. Καὶ διέμεινεν ἂν ἡ φύσις ἡμῶν ἐν τοῖς καταχθονίοις ὑπὸ τὰς καταδύσεις ἐκείνου τοῦ τὴν ἀρχὴν ἀπατήσαντος ὄφεος, εἰ μὴ ὁ Χριστὸς ἐλθών, καὶ διὰ νηστείας ἀρξάμενος εἰς τέλος κατήργησε τὴν αὐτοῦ τυραννίδα καὶ ἡμᾶς ἠλευθέρωσέ τε καὶ ἀνεζώωσεν, ὃ καὶ Μωϋσῆς προηγόρευσεν· ἐκεῖ γὰρ νηστεύων ἐπὶ τοῦ ὄρους πλάκας δέχεται θεοτεύκτους καὶ νόμον αὖθις δακτύλῳ Θεοῦ γεγραμμένον πλαξὶ δευτέραις, καθ' ὃν ἐκπαιδεύων τηνικαῦτα λαὸν ἱερὸν πάντα τὰ τοῦ Χριστοῦ προϋπέγραψεν ἔργῳ καὶ προϋπέδειξεν, ἐλευθερωτὴς καὶ σωτὴρ ἀναφανεὶς τοῦ Ἀβραμιαίου γένους, ὡς τοῦ ἀνθρωπίνου γένους ὁ Χριστὸς ὕστερον.

12 Ἠλίας δὲ τεσσαρακονθήμερον καὶ αὐτὸς νηστεύσας, Θεὸν ἐπ' ὄρους ὁρᾷ οὐκ ἐν πυρί, καθάπερ πρότερον ἡ γερουσία τοῦ Ἰσραήλ, ἀλλὰ διὰ τῆς θεαρέστου νηστείας ὑπερβὰς τὴν ἐν πυρὶ θέαν, ἐν φωνῇ λεπτῆς αὔρας διερχομένης ὁρᾷ τὸν Κύριον, ἐγγυτέρω τῆς δεσποτικῆς φωνῆς γεγονώς, «Πνεῦμα», λεγούσης, «ὁ Θεός, καὶ τοὺς προ-

βατικῆς μεγαλειότητος τοῦ τεχνίτη. Γι' αὐτό ὡς κατοικία ἔλαβε τόν παράδεισο, φυτευμένον κι' αὐτόν κατά ἐξαίρετο τρόπο ἀπό τόν Θεό, γιά νά ἔχη ἐκεῖ θεία θέα καί ὁμιλία αὐτοπροσώπως καί λάβη σ' αὐτόν συμβουλή καί ἐντολή ἀπό τόν Θεό, πού ὥριζε τήν ἁρμόζουσα ἐκεῖ νηστεία, μέ τήν ἔννοια ὅτι, ἄν τήν ἐκρατοῦσε καί τήν διατηροῦσε, θά παρέμενε διαπαντός ἀθάνατος καί ἀκούραστος καί ἄλυπος.

11 Αὐτός ὅμως, προτιμήσας ἀπό αὐτήν τήν ἐντολή καί συμβουλή τήν ἐπιβουλή, ἀλλοίμονο, τοῦ ἀρχεκάκου ὄφεως ἑκουσίως, κατέλυσε τήν ἐντεταλμένη νηστεία· ἔτσι ἀντί τῆς ἀειζωΐας λαμβάνει τόν θάνατο καί ἀντί τοῦ τόπου τῆς ἄφθαρτης τρυφῆς τόν πολυπαθῆ καί γεμᾶτο συμφορές τοῦτον τόπο τῆς ἁμαρτίας, μᾶλλον δέ τόν Ἅδη, καταδικαζόμενος στό ἐκεῖ σκότος. Καί θά διέμενε ἡ φύσις μας στά καταχθόνια κάτω ἀπό τά κρησφύγετα τοῦ ὄφεως ἐκείνου πού τόν ἐξαπάτησε στήν ἀρχή, ἄν δέν ἐρχόταν ὁ Χριστός, πού ἀρχίζοντας ἀπό νηστεία κατήργησε στό τέλος τήν τυραννίδα του, ἐμᾶς δέ ἐλευθέρωσε καί , ἀναζωοποίησε, πρᾶγμα πού προεῖπε καί ὁ Μωϋσῆς· διότι αὐτός, νηστεύοντας ἐπάνω ἐκεῖ στό ὄρος, δέχεται τίς θεότευκτες πλάκες καί τόν νόμο πάλι γραμμένο μέ τό δάκτυλο τοῦ Θεοῦ σέ δεύτερες πλάκες, σύμφωνα μέ τόν ὁποῖο ἐκπαιδεύοντας τότε τόν ἱερό λαό προετύπωσε καί προϋπέδειξε ἐμπράκτως ὅλα τά τοῦ Χριστοῦ, ἀναδειχθείς ἐλευθερωτής καί σωτήρ τοῦ Ἀβραμιαίου γένους, ὅπως ὁ Χριστός ὕστερα τοῦ ἀνθρωπίνου γένους.

12 Ὁ δέ Ἠλίας, πού κι' αὐτός ἐνήστευσε σαράντα ἡμέρες, βλέπει τόν Θεό ἐπάνω στό ὄρος ὄχι σέ πῦρ, ὅπως πρωτύτερα ἡ γερουσία τοῦ Ἰσραήλ, ἀλλά, ὑπερβαίνοντας τήν θέα σέ πῦρ διά τῆς θεάρεστης νηστείας, βλέπει τόν Κύριο σέ φωνή διερχομένης λεπτῆς αὔρας, ἀφοῦ ἦλθε πλησιέστερα στή δεσποτική

σκυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν»· ἡ μὲν γὰρ φωνὴ τὴν ἀλήθειαν καὶ τὸ τῆς αὐτοαληθείας κήρυγμα τὸ πάντα περιηχῆσαν τῆς οἰκουμένης τὰ πέρατα, ἡ δὲ διερχομένη αὔρα τὸ Πνεῦμα καὶ τὴν χάριν προδιετύπωσεν.

13 Ἀλλὰ καὶ δύναμιν ὁ Ἠλίας ἐκ τῆς ἐν τῇ νηστείᾳ θέας λαμβάνει προφήτην ἀντ' αὐτοῦ χρίσαι καὶ διπλῆν αὐτῷ παρασχεῖν τὴν ἣν αὐτὸς ἐκέκτητο χάριν καὶ μετέωρος ἀπὸ γῆς ἁρθῆναι, πάντως εἰς τύπον σαφῆ τῆς ὕστερον ἀπὸ γῆς εἰς οὐρανὸν γενομένης τῆς Χριστοῦ ἀναλήψεως. Ὁ δὲ Χριστὸς αὐτὸς νικᾷ κατὰ κράτος ἐπ' ἐρημίας νηστεύων τὸν κοινὸν πειραστήν, καὶ τὸ τούτου κατ' ἀνθρώπων ἀφελόμενος κράτος καὶ καθελὼν εἰς τέλος τὴν αὐτοῦ τυραννίδα τὴν ἡμετέραν φύσιν ἐλευθεροῖ καὶ προτίθησι τοῦτον εἰς παίγνιον πᾶσι τοῖς κατὰ τὸ εὐαγγέλιον αὐτοῦ ζῆν ἐθέλουσι καὶ τελειοῖ τὰς προρρήσεις τῶν προφητῶν καὶ τοῖς παρ' ἐκείνων τυπικῶς προγεγονόσι δι' ἔργων τὴν χάριν ἐπιγράφει καὶ τὴν ἀλήθειαν.

14 Ὁρᾶτε τῆς νηστείας τὰ δῶρα, καὶ διὰ τίνων καὶ τίνων καὶ ὅσων ἡμᾶς ἠξίωσεν; Ἀλλὰ καὶ ἀπὸ τοῦ ἐναντίου ταύτης, ὅ ἐστιν ἡ ἀδηφαγία καὶ ἡ ἀκρασία, πάρεστιν ὁρᾶν τὴν ταύτης ὠφέλειαν· ταῖς γὰρ παρελθούσαις δυσὶν ἑβδομάσιν ἡ ἀδηφαγία καὶ ἡ ἀκρασία μάλιστα κατεκράτει τῆς πόλεως, καὶ εὐθὺς ταραχαὶ καὶ κραυγαὶ καὶ μάχαι καὶ θόρυβοι καὶ ᾄσματα πορνικὰ καὶ χορεύματα σατανικὰ καὶ ἄσεμνοι γέλωτες· ἐπὶ δὲ τῆς ἑβδομάδος ταύτης ἡ νηστεία παραφανεῖσα πάντα μετεσκεύασεν ἐπὶ τὸ σεμνότερον, καὶ τῶν παλυδαπά-

φωνή πού λέγει, «ὁ Θεός εἶναι Πνεῦμα κι' οἱ προσκυνηταί του πρέπει νά τόν προσκυνοῦν κατά Πνεῦμα καί ἀλήθεια»[4]. Ἡ μέν φωνή προδιετύπωσε τήν ἀλήθεια καί τό κήρυγμα τῆς αὐτοαληθείας πού ἀντήχησε σέ ὅλα τά πέρατα τῆς οἰκουμένης, ἡ δέ διερχομένη αὔρα τό Πνεῦμα καί τή χάρι.

13 Ἀλλά ἀπό τήν θέα διά τῆς νηστείας ὁ Ἠλίας λαμβάνει καί δύναμι νά χρίση ἀντί αὐτοῦ προφήτην καί νά παράσχη σ' αὐτόν διπλῆ τή χάρι πού κατεῖχε ὁ ἴδιος καί νά ὑψωθῆ μετέωρος ἀπό τή γῆ, πού ἦταν σαφής προτύπωσις τῆς γενομένης ὕστερα ἀναλήψεως τοῦ Χριστοῦ ἀπό τήν γῆ στόν οὐρανό. Ὁ δέ Χριστός ὁ ἴδιος νηστεύοντας στήν ἔρημο νικᾶ κατά κράτος τόν κοινό πειραστή καί, ἀφοῦ κατέλυσε τή δύναμι τούτου κατά τῶν ἀνθρώπων καί καθήρεσε τελείως τήν τυραννίδα του, ἐλευθερώνει τήν φύσι μας καί προβάλλει τοῦτον σάν παιγνίδι σ' ὅλους ὅσοι θέλουν νά ζοῦν κατά τό εὐαγγέλιό του, ἐκπληρώνει τίς προρρήσεις τῶν προφητῶν καί στά ἀπό ἐκείνους προτυπωτικῶς γενόμενα ἐπιγράφει μέ ἔργα τήν χάρι καί τήν ἀλήθεια.

14 Βλέπετε τά δῶρα τῆς νηστείας καί διά ποιῶν μέσων καί ποιῶν καί ὅσων ἀγαθῶν μᾶς ἀξίωσε; Ἀλλά καί ἀπό τό ἀντίθετό της, δηλαδή τήν ἀδηφαγία καί τήν ἀκρασία, εἶναι δυνατό νά φανῆ ἡ ὠφέλειά της. Πραγματικά κατά τίς δύο περασμένες ἑβδομάδες ἐκυριαρχοῦσε στήν πόλι ἡ ἀδηφαγία καί ἡ ἀκρασία, κι' ἔπονταν εὐθύς ταραχές καί κραυγές, μάχες καί θόρυβοι, ἄσματα πορνικά καί χορεύματα σατανικά καί ἄσεμνοι γέλωτες. Τώρα ὅμως ἐμφανίσθηκε ἡ νηστεία καί μετέτρεψε τά πάντα πρός τό σεμνότερο· ἐκβάλλοντάς μας ἀπό τίς πολυδάπανες φροντίδες

4. Ἰω. 4,23.

νων φροντίδων τῆς ματαιότητος ἐκβαλοῦσα καὶ παύσασα τὸν μόχθον τὸν ὑπὲρ τῆς καταργουμένης γαστρός, μετέστησεν ἡμᾶς εἰς τὰ τῆς μετανοίας ἔργα καὶ ἀνέπεισεν ἐργάζεσθαι μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον.

15 *Ποῦ νῦν αἱ τῶν ἀλόγων ζώων σφαγαὶ καὶ αἱ κνίσσαι, καὶ αἱ παντοδαπαὶ καρυκείαι καὶ αἱ τῶν μαγείρων σπουδαί; ποῦ οἱ περιτρέχοντες τὰς ὁδοὺς καὶ φωναῖς ἀνάγνοις τὸν ἀέρα μιαίνοντες; ποῦ οἱ περικτυποῦντες καὶ περιαυλοῦντες τοὺς οἴκους καὶ τὰς τραπέζας, καὶ οἱ ἀνακείμενοι καὶ συνεπικροτοῦντες καὶ μετὰ τυμπάνων καὶ αὐλῶν τῶν προκειμένων ἀκρατῶς ἐμφορούμενοι; ποῦ οἱ διημερεύοντες καὶ διανυκτερεύοντες ἐν συμποσίοις, οἱ κατασκοποῦντες ποῦ πότος γίνεται, οἱ συμπαραλαμβάνοντες ἀλλήλους ἐπὶ τὴν μέθην καὶ τὰ ἐκ τῆς μέθης αἰσχρά; πάντα οἴχεται τὰ κακά, πάντα ἀντεισῆλθε τὰ ἀγαθά, τῆς νηστείας ἐνδημησάσης. Ἀντὶ τῶν βδελυρῶν ᾀσμάτων ψαλμὸς νῦν ἱερὸς διὰ στόματος ᾄδεται· ἀντὶ τῶν ἀσέμνων γελώτων κατήφεια νῦν σωτηριώδης καὶ δάκρυα γίνεται· ἀντὶ τῶν ἀτάκτων δρόμων καὶ περιδρόμων κοινὸς ἅπασι δρόμος εἷς ἐπὶ τὴν ἱερὰν τοῦ Χριστοῦ Ἐκκλησίαν· ὥσπερ γὰρ ἡ γαστριμαργία τὸν πολυπληθῆ τῶν ἁμαρτημάτων ἐσμὸν βλαστάνει, οὕτως ἡ νηστεία ῥίζα πάντων τῶν ἀρετῶν ὑπάρχει καὶ ἀρχὴ τῶν θείων ἐντολῶν.*

16 *Ὄντως ἡ ἀκρασία παλαιόν ἐστιν ὁμοῦ καὶ νέον κακόν, εἰ καὶ τῆς ἀντιῤῥόπου νηστείας μηδὲ κατὰ χρόνον προέχει. Διὰ τὴν ἐν παραδείσῳ τῶν προπατόρων ἡμῶν ἀκρασίαν καὶ τὴν ἐκεῖ τῆς προγενεστέρας νηστείας ὑπεροψίαν, θάνατος εἰς τὸν κόσμον εἰσῆλθε καὶ ἐβασίλευσεν ἡ ἁμαρτία συνεπαγομένη τὴν καταδίκην τῆς ἡμῶν φύσεως ἀπὸ Ἀδὰμ μέχρι Χριστοῦ. Διὰ τὴν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ*

τῆς ματαιότητος καί παύοντας τόν μόχθο ὑπέρ τῆς καταργουμένης κοιλίας, μᾶς μετέστησε στά ἔργα τῆς μετανοίας καί μᾶς ἔπεισε νά μή ἐργαζώμαστε τήν βρῶσι πού χάνεται, ἀλλά τήν βρῶσι πού παραμένει στήν αἰώνια ζωή.

15 Ποῦ εἶναι τώρα οἱ σφαγές τῶν ἀλόγων ζώων καί οἱ κνίσσες, τά παντοειδῆ καρυκεύματά καί τά εὑρήματα τῶν μαγείρων; Ποῦ εἶναι αὐτοί πού τριγυρίζουν τούς δρόμους καί μιαίνουν τόν ἀέρα μέ ἀνόσιες φωνές; Ποῦ εἶναι αὐτοί πού γυροκτυποῦν καί αὐλίζονται σέ οἴκους καί τράπεζες, αὐτοί πού παρακάθηνται καί συνθορυβοῦν καί γεμίζουν τήν κοιλιά τους ἀπό τά προκείμενα μέ τύμπανα καί αὐλούς ἀκρατῶς; Ποῦ εἶναι αὐτοί πού διημερεύουν καί διανυκτερεύουν σέ συμπόσια, πού διερευνοῦν ποῦ γίνεται πότος, πού παίρνουν ὁ ἕνας τόν ἄλλον σέ μεθύσια καί στίς αἰσχρουργίες πού προκαλοῦνται ἀπό τή μέθη; Ὅλα τά κακά ἔχουν φύγει, ὅλα τά ἀγαθά ἦλθαν ἀντί αὐτῶν, μόλις ἔφθασε ἡ νηστεία. Ἀντί τῶν βδελυρῶν ἀσμάτων τώρα μελωδεῖται μέ τό στόμα ἱερός ψαλμός· ἀντί τῶν ἀσέμνων γελώτων τώρα ἐπικρατοῦν σωτηριώδης κατήφεια καί δάκρυα· ἀντί τῶν ἀτάκτων δρόμων καί περιδρόμων τώρα ὑπάρχει ἕνας κοινός δρόμος πρός τήν ἱερά Ἐκκλησία τοῦ Χριστοῦ. Ὅπως δηλαδή ἡ γαστριμαργία βλαστάνει τόν πολυπληθῆ ἐσμό τῶν ἁμαρτημάτων, ἔτσι ἡ νηστεία εἶναι ρίζα ὅλων τῶν ἀρετῶν καί ἀρχή τῶν θείων ἐντολῶν.

16 Πραγματικά ἡ ἀκρασία εἶναι μαζί παλαιό καί νέο κακό, ἄν καί δέν προηγεῖται τῆς ἀντίστοιχης νηστείας οὔτε κατά χρόνο. Ἐξ αἰτίας τῆς ἀκρασίας τῶν προπατόρων στόν παράδεισο καί τῆς ἐκεῖ ὑπεροψίας ἀπό τήν προγενέστερη νηστεία εἰσῆλθε στόν κόσμο ὁ θάνατος κι' ἐβασίλευσε ἡ ἁμαρτία πού ἐπέφερε τήν καταδίκη τῆς φύσεώς μας ἀπό τοῦ Ἀδάμ μέχρι τοῦ Χριστοῦ. Ἐξ αἰτίας τῆς ἀκρασίας τῶν ἀπογόνων τοῦ Ἀδάμ στήν

τῶν ἐξ Ἀδὰμ ἀκρασίαν καὶ τὴν τῆς προτέρας σωφροσύνης ὑπεροψίαν ὁ κατακλυσμὸς ἐπῆλθε πάσῃ τῇ γῇ. Τί γάρ φησι τηνικαῦτα πρὸς τὸν Νῶε ὁ Θεός; «Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις διὰ τὸ εἶναι αὐτοὺς σάρκας». Τί δὲ τῶν κατασεσαρκωμένων ἔργον, οὐ γαστριμαργία καὶ μέθη καὶ τρυφή, καὶ τὰ ἐκ τούτων κακά; Διὰ τὴν ἐν Σοδόμοις ἐξάγιστον σπατάλην καὶ ἀκρασίαν οὐρανόθεν αὐτοῖς ὁ ἐμπρησμὸς κατηνέχθη· τοῦτο γάρ φησιν Ἰεζεκιὴλ ὁ προφήτης τὸ ἀνόμημα Σοδόμων, ὅτι ἐν πλησμονῇ ἄρτων ἐσπατάλων. Ἀπὸ γὰρ τῆς σπατάλης ταύτης καὶ τὴν φύσιν ἀγνοήσαντες εἰς τὰς παρὰ φύσιν ἐξωλίσθησαν μίξεις. Τί τὸν τοῦ Ἰακὼβ Ἡσαῦ πρωτότοκον ὄντα τῶν πρωτοτοκίων ἐστέρησε καὶ τῆς πατρικῆς ἐξέβαλεν εὐχῆς; οὐ λαγνεία καὶ βρώματος παράλογος αἴτησις; Τί τοὺς υἱοὺς Ἠλεὶ τοῦ ἀρχιερέως θανάτῳ κατεδίκασε καὶ συναπορρῆξαι τοῦτον βιαίως τῇ ἀγγελίᾳ τοῦ θανάτου τῶν παίδων τὴν ζωὴν ἐποίησε, μὴ μετ' ἐπιμελείας τούτους παιδεύοντα τῆς προσηκούσης; οὐχ ἡ τῶν κρεῶν ἐκ τῶν λεβήτων οὐ κατὰ καιρὸν ἀφαίρεσις καὶ χρῆσις; Ἀλλὰ καὶ τὸ τῶν Ἑβραίων ἅπαν γένος, ὅτε Μωϋσῆς ἐπὶ τοῦ ὄρους ὑπὲρ αὐτῶν ἐνήστευε, καθ' ἑαυτῶν ἀεὶ τρυφῶντες, φαγόντες καὶ πιόντες ἀνέστησαν παίζειν, κατὰ τὸ γεγραμμένον, καὶ τὸ παίγνιον αὐτοῖς εἰδώλου ἦν προσκύνησις· τότε γὰρ ἐνηργήθη αὐτοῖς τὰ τῆς μοσχοποιΐας.

17 Οὕτως οὐ μόνης ἁμαρτίας, ἀλλὰ καὶ ἀσεβείας ἡ τρυφὴ παραιτία. Οὐκοῦν καὶ ἡ νηστεία καὶ ἡ ἐγκράτεια, οὐ πρὸς ἀρετὴν μόνον

5. Γεν. 6,3.

οἰκουμένη μας καί τῆς ὑπεροψίας ἀπό τήν προηγούμενη σοφροσύνη ἐπῆλθε σ' ὅλη τή γῆ ὁ κατακλυσμός· διότι τί λέγει τότε πρός τόν Νῶε ὁ Θεός; «Δέν θά παραμείνη τό πνεῦμα μου σ' αὐτούς τούς ἀνθρώπους, ἐξ αἰτίας τοῦ ὅτι εἶναι σάρκες»[5]. Ποιό δέ εἶναι τό ἔργο τῶν κατασαρκωμένων; Δέν εἶναι ἡ γαστριμαργία καί μέθη καί τρυφή καί τά κακά πού προέρχονται ἀπό αὐτά; Ἐξ αἰτίας τῆς ἀνοσίας σπατάλης καί ἀκρασίας στά Σόδομα ἔπεσε σ' αὐτούς ἀπό τόν οὐρανό ὁ ἐμπρησμός· τοῦτο πραγματικά, λέγει ὁ προφήτης Ἰεζεκιήλ, ἦταν τό ἀνόμημα τῶν Σοδόμων, ὅτι ἐσπαταλοῦσαν πλῆθος τροφῶν[6]. Ἔχοντας ἀγνοήσει τήν φύσι λόγω αὐτῆς τῆς σπατάλης ἐγλύστρησαν στίς παρά φύσι μίξεις. Τί εἶναι αὐτό πού ἐστέρησε τόν πρωτότοκο υἱό τοῦ Ἰακώβ τῶν πρωτοτοκίων καί τόν ἐξέβαλε ἀπό τήν πατρική εὐχή; Δέν εἶναι ἡ λαγνεία καί ἡ παράλογη ἀπαίτησις τροφῶν; Τί εἶναι αὐτό πού κατεδίκασε σέ θάνατο τούς υἱούς τοῦ ἀρχιερέως Ἠλεί καί τόν ἔκανε νά χάση τή ζωή του βιαίως μαζί μέ τήν ἀγγελία τοῦ θανάτου τῶν παιδιῶν του, τά ὁποῖα δέν ἐξεπαίδευσε μέ τήν προσήκουσα ἐπιμέλεια; Δέν εἶναι ἡ ἄκαιρη ἀφαίρεσις τῶν κρεάτων ἀπό τούς λέβητες καί χρησιμοποίησίς των; Ἀλλά καί ὅλο τό γένος τῶν Ἑβραίων, ὅταν ὁ Μωυσῆς ἐνήστευε γιά χάρι τους ἐπάνω στό ὄρος, διασκεδάζοντας σέ βάρος ἑαυτῶν, τρώγοντας καί πίνοντας, ἄρχισαν νά παίζουν, κατά τό γεγραμμένο[7], καί τό παιγνίδι τους ἦταν ἡ προσκύνησις εἰδώλου· διότι τότε συνέβη σ' αὐτούς ἡ κατασκευή τοῦ μόσχου.

17 Ἔτσι ἡ τρυφή δέν εἶναι αἴτιο μόνο τῆς ἁμαρτίας, ἀλλά καί

6. Ἰεζ. 16,49.
7. Ἔξ. 32,6.

ἀλλὰ καὶ πρὸς θεοσέβειαν λυσιτελοῦσι. Δεῖ γὰρ προσεῖναι τῇ νηστείᾳ τὴν ἐγκράτειαν· διατί; ὅτι καὶ ὁ τῶν εὐτελῶν βρωμάτων κόρος κωλύει τὸ καθάρσιον πένθος καὶ τὴν κατὰ Θεὸν ἐν τῇ ψυχῇ λύπην καὶ τὴν κατάνυξιν, ἥτις ἀμεταμέλητον μετάνοιαν εἰς σωτηρίαν κατεργάζεται· ἄνευ γὰρ συντετριμμένης καρδίας οὐκ ἔστιν ἀληθῶς ἐπιλαβέσθαι τῆς μετανοίας. Συντρίβει δὲ τὴν καρδίαν καὶ πενθεῖν ποεῖ τὰς οἰκείας ἁμαρτίας ἡ τῆς τρυφῆς καὶ τοῦ ὕπνου καὶ τῶν αἰσθήσεων κατὰ Θεὸν συστολή.

18 Καθάπερ οὖν ὁ ἐν τῷ εὐαγγελίῳ πλούσιος ἐκεῖνος, εἰπὼν ἑαυτῷ, «φάγε, πίε, εὐφραίνου», ἄξιον ἑαυτὸν ὁ ἄθλιος ἐποίησε τῆς αἰωνίου φλογός, ἀνάξιον δὲ καὶ τῆς παρούσης ζωῆς, οὕτως ἡμεῖς, ἀδελφοί, ἀντιστρόφως εἴπωμεν ἡμῖν αὐτοῖς ἐγκρατεύεσθαι καὶ νηστεύειν, ἐγρηγορέναι τε καὶ συστέλλεσθαι, καὶ ταπεινοῦσθαι καὶ κακοπαθεῖν ὑπὲρ τῆς σωτηρίας ἡμῶν· οὕτω γὰρ καὶ τὴν παροῦσαν ζωὴν καλῶς καὶ θεοφιλῶς διανύσομεν, καὶ τὴν αἰώνιον εὐζωΐαν κληρονομήσομεν.

19 Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τῆς ἀσεβείας. Ἐπομένως καί ἡ νηστεία καί ἡ ἐγκράτεια συντελοῦν ὄχι μόνο πρός τήν ἀρετή, ἀλλά καί πρός τήν θεοσέβεια. Διότι πρέπει νά ὑπάρχη μαζί μέ τή νηστεία ἡ ἐγκράτεια. Γιατί; Διότι καί ὁ κόρος τῶν εὐτελῶν τροφῶν ἐμποδίζει τό καθάρσιο πένθος καί τήν κατά Θεό λύπη στήν ψυχή καί τήν κατάνυξι, ἡ ὁποία κατεργάζεται τήν σταθερή μετάνοια γιά τήν σωτηρία· διότι χωρίς συντετριμμένη καρδιά δέν εἶναι δυνατό νά ἐπιληφθῆ κανείς ἀληθῶς τῆς μετανοίας. Συντρίβει δέ τήν καρδία καί τήν φέρει νά πενθῆ τίς ἁμαρτίες της ἡ κατά τό θέλημα τοῦ Θεοῦ μείωσις τῆς τροφῆς καί τοῦ ὕπνου καί τῶν αἰσθήσεων.

18 Ὅπως λοιπόν ὁ πλούσιος ἐκεῖνος στό εὐαγγέλιο, λέγοντας στόν ἑαυτό του, φάγε, πίε, εὐφραίνου, κατέστησε τόν ἑαυτό του ὁ ἄθλιος ἄξιο τῆς αἰωνίας φλόγας, ἀνάξιον δέ καί τῆς παρούσης ζωῆς, ἔτσι ἐμεῖς, ἀδελφοί, ἄς εἰποῦμε ἀντιστρόφως στούς ἑαυτούς μας νά ἐγκρατευώμαστε καί νά νηστεύωμε, νά γρηγοροῦμε καί νά συμμαζευώμαστε, νά ταπεινωνώμαστε καί νά κακοπαθοῦμε χάρι τῆς σωτηρίας μας· διότι ἔτσι καί τήν παροῦσα ζωή θά διανύσωμε καλῶς καί θεοφιλῶς καί τήν αἰωνία εὐζωία θά κληρονομήσωμε.

19 Αὐτήν εἴθε νά ἐπιτύχωμε ὅλοι ἐμεῖς μέ τήν χάρι καί φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ στόν ὁποῖο πρέπει δόξα, κράτος, τιμή καί προσκύνησις μαζί μέ τόν ἄναρχο Πατέρα του καί τό ζωοποιό Πνεῦμα, τώρα καί πάντοτε, καί στούς αἰῶνες τῶν αἰώνων. Γένοιτο.

ΟΜΙΛΙΑ Ζ΄

ΕΤΕΡΑ ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ

ΟΜΙΛΙΑ Ζ'

ΕΤΕΡΑ ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ

1 

δὺ μὲν ὀφθαλμοῖς θέαμα γαληνιῶσα θάλασσα καὶ φωτὶ φαιδρῷ λαμπομένη καὶ λαμπρυνομένη καὶ τῷ λείῳ τῆς ἐπιφανείας πρὸς τὴν αὐγὴν ἀντιλάμπουσα. Πολλῷ δὲ τερπνότερον, οὐχ ὁρᾶν μόνον, ἀλλὰ καὶ προσλαλεῖν Ἐκκλησίᾳ κατὰ Θεὸν ἡθροισμένῃ, θορύβων ἀπηλλαγμένῃ καὶ τῷ θείῳ φωτὶ μυστικῶς καταλαμπομένῃ καὶ πρὸς τὴν ἐκεῖθεν αὐγὴν ἀνεπτερωμένῃ καὶ χεῖρας ἀνατεταμένῃ καὶ ὀφθαλμοὺς αἴσθησίν τε πᾶσαν καὶ τὴν διάνοιαν. Ἐπειδή μοι τοίνυν ἡ τοῦ Πνεύματος χάρις ταύτην σήμερον ἐχαρίσατο τὴν ἐπέραστον θέαν καὶ πάρεστε πάντες ὑμεῖς συνδιανυκτερεύ-

ΟΜΙΛΙΑ 7

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ ΑΛΛΗ

1 Εἶναι γλυκύ στούς ὀφθαλμούς θέαμα ἡ γαληνιαία θάλασσα πού καταλάμπεται καί λαμπρύνεται μέ φαιδρό φῶς καί ἀντιλάμπει πρός τήν αὐγή μέ τή λεία της ἐπιφάνεια. Πολύ τερπνότερο ὅμως εἶναι ὄχι μόνο τό νά βλέπη κανείς, ἀλλά καί νά ὁμιλῆ σ' ἐκκλησία συναθροισμένη κατά Θεόν, ἀπηλλαμένη ἀπό θορύβους καί καταλαμπομένη μυστικῶς ἀπό τό θεῖο φῶς, ἀναπτερωμένη πρός τήν ἀπό ἐκεῖ αὐγή μέ ἁπλωμένα τά χέρια καί τούς ὀφθαλμούς καί ὅλη τήν αἴσθησι καί τή διάνοια. Ἐπειδή λοιπόν ἡ χάρις τοῦ Πνεύματος μοῦ ἐχάρισε σήμε-

οντες καὶ συνδιημερεύοντες ἐν τῷ ναῷ τοῦ Θεοῦ, καὶ τῇ κατ' αὐτὸν νῦν ὑμῶν ἀνελλιπεῖ προσεδρείᾳ πάρεστιν ὁρᾶν ὑμᾶς καθάπερ ὑπερκόσμιά τινα δένδρα παρὰ τὰς διεξόδους πεφυτευμένα τῶν ὑδάτων τοῦ Πνεύματος, φέρε καὶ αὐτὸς συνεργήσω πρὸς δύναμιν ταῖς ἐκεῖθεν ἀρδείαις, καὶ καθάπερ ὑμεῖς ταῖς ὀρθριναῖς τὰς ἡμερινὰς εὐχάς, οὕτω καὶ ἡμεῖς, καθ' ὅσον ὁ καιρὸς παρέχει, τῇ πρωϊνῇ τὴν ἑσπερινὴν προσαποτίσωμεν διδασκαλίαν, τὰς μηχανὰς ὑμῖν ἐμφανέστερον ὑποδεικνῦντες, δι' ὧν οὐ τὴν νηστείαν μόνον, ἀλλὰ καὶ τὴν προσευχὴν ἡμῶν ὁ πολέμιος τῆς σωτηρίας ἡμῶν ἐπιχειρεῖ παντοδαπῶς ἀχρειοῦν.

2 *Ἔστιν οὖν, ἀδελφοί, καὶ ἄλλη πλησμονὴ καὶ μέθη πονηρά, ἥτις οὐκ ἀπὸ τῶν βρωμάτων οὐδὲ ἀπὸ τῶν ποτῶν γίνεται καὶ τῆς ἐν τούτοις τρυφῆς, ἀλλ' ἀπὸ τῆς εἰς τὸν πλησίον ὀργῆς καὶ τοῦ μίσους καὶ τῆς μνησικακίας, καὶ τῶν ἀπὸ τούτων τικτομένων κακῶν· περὶ ὧν καὶ ὁ Μωϋσῆς ἐν τῇ ᾠδῇ φησι, «θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος». Δι' ἃ ὁ προφήτης Ἡσαΐας φησίν, «οὐαὶ οἱ μεθύοντες ἄνευ οἴνου»· καὶ πάλιν ὁ αὐτὸς παραγγέλλει λέγων, «μὴ εἰς μάχας νηστεύετε». Ἀλλὰ καὶ πρὸς τοὺς οὕτω νηστεύοντας ὡς ἀπὸ τοῦ Κυρίου φησίν, «ἐὰν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου, οὐδ' οὕτω καλέσετε νηστείαν δεκτήν, καὶ ἐὰν πληθύνητε τὴν δέησιν ὑμῶν, οὐκ εἰσακούσομαι ὑμῶν», καὶ «ὅταν ἐκτείνετε τὰς χεῖρας ὑμῶν πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν».*

3 *Ταύτην οὖν τὴν ἀπὸ τοῦ μίσους μέθην, τὴν παντὸς μᾶλλον τῆς θείας ἀποστροφῆς αἰτίαν, ἐμποιεῖν ὁ διάβολος ἐπιχειρεῖ τοῖς προσευχομένοις τε καὶ νηστεύουσι καὶ τῶν αἰτιαμάτων ὑποβάλλει τὴν*

1. Δευτ. 32,33.

ρα αὐτήν τήν ἐπέραστη θέα καί ὅλοι ἐσεῖς παρευρίσκεσθε μαζί νύκτα καί ἡμέρα στόν ναό τοῦ Θεοῦ καί μέ τήν ἀνελλιπῆ σας τώρα προσέλευσι σ' αὐτόν εἶναι δυνατό νά σᾶς βλέπη κανείς σάν ὑπερκόσμια δένδρα φυτευμένα δίπλα στ' αὐλάκια τῶν ὑδάτων τοῦ Πνεύματος, ἄς συνεργήσω κι' ἐγώ κατά δύναμι στά ἀπό ἐκεῖνα ποτίσματα· καί ὅπως ἐσεῖς στίς ὀρθρινές προσθέσατε τίς ἡμερινές εὐχές, ἔτσι κι' ἐμεῖς ὅσο μᾶς ἐπιτρέπει ὁ καιρός, στήν πρωϊνή διδασκαλία θά προσθέσωμε τήν ἑσπερινή, ὑποδεικνύοντας σαφέστερα τίς μηχανές, διά τῶν ὁποίων ὁ πολέμιος τῆς σωτηρίας μας ἐπιχειρεῖ ποικιλοτρόπως ν' ἀχρειώση ὄχι μόνο τή νηστεία, ἀλλά καί τήν προσευχή μας.

2 Ὑπάρχει λοιπόν, ἀδελφοί, κι' ἄλλη χορτασιά καί μέθη πονηρά, πού δέν προέρχεται ἀπό τά φαγητά οὔτε τά ποτά κι' ἀπό τήν ἀπόλαυση τούτων, ἀλλά ἀπό τήν ὀργή καί τό μίσος πρός τόν πλησίον καί τήν μνησικακία, καθώς καί ἀπό τά κακά πού γεννῶνται ἀπό αὐτά, γιά τά ὁποῖα λέγει ὁ Μωϋσῆς στήν ὠδή, «τό κρασί τους εἶναι θυμός δρακόντων καί θυμός ἀσπίδων ἀνίατος»[1]. Γι' αὐτά καί ὁ προφήτης Ἡσαΐας λέγει, «ἀλλοίμονο σ' αὐτούς πού μεθοῦν χωρίς κρασί»[2]· καί πάλι ὁ ἴδιος παρα, «μή νηστεύετε γιά μάχες»[3]. Ἀλλά καί πρός αὐτούς πού νηστεύουν ἔτσι λέγει σάν ἐκ μέρους τοῦ Κυρίου, «ἄν κάμψης τόν λαιμό σου σάν κρίκο, καί πάλι δέν θά θεωρήσετε τοῦτο νηστεία ἀποδεκτή»[4], καί «ὅταν ἐκτείνετε τά χέρια σας πρός ἐμέ, θ' ἀποστρέψω τούς ὀφθαλμούς μου ἀπό σᾶς»[5].

3 Αὐτήν λοιπόν τήν ἀπό τό μίσος μέθη, τήν περισσότερο ἀπό κάθε ἄλλο αἰτία τῆς θείας ἀποστροφῆς, ἐπιχειρεῖ ὁ διάβολος νά ἐμβάλη στούς προσευχομένους καί νηστεύοντας, ὑποβάλλει τή

2. Ἡσ. 20,1.
3. Ἡσ. 58,3.
4. Ἡσ. 58,5.
5. Ἡσ. 1,15.

μνήμην καὶ τοὺς λογισμοὺς κινεῖ πρὸς μνησικακίαν καὶ πρὸς καταλαλιὰν ὀξύνει τὴν γλῶσσαν, τοιούτους εἶναι παρασκευάζων, οἷον ὁ Δαβὶδ ὑπογράφει τὸν ἐν κακίᾳ εὐχόμενον, λέγων, «ἀνομίαν ὅλην τὴν ἡμέραν ἐλογίσατο, ἡ γλῶσσα αὐτοῦ ὡσεὶ ξυρὸν ἠκονημένον», καὶ ἀφ' ὧν ρυσθῆναι προσεύχεται πρὸς τὸν Θεόν, λέγων, «ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με· οἵτινες ἠκόνησαν τὴν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν».

4 Ἀλλ' ἡμεῖς, ἀδελφοί, ἐν τῷ καιρῷ τῆς νηστείας καὶ τῆς προσευχῆς ἀφῶμεν ἐκ ψυχῆς, παρακαλῶ, εἴ τί ποτε κατά τινος, ἢ ἀληθῶς ἔχομεν ἢ νομίζομεν ἔχειν, καὶ τῆς ἀγάπης ὅλοι γενώμεθα, κατανοοῦντες μᾶλλον ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων, καὶ ὑπὲρ ἀλλήλων λέγοντές τε καὶ ἐν ἑαυτοῖς λογιζόμενοι καὶ διανοούμενοι καλὰ ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων, ἵνα νηστεύωμεν τὴν ἐπαινητὴν νηστείαν καὶ ἄμωμον καὶ τὰ κατ' αὐτὴν αἰτήματα ἡμῶν πρὸς τὸν Θεὸν εὐπρόσδεκτα γένηται καὶ ὡς πατέρα τοῦτον κατὰ χάριν πρεπόντως ἐπικαλώμεθα καὶ πρὸς αὐτὸν μετὰ παρρησίας λέγειν ἔχωμεν· «Πάτερ, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν».

5 Ἄλλη πάλιν τῇ παρ' ἡμῶν προσευχῇ καὶ τῇ νηστείᾳ παρὰ τοῦ ταῖς ψυχαῖς ἡμῶν ἐπιβουλεύοντος ἀχρείωσις ἡ οἴησις ἐπιγίνεται, ἣν καὶ ὁ Φαρισαῖος ἐκεῖνος ἔχων, νηστεύων καὶ προσευξάμενος, ἀπεπέμφθη κενός. Ἀλλ' ἡμεῖς εἰδότες, ὅτι ἀκάθαρτος καὶ ἀπρόσδεκτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος, καὶ πολλῶν καὶ μεγάλων ὄντας

6. Ψαλμ.51,2.

μνήμη τῶν πταισμάτων, κινεῖ τούς λογισμούς πρός μνησικακία καί ὀξύνει τήν γλῶσσα πρός καταλαλιά. Τούς προετοιμάζει νά εἶναι τέτοιοι, ὅπως περιγράφει ὁ Δαβίδ τόν προσευχόμενο σέ κακία, ὅταν λέγη, «ὅλη τήν ἡμέρα ἐσυλλογίσθηκε ἀνομίες, ἡ γλῶσσα του ἦταν σάν ἀκονισμένο ξυράφι»[6], καί ὅταν προσεύχεται πρός τόν Θεό μέ τά λόγια, «ἀπάλλαξέ με, Κύριε, ἀπό ἄνθρωπο πονηρό, λύτρωσέ με ἀπό ἄνδρα ἄδικο, πού ἀκόνισαν τή γλῶσσα τους σάν φιδιοῦ, πού ἔχουν δηλητήριο ἀσπίδων κάτω ἀπό τά χείλη τους»[7].

4 Ἀλλ' ἐμεῖς, ἀδελφοί, τόν καιρό τῆς νηστείας καί τῆς προσευχῆς ἄς ἀφήσωμε ἀπό τήν ψυχή μας, ἄν ἀληθινά ἔχωμε ἤ νομίζωμε ὅτι ἔχομε κάτι ἐναντίον κάποιου, καί ἄς δοθοῦμε ὅλοι στήν ἀγάπη, κατανοώντας καλύτερα ὁ ἕνας τόν ἄλλον στήν ἔξαρσι τῆς ἀγάπης καί τῆς ἀγαθοεργίας, ὁμιλώντας ὁ ἕνας ὑπέρ τοῦ ἄλλου, συλλογιζόμενοι καί σκεπτόμενοι μέσα μας καλά ἐνώπιον τοῦ Θεοῦ καί τῶν ἀνθρώπων, γιά νά νηστεύωμε τήν ἐπαινητή καί ἄψογη νηστεία καί τά αἰτήματά μας κατ' αὐτήν πρός τόν Θεό νά γίνουν εὐπρόσδεκτα, νά τόν ἐπικαλούμαστε ὅπως πρέπει ὡς Πατέρα κατά χάρι καί νά μποροῦμε νά λέγωμε πρός αὐτόν μέ παρρησία· «Πάτερ, ἄφησέ μας τίς ὀφειλές μας, ὅπως κι' ἐμεῖς τίς ἀφήνομε στούς ὀφειλέτες μας».

5 Ὑπάρχει καί ἄλλη ἀχρείωσις πάλι πού ἐμβάλλεται στίς ψυχές μας κατά τήν προσευχή καί νηστεία μας ἀπό τόν ἐπιβουλεύοντα, ἡ οἴησις, τήν ὁποία ἔχοντας ὁ Φαρισαῖος ἐκεῖνος, πού ἐνήστευε καί προσευχήθηκε, ἀποπέμφθηκε ἀδειανός. Ἀλλά ἐμεῖς, γνωρίζοντας ὅτι κάθε ὑπερήφανος εἶναι ἀκάθαρτος καί ἀπρόσδεκτος ἀπό τόν Κύριο, καί ἀναγνωρίζοντας ὅτι εἴμαστε

7. Ψαλμ. 139,1.

ὀφειλέτας ἡμᾶς αὐτοὺς τῷ Θεῷ καὶ τῆς ὀφειλῆς ὀλίγον ἀποδιδόντας ἐξεπιστάμενοι, τῶν μὲν ὄπισθεν ὡς μηδὲν ἐπιλανθανώμεθα, πρὸς δὲ τὰ ἔμπροσθεν ἐπεκτεινόμενοι, νηστεύομεν καὶ προσευχόμεθα μετὰ συντετριμμένης καρδίας καὶ αὐτομεμψίας καὶ ταπεινώσεως, ἵνα ᾖ καθαρὰ καὶ θεάρεστος ἡμῶν ἡ νηστεία καὶ ἡ ἐν τῷ ναῷ τοῦ Θεοῦ προσεδρία τε καὶ παράστασις.

6 *Ἕτερος τοῦ πονηροῦ τρόπος, ἀκερδῆ τὸν τῆς νηστείας καὶ προσευχῆς κόπον ἡμῖν ἐργαζόμενος, τὸ πείθειν ἡμᾶς διὰ κενοδοξίαν ταῦτα καὶ μεθ' ὑποκρίσεως πράττειν. Διὸ παραγγέλλει πάλιν ὁ Κύριος ἐν τῷ εὐαγγελίῳ λέγων· «εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ».*

7 *Ταῦτα δέ φησιν, οὐ τὰς ἐν τῷ ναῷ συνάξεις καὶ προσευχὰς καὶ ψαλμῳδίας παραιτεῖσθαι κελεύων· οὐ γὰρ ἂν ὁ ψαλμῳδὸς προφήτης πρὸς αὐτὸν ἔλεγε, «ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε», καὶ «ἐξομολήσομαί σοι ἐν λαοῖς, Κύριε, ἐξομολογήσομαί σοι ἐν ἔθνεσι», καὶ «ἀποδώσω σοι τὰς εὐχάς μου, ἐνώπιον τῶν φοβουμένων σε, Κύριε»· καὶ πρὸς ἡμᾶς, «ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν», καὶ «δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν, καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ Θεοῦ ἡμῶν». Ἀλλὰ πρὸς ἑτέροις ὑψηλοτέροις ἃ νῦν ὁ καιρὸς λέγειν οὐ παρέχει χώραν, καὶ τοῦτο διδάσκων ἐστὶν ὁ Κύριος, ὅτι ἡ κατὰ μόνας ἐν τοῖς ἡμῶν οἴκοις, κἀν τοῖς κοιτῶσιν αὐτοῖς, εἰς προσευχὴν διέγερσις τὴν ἐπ' ἐκκλησίας συνίστησι πρὸς τὸν Θεόν,*

8. Ματθ. 6,6.
9. Ψαλμ. 21,23.
10. Ψαλμ. 56,12.

οἱ ἴδιοι ὀφειλέτες πολλῶν καί μεγάλων πραγμάτων στό Θεό καί ὀλίγο ἀποδίδομε ἀπό τήν ὀφειλή, τά μέν πρός τά πίσω λησμονοῦμε σάν τίποτε, πρός τά ἐμπρός δέ ἐπεκτεινόμενοι, νηστεύομε καί προσευχόμαστε μέ συντετριμμένη καρδιά καί αὐτομεμψία καί ταπείνωσι, γιά νά εἶναι καθαρά καί θεάρεστη ἡ νηστεία μας καί ἡ παραμονή καί παρουσία στό ναό τοῦ Θεοῦ.

6 Ἄλλος τρόπος τοῦ πονηροῦ, πού καθιστᾶ ἀνωφελῆ τόν κόπο τῆς νηστείας καί προσευχῆς, εἶναι τό νά μᾶς πείθη νά τά πράττωμε γιά κενοδοξία καί μέ ὑπόκρισι. Γι' αὐτό παραγγέλλει πάλι ὁ Κύριος στό εὐαγγέλιο λέγοντας· «εἴσελθε στό ἰδιαίτερο σου καί, κλείνοντας τήν θύρα σου, προσευχήσου στόν Πατέρα σου, πού ἐνεργεῖ στά κρυφά· καί ὁ Πατέρας σου πού βλέπει στά κρυφά, θά σοῦ τό ἀποδώση στά φανερά»[8].

7 Τά λέγει δέ αὐτά ὄχι γιά νά παραγγείλη νά ἐγκαταλείψωμε τίς συνάξεις καί προσευχές καί ψαλμωδίες στό ναό· διότι τότε δέν θά ἔλεγε πρός αὐτόν ὁ ψαλμωδός προφήτης, «μέσα στήν ἐκκλησία θά σέ ὑμνήσω»[9], «θά σέ δοξολογήσω, Κύριε, ἀνάμεσα σέ λαούς, θά σέ δοξολογήσω ἀνάμεσα στά ἔθνη»[10], καί «θά σοῦ προσφέρω τίς εὐχές μου ἐνώπιον τῶν σεβομένων σε, Κύριε»[11]· καί πρός ἐμᾶς, «εὐλογεῖτε τόν Θεό σ' ἐκκλησίες»[12] καί «ἐμπρός ἄς προσκυνήσωμε καί ἄς προσπέσωμε καί ἄς κλαύσωμε ἐνώπιον τοῦ Κυρίου τοῦ Θεοῦ μας»[13]. Ἀλλά ἐκτός ἀπό ἄλλα ὑψηλότερα, πού δέν ἐπιτρέπει ὁ καιρός νά τά εἰποῦμε τώρα, ὁ Κύριος διδάσκει καί τοῦτο, ὅτι ἡ παραίνεσις γιά ἰδιαίτερη προσευχή μας στούς οἴκους, καί στούς κοιτῶνες ἀκόμη, ἐνισχύει

11. Ψαλμ. 21,27.
12. Ψαλμ. 67,28.
13. Ψαλμ. 94,6.

καὶ ἡ ἔνδον κατὰ διάνοιαν τὴν διὰ τῶν χειλέων· ὁ γὰρ τότε μόνον προσεύχεσθαι βουλόμενος, ἡνίκ' ἂν εἰς τὸν τοῦ Θεοῦ ναὸν παραγένηται, οἴκοι δὲ κάν ταῖς ὁδοῖς καὶ ταῖς ἀγοραῖς μηδεμίαν φροντίδα προσευχῆς ποιούμενος, οὐδ' ἡνίκα πάρεστι τῷ τοῦ Θεοῦ ναῷ ἀληθῶς ὑπάρχει προσευχόμενος.

8 Ταῦτα δείκνυσι καὶ ὁ μετὰ τὸ εἰπεῖν, «ἑτοίμη ἡ καρδία μου ὁ Θεός», ἐπενεγκών, «ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου», καὶ ἀλλαχοῦ· «εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ». Ἀλλὰ καὶ «ὅταν νηστεύητε», φησί, «μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν· σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψον, ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ Πατήρ σου ὁ βλέπων σε ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ».

9 Βαβαὶ τῆς ἀνεικάστου φιλανθρωπίας! Τὴν γὰρ ἐπὶ τῆς μελλούσης κρίσεως ἐσομένην διάκρισίν τε καὶ ἀπόφασιν αὐτοῦ, διὰ τῶν ῥημάτων τούτων ἀρτίως ἡμῖν ὁ Κύριος ἐφανέρωσεν, ἵν' ἡμεῖς τῆς κρείττονος ψήφου τε καὶ μοίρας ἐντεῦθεν ἐπιλαβώμεθα. Πρὸς μὲν γὰρ τοὺς κατὰ κενοδοξίαν καὶ μὴ κατ' αὐτὸν ζῶντας ἐρεῖ τότε πάντως τοῖς νῦν εἰρημένοις ἀκολούθως· ἀπελάβετε τὸν μισθὸν ὑμῶν ἐν τῇ ζωῇ ὑμῶν, ὡς καὶ ὁ Ἀβραὰμ πρὸς τὸν ἐν τῇ φλογὶ πλούσιον ἐκεῖ-

14. Ψαλμ. 56,10.
15. Ψαλμ. 62,7.

τήν προσευχή πρός τόν Θεό στήν ἐκκλησία, καί ἡ ἐσωτερική κατά τή διάνοια ἐνισχύει τήν διά τῶν χειλέων. Διότι ἐκεῖνος πού θέλει νά προσεύχεται τότε μόνο, ὅταν ἔλθη στόν ναό τοῦ Θεοῦ, δέν φροντίζει δέ καθόλου γιά τήν προσευχή στόν οἶκο καί στούς δρόμους καί στίς ἀγορές, στήν πραγματικότητα δέν προσεύχεται οὔτε ὅταν εὑρίσκεται στόν ναό τοῦ Θεοῦ.

8 Αὐτά δεικνύει κι' ἐκεῖνος πού μετά τό «ἕτοιμη εἶναι ἡ καρδιά μου, Θεέ», προσέθεσε, «θά μελωδήσω καί θά ψάλω κατά τήν δόξα μου»[14], καί ἀλλοῦ· «ἐνῶ σ' ἐμνημόνευα στό στρῶμα μου, στόν ὄρθρο σέ διαλογιζόμουν»[15]. Ἀλλά καί «ὅταν νηστεύετε», λέγει, «μή γίνεσθε σάν οἱ ὑποκριταί σκυθρωποί· διότι αὐτοί ἀσχημίζουν τά πρόσωπά τους γιά νά φανοῦν στούς ἀνθρώπους ὅτι νηστεύουν· ἀληθινά σᾶς λέγω ὅτι ἔχουν λάβει ἔτσι τόν μισθό τους· ἐσύ, ὅταν νηστεύης, νά ἀλείψης τήν κεφαλή σου καί νά νίψης τό πρόσωπό σου, γιά νά μή φανῆς ὅτι νηστεύεις στούς ἀνθρώπους, ἀλλά στόν Πατέρα σου πού ἐνεργεῖ στά κρυφά, καί ὁ Πατέρας σου πού σέ βλέπει στά κρυφά θά σοῦ ἀποδώση στά φανερά»[16] .

9 Πόσο ἀπερίγραπτη εἶναι ἡ φιλανθρωπία σου! Διότι μέ τά λόγια αὐτά τώρα ὁ Κύριος μᾶς ἐφανέρωσε τήν διάκρισι καί ἀπόφασί του πού θά ἐκδηλωθῆ κατά τήν μέλλουσα κρίσι, γιά νά ἀποκτήσωμε ἀπό τώρα ἐμεῖς τήν κερδισμένη ψῆφο καί μοῖρα. Πραγματικά πρός ἐκείνους πού ζοῦν κατά τήν κενοδοξία καί ὄχι κατ' αὐτόν θά εἰπῆ τότε ὁπωσδήποτε ὁ Κύριος σύμφωνα μέ τά τώρα λεχθέντα· ἐπήρατε τό μισθό σας στή διάρκεια τῆς ζωῆς σας, ὅπως ἔλεγε ὁ Ἀβραάμ πρός τόν πλούσιο ἐκεῖνον τῆς παραβολῆς πού εὑρισκόταν στήν φλόγα· «ἐπῆρες τά ἀγαθά σου στή

16. Ματθ. 6,16.

νον ἔλεγεν· «ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου». Τοῖς δὲ πρὸς αὐτὸν βλέπουσιν ἐν τῷ πρὸς ἀρετὴν ἀσκεῖν ἀποδώσει ἐν τῷ φανερῷ», φησί, τουτέστιν ἐν τῷ παγκοσμίῳ ἐκείνῳ θεάτρῳ εὐλογίαν καὶ κληρονομίαν καὶ τρυφὴν ἀντιδώσει καὶ ἀπόλαυσιν ἀκήρατον καὶ διαιωνίζουσαν· ἧς μηδένα θέλων ἀποτυχεῖν ὁ θέλων πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, φανεροῖ νῦν, ὡς ἔφην, τὴν ἀδέκαστον ταύτην καὶ ἀμετάθετον ψῆφον, υἱοὺς εἶναι Θεοῦ μόνους ἐνταῦθα δεικνὺς τοὺς τῆς ἀνθρωπίνης δόξης ὑπερορῶντας.

10 *Διὰ τοῦτο γὰρ καὶ τὸν λόγον ἐνικῶς προήγαγεν ἐπ' ἀμφοτέρων, εἰπών· «ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ»· ἵνα τοὺς μὲν καταφρονητὰς τῆς κενῆς καὶ ἀνθρωπίνης δόξης υἱοποιητούς τε καὶ συγκληρονόμους καὶ δείξῃ καὶ ποιήσῃ ἑαυτῷ· τοὺς δὲ μὴ τοιούτους ἐκβάλῃ τῆς υἱοθεσίας, εἰ μὴ μεταμεληθεῖεν. Τοιαῦτα δέ φησιν ὁ Κύριος, ἵνα μὴ πρὸς τοὺς τῶν ἀνθρώπων ὀφθαλμοὺς ὁρῶντες οἱ προσευχόμενοι καὶ οἱ νηστεύοντες, παρ' ὧν οὐδὲν ἐπὶ τούτοις ὄφελος, τὸν μὲν τῆς νηστείας καὶ τῆς προσευχῆς κόπον ὑπομένωμεν, τοῦ δὲ μισθοῦ στερώμεθα. Ἀλείφειν δὲ τὴν κεφαλήν φησι καὶ νίπτειν τὸ πρόσωπον, τουτέστι μὴ ὠχριᾶν ἐπιτηδεύειν, μηδὲ αὐχμηρὰν εἶναι καὶ κατάξηρον τὴν κεφαλήν, ὡς ἐξ ἐπιτεταμένης νηστείας καὶ τῆς ἐπὶ τὸ σῶμα καταφρονήσεως δοκεῖν τοιαῦτα παθεῖν, καὶ οὕτω τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον θηρᾶσθαι· τοιαῦτα γὰρ φανητιῶντες ἐποίουν οἱ Φαρισαῖοι, διὸ καὶ τῆς κατὰ Χριστὸν ἐκκλησίας δικαίως ἠλλοτριώθησαν, οἷς ἡμᾶς ἀφομοιοῦσθαι καθάπαξ ἀπαγορεύει ὁ Κύριος.*

17. Λουκᾶ 16,25.

ζωή σου»[17]. Σ' αὐτούς δέ πού μέ τήν ἄσκησι τῆς ἀρετῆς προσβλέπουν πρός αὐτόν θ' ἀποδώση στά φανερά, λέγει, δηλαδή στό παγκόσμιο ἐκεῖνο θέατρο θ' ἀνταποδώση εὐλογία, κληρονομία, τρυφή καί ἀπόλαυσι ἀγνή καί αἰωνία. Αὐτός πού θέλει νά σωθοῦν ὅλοι καί νά ἔλθουν σ' ἐπίγνωσι τῆς ἀληθείας, μή ἐπιθυμώντας νά ἀστοχήση κανείς ἀπό αὐτήν τήν κληρονομία, φανερώνει τώρα, ὅπως εἶπα, αὐτήν τήν ἀδέκαστη καί ἀμετάκλητη ἀπόφασι, δεικνύοντας ἐδῶ ὅτι υἱοί Θεοῦ εἶναι μόνο ὅσοι περιφρονοῦν τήν ἀνθρώπινη δόξα.

10 Γι' αὐτό καί γιά τούς δύο ἐχρησιμοποίησε τόν λόγο στόν ἑνικό, λέγοντας· «ὁ Πατέρας σου πού βλέπει στά κρυφά, θά σοῦ ἀποδώση στά φανερά», ἔτσι ὥστε τούς μέν καταφρονητάς τῆς ἀνθρωπίνης δόξας νά καταστήση καί δείξη υἱοποιητούς καί συγκληρονόμους του, τούς ἄλλους δέ νά ἐκβάλη ἀπό τήν υἱοθεσία, ἄν δέν μεταμεληθοῦν. Λέγει δέ αὐτά τά πράγματα ὁ Κύριος, γιά νά μή ἀποβλέπωμε πρός τούς ὀφθαλμούς τῶν ἀνθρώπων οἱ προσευχόμενοι καί νηστεύοντες, ἀπό τούς ὁποίους δέν ὑπάρχει κανένα ὄφελος γι' αὐτά, καί ἔτσι, ἐνῶ ὑπομένομε τόν κόπο τῆς νηστείας καί τῆς προσευχῆς, νά στερηθοῦμε τοῦ μισθοῦ. Λέγει δέ νά ἀλείφωμε τήν κεφαλή μέ ἀρώματα καί νά νίπτωμε τό πρόσωπο, δηλαδή νά μή προκαλοῦμε τεχνητή ὠχρότητα οὔτε νά ἔχωμε στεγνή καί κατάξηρη τήν κεφαλή, ὥστε νά φαίνεται ὅτι ἐπάθαμε τοῦτο ἀπό τήν ἐπιτεταμένη νηστεία καί τήν καταφρόνησι πρός τό σῶμα κι' ἔτσι νά ἐπιδιώκωμε τόν ἔπαινο ἀπό τούς ἀνθρώπους. Τέτοια ἔκαμαν ἀπό κενοδοξία οἱ Φαρισαῖοι, καί γι' αὐτό δικαίως ἀποξενώθηκαν ἀπό τήν κατά Χριστό Ἐκκλησία· νά ὁμοιάσωμε μέ αὐτούς μᾶς ἀπαγορεύει τελείως ὁ Κύριος.

11 *Εἰ δὲ καὶ κεφαλὴν τῆς ψυχῆς ἀναγωγικῶς τις ἐρεῖ τὸν νοῦν ὡς ἡγεμονικὸν καὶ πρόσωπον τὸ ταύτης φανταστικόν, ἐν ᾧ τῶν κατὰ τὰς αἰσθήσεις ἐνεργειῶν ἔμμονός ἐστιν ἡ ἕδρα, καλὸν νηστεύοντας ἡμᾶς ἀλείφειν ἐλαίῳ τὴν κεφαλήν, τοὐτεστιν ἐλεήμονα ποιεῖν τὸν ἡμέτερον νοῦν, καὶ τὸ πρόσωπον ἡμῶν, δηλονότι τὸ φανταστικόν, νίπτειν ἀπὸ αἰσχρῶν καὶ ἀκαθάρτων λογισμῶν καὶ θυμοῦ καὶ πονηρίας πάσης· ἡ γὰρ τοιαύτη καὶ οὕτως ἐκτελουμένη νηστεία, οὐ τὰ πονηρὰ πάθη πάντα μόνον, καὶ σὺν τούτοις τοὺς ἐφόρους καὶ δημιουργοὺς τῶν τοιούτων παθῶν φυγαδεύει καὶ καταισχύνει δαίμονας, ἀλλὰ καὶ τοῖς ἀγαθοῖς ἀγγέλοις ἐγκαταλέγει τοὺς νηστεύοντας, πρὸς αὐτοὺς ἐπιστρέφουσα ἐκείνους καὶ φύλακας εἶναι τούτων παρασκευάζουσα καὶ βοηθεῖν ἀναπείθουσα καὶ συμπράττειν αὐτοῖς.*

12 *Οὕτω τοῖς τρισί ποτε νεανίαις ἐπὶ τῆς Βαβυλῶνος ἐγκρατείᾳ τε καὶ νηστείᾳ κεκοσμημένοις, συνὼν ἐν μέσῃ φλογὶ καὶ ὁ τέταρτος ἑωρᾶτο, περιέπων ἀσινεῖς καὶ δροσίζων παραδόξως αὐτούς. Οὕτω πολυήμερον νηστείαν ἄγοντι τῷ Δανιήλ, ἄγγελος ἐπέστη σοφίζων αὐτὸν καὶ προκαταγγέλλων αὐτῷ τὰ μέλλοντα. Οὕτως ἄλλοτε τούτῳ προσευχῇ καὶ νηστείᾳ στόματα λεόντων φιμώσαντι προφήτην διαέριον ἐκόμισεν ἄγγελος ἐκ πολλοῦ διαστήματος τροφὴν ἐπιφερόμενον. Οὕτω καὶ ἡμῖν πνευματικὴν ἅμα καὶ σωματικὴν νηστείαν ἀσκοῦσι καὶ προσευχομένοις, ἀγγέλων ἀγαθῶν συνεργείᾳ τὸ πῦρ τῆς σαρκικῆς ἐπιθυμίας κατασβεσθήσεται καὶ ὁ θυμὸς ὡς λέων ἡμερωθήσεται καὶ προφητικῆς ἐν μεθέξει γενησόμεθα τροφῆς, τῇ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι καὶ πίστει καὶ τῇ κατὰ νοῦν*

18. Δαν. 3,25 ἑξ.
19. Δαν. 9,1 ἑξ.

11 Ἐάν δέ χαρακτηρίση κανείς τόν νοῦ ἀλληγορικῶς κεφαλή τῆς ψυχῆς ὡς ἡγεμονικόν καί τό φανταστικό πρόσωπό της, στό ὁποῖο ὑπάρχει ἡ μόνιμη ἕδρα τῶν ἐνεργειῶν πού προέρχονται ἀπό τίς αἰσθήσεις, εἶναι καλό ὅταν νηστεύωμε νά ἀλείφωμε τήν κεφαλή μέ ἔλαιο, δηλαδή νά καθιστοῦμε τόν νοῦ μας ἐλεήμονα, καί νά νίπτωμε τό πρόσωπό μας, δηλαδή τό φανταστικό, ἀπό αἰσχρούς καί ἀκαθάρτους λογισμούς, ἀπό θυμό καί κάθε πονηρία. Τέτοια νηστεία, ὅταν ἐκτελῆται ἔτσι, φυγαδεύει ὄχι μόνο ὅλα τά πονηρά πάθη καί μαζί μέ αὐτά τούς ἐπόπτες καί δημιουργούς τέτοιων παθῶν δαίμονες, καταισχύνοντάς τους, ἀλλά καί συγκαταλέγει τούς νηστεύοντας στούς ἀγαθούς ἀγγέλους, στρέφοντάς τους πρός ἐκείνους κι' ἑτοιμάζοντάς τους νά εἶναι φύλακες τούτων καί πείθοντάς τους νά βοηθοῦν καί συμπράττουν μέ αὐτούς.

12 Παλαιά μέ τούς τρεῖς νεαρούς στήν Βαβυλῶνα, τούς στολισμένους μέ τέτοια ἐγκράτεια καί νηστεία, ἐφαινόταν νά συνευρίσκεται μέσα στή φλόγα καί ὁ τέταρτος, διατηρῶντας τους ἀσφαλεῖς καί δροσίζοντάς τους μέ τρόπο παράδοξο[18]. Στόν Δανιήλ πού ἐκρατοῦσε πολυήμερη νηστεία μέ τέτοιον τρόπο, παρουσιάσθηκε ἄγγελος πού τόν ἐφώτιζε καί τοῦ προανήγγειλε τά μέλλοντα[19]. Ἄλλοτε στόν ἴδιον, πού μέ τέτοια προσευχή καί νηστεία ἔκλεισε τά στόματα λεόντων, ὁ ἄγγελος προσήγαγε ἐναέριον προφήτη ἀπό πολύ μακριά, πού τοῦ ἔφερε τροφή[20]. Καί σέ μᾶς, ὅταν κρατοῦμε τέτοια νηστεία πνευματική καί σωματική μαζί καί προσευχώμαστε, μέ τήν συνέργεια ἀγαθῶν ἀγγέλων θά σβησθῆ τό πῦρ τῆς σαρκικῆς ἐπιθυμίας καί ὁ θυμός θά ἡμερωθῆ σάν λέων, θά μετάσχωμε προφητικῆς τροφῆς μέ τήν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν καί τήν πίστι καί τήν νοερά

20. Δανιήλ, Βήλ καί Δράκων 33 ἑξ.

θεωρίᾳ, καὶ ἐξέσται ἡμῖν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

13 Ἡ δὲ μὴ τοιαύτη καὶ οὕτως ἐκτελουμένη νηστεία πρὸς τοὺς πονηροὺς ἀγγέλους μᾶλλον τὴν συγγένειαν ἔχει· καὶ γὰρ τούτων ἐστὶν ἡ ἀτροφία μετ' ὀργῆς καὶ μίσους καὶ ὑπερηφανίας καὶ τῆς πρὸς τὸν Θεὸν ἀντιθέσεως, πρὸς οὓς ἡμεῖς ὡς δοῦλοι καὶ ὑπηρέται τοῦ ἀγαθοῦ ἀντικείμεθα· «οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα φησὶν ὁ ἀπόστολος, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. Οὔκουν ἁπλῶς ἡμῖν διὰ νηστείας πρὸς αὐτοὺς ἡ ἀντίθεσις, ἀλλὰ χρήζομεν πρὸς φυλακὴν ἡμετέραν καὶ τοῦ θώρακος τῆς δικαιοσύνης, καὶ τῆς περικεφαλαίας τῆς σωτηρίου ἐλεημοσύνης, καὶ τοῦ θυρεοῦ τῆς πίστεως· ἔτι δὲ καὶ τῆς ἱκανωτάτης πρὸς ἄμυναν μαχαίρας τοῦ Πνεύματος, ἥτις ἐστὶν ὁ πρὸς ἡμᾶς τοῦ Θεοῦ σωτήριος λόγος· οὕτω γὰρ ἀγωνισώμεθα τὸν καλὸν ἀγῶνα καὶ τὴν πίστιν βεβαίαν τηρήσωμεν καὶ πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσωμεν καὶ νικηταὶ διὰ πάντων ἀναφανέντες αὐτοῦ τῶν οὐρανίων καὶ ἀκηράτων ἐπιτευξώμεθα στεφάνων, τοῖς ἐν οὐρανοῖς ἀγγέλοις ἀϊδίως συνευφραινόμενοι, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν.

14 Ὧ πρέπει πᾶσα δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

θεωρία, καί θά μπορέσωμε νά πατοῦμε ἐπάνω σέ φίδια καί σκορπιούς καί ἐπάνω σέ ὅλη τήν δύναμι τοῦ ἐχθροῦ.

13 Ἡ δέ νηστεία πού δέν εἶναι τέτοια καί δέν ἐκτελεῖται μέ αὐτόν τόν τρόπο, ἔχει συγγένεια μᾶλλον πρός τούς πονηρούς ἀγγέλους· διότι αὐτῶν ἡ ἀτροφία συνοδεύεται ἀπό ὀργή καί μίσος, ἀπό ὑπερηφάνεια καί ἀντίθεσι πρός τόν Θεό. Πρός αὐτούς ἐμεῖς ὡς δοῦλοι καί ὑπηρέτες τοῦ ἀγαθοῦ εἴμαστε ἀντίθετοι· «διότι ἡ δική μας πάλη δέν εἶναι πρός αἷμα καί σάρκα», λέγει ὁ ἀπόστολος, «ἀλλά πρός τίς ἀρχές, πρός τίς ἐξουσίες, πρός τούς κοσμοκράτορες τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρός τά πνεύματα τῆς πονηρίας»[21]. Δέν εἶναι λοιπόν ἁπλῶς κατά τή νηστεία ἡ ἀντίθεσίς μας πρός αὐτούς, ἀλλά χρειαζόμαστε γιά τήν φύλαξί μας καί τόν θώρακα τῆς δικαιοσύνης, καί τήν περικεφαλαία τῆς σωτηριώδους ἐλεημοσύνης, καί τόν θυρεό τῆς πίστεως· ἐπίσης δέ καί τήν ἱκανωτάτη γιά τήν ἄμυνα μάχαιρα τοῦ Πνεύματος, πού εἶναι ὁ σωτήριος πρός ἐμᾶς λόγος τοῦ Θεοῦ. Διότι ἔτσι θ' ἀγωνισθοῦμε τόν καλόν ἀγῶνα, θά τηρήσωμε τήν πίστι βεβαία, θά σβήσωμε τά πυρωμένα βέλη τοῦ πονηροῦ καί, ἀφοῦ ἀποδειχθοῦμε νικηταί του σέ ὅλα, θά ἐπιτύχωμε τούς οὐρανίους καί ἀμαράντους στεφάνους, συνευφραινόμενοι ἀϊδίως μέ τούς ἀγγέλους στούς οὐρανούς ἐν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ.

14 Σ' αὐτόν πρέπει κάθε δόξα, κράτος, τιμή καί προσκύνησις, μαζί μέ τόν ἄναρχο Πατέρα του καί τό πανάγιο καί ἀγαθό καί ζωοποιό Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Γένοιτο.

21. Ἐφεσ. 6,12.

Ο ΑΓΙΟΣ ΙΩ Ο ΘΕΟΛΟΓΟΣ
ΠΡΟΧΟΡΟΣ



ΠΕΡΙ ΠΙΣΤΕΩΣ

Ἐν ᾗ καὶ τῆς κατ' εὐσέβειαν ὁμολογίας ἔκθεσις

ΟΜΙΛΙΑ Η'

ΠΕΡΙ ΠΙΣΤΕΩΣ

Ἐν ᾗ καὶ τῆς κατ' εὐσέβειαν ὁμολογίας ἔκθεσις

1 *ιστεύομεν εἰς τὸν Θεόν, καὶ πιστεύομεν τῷ Θεῷ ἕτερόν ἐστιν ἑκάτερον τούτων. Πιστεύειν μὲν γάρ ἐστι τῷ Θεῷ τὸ τὰς παρ' αὐτοῦ πρὸς ἡμᾶς ἐπαγγελίας βεβαίας καὶ ἀληθεῖς ἡγεῖσθαι, πιστεύειν δὲ εἰς τὸν Θεὸν τὸ περὶ αὐτοῦ φρονεῖν ὀρθῶς. Δεῖ δὲ καὶ ἀμφότερα ἡμᾶς ἔχειν καὶ κατ' ἀμφότερα ἡμᾶς ἀληθεύειν καὶ οὕτως ἔχειν, ὥστε καὶ πιστεύεσθαι παρὰ τῶν ἀσφαλῶς ὁρώντων καὶ πιστοὺς ἐνώπιον εἶναι τοῦ πρὸς ὃν ἡ πίστις Θεοῦ, καὶ ὡς πιστοὺς οὕτω παρ' αὐτοῦ δικαιοῦσθαι· «ἐπίστευσε γὰρ ὁ Ἀβραὰμ τῷ Θεῷ», φησί, «καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην». Πῶς οὖν ὁ Ἀβραὰμ*

ΟΜΙΛΙΑ 8

ΠΕΡΙ ΠΙΣΤΕΩΣ

Ὅπου παρατίθεται ἔκθεσις τῆς ὀρθόδοξης ὁμολογίας

1 
πιστεύομε στό Θεό, καί πιστεύομε τόν Θεό· ἄλλο τό ἕνα καί ἄλλο τό ἄλλο. Πραγματικά πιστεύω τόν Θεό σημαίνει ὅτι θεωρῶ βέβαιες κι' ἀληθινές τίς ἐπαγγελίες πού μᾶς ἔδωσε· πιστεύω δέ στόν Θεό σημαίνει ὅτι φρονῶ περί αὐτοῦ ὀρθῶς. Πρέπει δέ νά τά ἔχωμε καί τά δύο, νά εἴμαστε ἀληθινοί καί στά δύο καί νά συμπεριφερώμαστε ἔτσι, ὥστε καί νά πιστευώμαστε ἀπό ἐκείνους πού βλέπουν σωστά καί πιστοί νά εἴμαστε ἐνώπιον τοῦ Θεοῦ πρός τόν ὁποῖο ἀπευθύνεται ἡ πίστις, καί ὡς πιστοί ἀκριβῶς νά δικαιούμαστε ἀπό αὐτόν· «διότι», λέ-

πιστεύσας ἐδικαιώθη; Ἔλαβε παρὰ Θεοῦ ἐπαγγελίαν ἐν τῷ σπέρματι αὐτοῦ, ὅπερ ἦν ὁ Ἰσαάκ, εὐλογηθήσεσθαι πάσας τὰς φυλὰς τοῦ Ἰσραήλ· εἶτα ὑπὸ τοῦ Θεοῦ προστάττεται, παῖδα ἔτι ὄντα, θῦσαι τὸν Ἰσαὰκ δι' οὗ μόνου τὴν ἔκβασιν σχήσειν ἔμελλεν ἡ ἐπαγγελία· καὶ μηδὲν ἀντιπὼν ὁ πατήρ, αὐτόχειρ γενέσθαι τοῦ παιδὸς ἠπείγετο καὶ τὴν δι' αὐτοῦ ταύτην ἐπαγγελίαν βεβαίαν καὶ ἀδιάπτωτον ἡγεῖτο.

2 Βλέπετε τὴν δικαιοῦσαν πίστιν ὁποία; Ἀλλ' ἐπηγγείλατο καὶ ἡμῖν ὁ Χριστὸς ζωῆς ἀϊδίου καὶ τρυφῆς καὶ δόξης καὶ βασιλείας κληρονομίαν, εἶτα προσέταξε πτωχεύειν, νηστεύειν, εὐτελῶς καὶ τεθλιμμένως ζῆν, ἑτοίμους εἶναι πρὸς θάνατον, σταυροῦν ἑαυτοὺς σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Ἐὰν οὖν πρὸς ταῦτα σπεύδωμεν καὶ τῇ ἐπαγγελίᾳ ἐκείνῃ τοῦ Θεοῦ πιστεύωμεν, ὄντως ἐπιστεύσαμεν τῷ Θεῷ κατὰ τὸν Ἀβραάμ, καὶ λογισθήσεται ἡμῖν εἰς δικαιοσύνην.

3 Καὶ ὁρᾶτε τὴν ἀκολουθίαν τῶν προτεθέντων· οὐ μόνον γὰρ ἰσχυρὰ μαρτυρία καὶ παράστασις τῆς τοῦ Ἀβραὰμ πίστεως ἐγένετο τὸ συγκατατεθῆναι πρὸς σφαγὴν τὸν Ἰσαὰκ προθεῖναι, ἀλλὰ καὶ αἴτιον ὑπῆρξε τοῦτο τοῦ τὸν Χριστὸν ἐκ σπέρματος αὐτοῦ τεχθῆναι, δι' οὗ εὐλογήθησαν πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ἐπληρώθη ἡ ἐπαγγελία· τῷ γὰρ δόντι διὰ τὸν Θεὸν τὸν ἑαυτοῦ μονογενῆ τε καὶ γνήσιον υἱόν, ὀφειλέτης οἷον ὁ Θεὸς ἐγένετο δι' αὐτὸν καὶ τὴν πρὸς αὐτὸν ἐπαγγελίαν ἀντιδοῦναι τὸν ἑαυτοῦ μονογενῆ τε καὶ γνήσιον υἱόν. Οὕτω δὴ καὶ ἐν ἡμῖν, ἡ διὰ τὰς ἐντολὰς τοῦ Θεοῦ σωφροσύνη καὶ δικαιοσύνη καὶ ταπείνωσις, ὑπομονή τε τῶν ὁπωσδήποτε κακούν-

1. Ρωμ. 4,3.

γει, «ἐπίστευσε ὁ Ἀβραάμ καί τοῦτο ὑπολογίσθηκε γιά τήν δικαίωσί του»[1]. Πῶς λοιπόν πιστεύσας ἐδικαιώθηκε ὁ Ἀβραάμ; Ἔλαβε ἀπό τόν Θεό ὑπόσχεσι γιά τό σπέρμα του, πού ἦταν ὁ Ἰσαάκ, ὅτι θά εὐλογηθοῦν ὅλες οἱ φυλές τοῦ Ἰσραήλ. Ἔπειτα διατάσσεται ἀπό τόν Θεό νά θυσιάση, παιδί ἀκόμη, τόν Ἰσαάκ πού ἦταν ὁ μόνος διά τοῦ ὁποίου ἐπρόκειτο νά ἐκπληρωθῆ ἡ ὑπόσχεσις. Καί χωρίς ν' ἀντείπη τίποτε ὁ πατέρας, ἔσπευσε νά γίνη αὐτόχειρ τοῦ παιδιοῦ του, ἐνῶ ἐθεωροῦσε αὐτήν τήν δι' αὐτοῦ ὑπόσχεσι βέβαιη καί ἔγκυρη.

2 Βλέπετε ποιά εἶναι ἡ πίστις πού δικαιώνει; Ἀλλά ἐπαγγέλθηκε καί σέ μᾶς ὁ Χριστός κληρονομία ζωῆς ἀΐδιας καί τρυφῆς καί δόξης καί βασιλείας, ἐνῶ ἔπειτα παρήγγειλε νά πτωχεύωμε, νά νηστεύωμε, νά ζοῦμε μέ εὐτέλεια καί θλίψι, νά εἴμαστε ἕτοιμοι γιά θάνατο, νά σταυρώνωμε τούς ἑαυτούς μας μαζί μέ τά πάθη καί τίς ἐπιθυμίες. Ἐάν λοιπόν σπεύδωμε πρός αὐτά καί πιστεύωμε ἐκείνη τήν ἐπαγγελία τοῦ Χριστοῦ, πραγματικά ἐπιστεύσαμε τόν Θεό κατά τό παράδειγμα τοῦ Ἀβραάμ, καί τοῦτο θά ὑπολογισθῆ γιά τήν δικαίωσί μας.

3 Καί παρατηρήσατε τήν ἀκολουθία τῶν προτάσεων. Τό ὅτι δηλαδή ἐδέχθηκε νά προσφέρη γιά σφαγή τόν Ἰσαάκ δέν ἔγινε μόνο ἰσχυρά μαρτυρία καί ἀπόδειξις τῆς πίστεως τοῦ Ἀβραάμ, ἀλλά ὑπῆρξε καί αἴτιο τοῦ ὅτι ὁ Χριστός ἐγεννήθηκε ἀπό τό σπέρμα του, διά τοῦ ὁποίου εὐλογήθηκαν ὅλες οἱ φυλές τῆς γῆς κι' ἐκπληρώθηκε ἡ ἐπαγγελία. Διότι κατά κάποιον τρόπο ὁ Θεός ἔγινε ὀφειλέτης σ' αὐτόν πού ἔδωσε γιά τόν Θεό τόν μονογενῆ καί γνήσιο υἱό του· ὀφειλέτης ν' ἀντιδώση γι' αὐτόν καί τήν πρός αὐτόν ἐπαγγελία τόν δικό του μονογενῆ καί γνήσιο υἱό. Ἔτσι καί σέ μᾶς· ἡ χάρι τῶν ἐντολῶν τοῦ Θεοῦ σωφροσύνη καί δικαιοσύνη καί ταπείνωσις, ἡ ὑπομονή τῶν κάθε εἴδους κακώσεων καί μετάδοσις τῶν ἀγαθῶν, καθώς καί ἡ κακοπάθεια

των καὶ διάδοσις τῶν ὑπαρχόντων, ἥ τε τοῦ σώματος ἐν νηστείαις καὶ ἀγρυπνίαις κακοπάθεια, καὶ ἁπλῶς τὸ σταυροῦν ἑαυτοὺς σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, οὐ μόνον παράστασίς ἐστι τοῦ ἀληθῶς ἡμᾶς πιστεῦσαι ταῖς ἐπαγγελίαις τοῦ Χριστοῦ, ἀλλὰ καὶ ὀφειλέτην οἷον τὸν Θεὸν καθίστησι τοῦ τὴν ἀΐδιον καὶ ἀκήρατον ἡμῖν ζωὴν καὶ τρυφὴν καὶ δόξαν καὶ βασιλείαν ἀντιδοῦναι.

4 *Διὸ καὶ αὐτὸς πρὸς τοὺς μαθητὰς αὐτοῦ βλέπων ἔλεγε· μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν· μακάριοι οἱ πενθοῦντες· μακάριοι οἱ ἐλεήμονες· μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· καὶ οὐαὶ οἱ πλουτοῦντες, οὐαὶ οἱ γελῶντες, οὐαὶ οἱ ἐμπεπλησμένοι, οὐαὶ ὅταν καλῶς πάντες εἴπωσιν ὑμᾶς οἱ ἄνθρωποι. Ὁ τοίνυν μὴ πρὸς τὰ μακαριζόμενα βλέπων, ἀλλὰ πρὸς τὰ παρὰ τοῦ Κυρίου ταλανιζόμενα, πῶς εἰπέ μοι πιστευθήσεται πιστεύειν τῷ Θεῷ; «Δεῖξόν μοι», φησί, «τὴν πίστιν σου ἐκ τῶν ἔργων σου· καὶ τίς σοφός, δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ».*

5 *Ὅτι μὲν οὖν ἀληθῶς πιστεύομεν τῷ Θεῷ, τουτέστιν ἀληθεῖς καὶ βεβαίας καὶ ὅσον οὔπω παρεσομένας γινώσκομεν τὰς αὐτοῦ πρὸς ἡμᾶς ἐπαγγελίας ἢ καὶ ἀπειλάς, διὰ τῶν ἡμετέρων ἀγαθῶν ἔργων δείκνυται καὶ τῆς τῶν θείων ἐντολῶν τηρήσεως. Ὅτι δὲ ὀρθῶς πιστεύομεν εἰς τὸν Θεόν, τουτέστι καλῶς καὶ ἀσφαλῶς καὶ εὐσεβῶς φρονοῦμεν περὶ αὐτοῦ, πόθεν ἡμῖν ἡ παράστασις; ἀπὸ τῆς πρὸς τοὺς θεοφόρους πατέρας ἡμῶν ὁμολογίας. Ὥσπερ δὲ τὸ ἀψευδῶς πιστεύειν τῷ Θεῷ, οὐ μόνον ἔχει τὴν ἀπὸ τῶν τῆς σαρκὸς πα-*

2. Ματθ. 5,3.
3. Λουκᾶ 6,24-26.

τοῦ σῶματος μέ νηστεῖες καί ἀγρυπνίες καί γενικῶς τό νά σταυρῶνωμε τούς ἑαυτούς μας μαζί μέ τά παθήματα καί τίς ἐπιθυμίες, ὄχι μόνο εἶναι ἀπόδειξις ὅτι πιστεύομε ἀληθινά στίς ἐπαγγελίες τοῦ Χριστοῦ, ἀλλά καί καθιστᾶ κατά κάποιον τρόπο τόν Θεόν ὀφειλέτη νά ἀντιπροσφέρη σέ μᾶς τήν ἀΐδια καί ἄφθαρτη ζωή καί τρυφή, τήν δόξα καί βασιλεία.

4 Γι' αὐτό καί ὁ ἴδιος, ἀπευθυνόμενος πρός τούς μαθητάς του, ἔλεγε· μακάριοι εἶναι οἱ πτωχοί διότι δική σας εἶναι ἡ βασιλεία τῶν οὐρανῶν· μακάριοι οἱ πενθοῦντες, μακάριοι οἱ ἐλεήμονες, μακάριοι οἱ διωκόμενοι γιά τήν δικαιοσύνη[2]· καί, ἀλλοίμονο στούς πλουσίους, ἀλλοίμονο στούς γελῶντας, ἀλλοίμονο στούς χορτασμένους, ἀλλοίμονό σας ὅταν ὅλοι οἱ ἄνθρωποι σᾶς κολακεύουν[3]. Αὐτός λοιπόν πού ἀποβλέπει ὄχι πρός τά μακαριζόμενα ἀπό τόν Κύριο, ἀλλά πρός τά ταλανιζόμενα, εἰπέ μου, πῶς θά πιστευθῆ ὅτι ἐμπιστεύεται τόν Θεό; «Δεῖξε μου», λέγει, «τήν πίστι σου ἀπό τά ἔργα σου»[4], καί «ὅποιος εἶναι σοφός, ἄς δείξη τά ἔργα του ἀπό τήν καλή συμπεριφορά»[5].

5 Ὅτι λοιπόν πιστεύομε ἀληθινά τόν Θεό, δηλαδή ἀναγνωρίζομε ἀληθινές καί βέβαιες τίς ἐπαγγελίες ἤ ἀπειλές του πρός ἐμᾶς, καί περιμένομε νά ἐκδηλωθοῦν γρήγορα, δεικνύεται διά τῶν ἀγαθῶν μας ἔργων καί τῆς τηρήσεως τῶν θείων ἐντολῶν. Ὅτι δέ ὀρθῶς πιστεύομε στόν Θεό, δηλαδή καλῶς καί ἀσφαλῶς καί εὐσεβῶς φρονοῦμε γι' αὐτόν, ἀπό ποῦ προέρχεται ἡ ἀπόδειξις; Ἀπό τήν συμφωνία πρός τούς θεοφόρους πατέρες μας. Ὅτι δέ τό νά ἐμπιστευώμαστε ἀδιαψεύστως τόν Θεό προκαλεῖ τήν ἀντίθεσι ὄχι μόνο ἀπό τά πάθη τῆς σαρκός καί ἀπό

4. Ἰακ. 2,18.
5. Ἰακ. 3,13.

θῶν καὶ τὴν ἀπὸ τῶν τοῦ πονηροῦ παγίδων ἐναντίωσιν, ἀλλὰ καὶ τὴν ἀπὸ τῶν ἐμπαθῶν ἀνθρώπων, θελγόντων καὶ συγκαθελκόντων εἰς τὰς οὐ καλὰς ἡδονάς, οὕτω καὶ τὸ πιστεύειν ὀρθῶς εἰς τὸν μόνον ἀληθῆ Θεόν, οὐ μόνον ἔχει τὴν ἀπὸ τῆς ἀγνοίας καὶ τὴν ἀπὸ τῶν ὑποβολῶν τοῦ ἀντικειμένου ἐναντίωσιν, ἀλλὰ καὶ τὴν ἀπὸ τῶν δυσσεβῶν ἀνθρώπων κλεπτόντων καὶ συγκατασπώντων εἰς τὴν οἰκείαν ἀπώλειαν. Καὶ βοήθεια δὲ μεγίστη πρόσεστιν ἐφ' ἑκατέρας πίστεως, οὐ μόνον παρ' αὐτοῦ τε τοῦ Θεοῦ καὶ τῆς ἐξ αὐτοῦ δεδομένης ἡμῖν γνωστικῆς δυνάμεως, ἀλλὰ καὶ παρὰ τῶν ἀγαθῶν ἀγγέλων, καὶ τῶν θεοσεβῶν καὶ ζώντων κατὰ Θεὸν ἀνθρώπων.

6 Διὰ τοῦτο καὶ ἡ πνευματικὴ καὶ κοινὴ μήτηρ καὶ τροφὸς ἡμῶν, ἡ Ἐκκλησία τοῦ Χριστοῦ, σήμερον ἀριδηλότερον ἅμα καὶ κοινότερον τήν τε ἀνακήρυξιν ποιεῖται τῶν ἐπ' εὐσεβείᾳ καὶ ἀρετῇ λαμψάντων καὶ τῶν πανιέρων κατ' αὐτοὺς συνόδων καὶ τῶν κατ' αὐτὰς θείων δογμάτων, καὶ τὴν ἀποκήρυξιν κεφαλαιωδέστερον τῶν σπουδαστῶν τῆς δυσσεβείας καὶ τῶν πονηρῶν κατ' αὐτοὺς σπουδασμάτων τε καὶ φρονημάτων, ἵνα τούτους μὲν ἡμεῖς ἀποτρεπόμενοι, τοῖς δὲ κατὰ Θεὸν φρονήσασιν ἑπόμενοι, πιστεύωμεν εἰς ἕνα Θεόν, Πατέρα Υἱὸν καὶ Πνεῦμα ἅγιον, ἐξ οὗ καὶ δι' οὗ καὶ ἐν ᾧ τὰ πάντα γέγονεν, ὅς ἐστι πρὸ πάντων καὶ ἐπὶ πάντων καὶ ἐν πᾶσι καὶ ὑπὲρ τὸ πᾶν, μονὰς ἐν τριάδι, καὶ τριὰς ἐν μονάδι, ἀσυγχύτως ἑνουμένη, καὶ ἀμερίστως διαιρουμένη· μονὰς ἡ αὐτὴ καὶ τριὰς παντοδύναμος.

7 Πατὴρ ἄχρονος καὶ ἄναρχος καὶ ἀΐδιος, μόνος αἰτία καὶ ῥίζα τῆς ἐν Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεωρουμένης θεότητος· οὐ μόνος δημιουργός, ἀλλὰ μόνος ἑνὸς Υἱοῦ Πατὴρ καὶ Πνεύματος ἑνὸς ἁγίου

τίς παγίδες τοῦ πονηροῦ, ἀλλά καί ἀπό τούς ἐμπαθεῖς ἀνθρώπους, πού θέλγουν καί παρασύρουν κάτω πρός τίς ἐμπαθεῖς ἡδονές, ἔτσι καί τό νά πιστεύωμε ὀρθῶς στόν μόνο ἀληθινό Θεό προκαλεῖ τήν ἀντίθεσι ὄχι μόνο ἀπό τήν ἄγνοια καί ἀπό τίς ὑποβολές τοῦ Ἀντικειμένου, ἀλλά καί ἀπό τούς δυσσεβεῖς ἀνθρώπους πού τόν ἁρπάζουν καί τόν ρίπτουν μαζί τους κάτω πρός τήν δική τους ἀπώλεια. Εἶναι ὅμως στή διάθεσί μας, γιά κάθε μιά ἀπό τίς περιπτώσεις, μεγάλη βοήθεια, ὄχι μόνο ἀπό τόν ἴδιο τόν Θεό καί τήν ἀπό αὐτόν δοσμένη σ' ἐμᾶς γνωστική δύναμι, ἀλλά καί ἀπό τούς ἀγαθούς ἀγγέλους καί ἀπό τούς θεοσεβεῖς ἀνθρώπους πού ζοῦν κατά τό θέλημα τοῦ Θεοῦ.

6 Γι' αὐτό ἡ πνευματική καί κοινή μητέρα καί τροφός μας, ἡ Ἐκκλησία τοῦ Χριστοῦ, σήμερα ἀφ' ἑνός μέν ἀντικηρύσσει ὁλοφανέστερα καί δημοσιώτερα αὐτούς πού ἔλαμψαν κατά τήν εὐσέβεια καί ἀρετή καί τίς πανίερες συνόδους των καί τά θεῖα δόγματα πού διατυπώθηκαν σ' αὐτές, ἀφ' ἑτέρου δέ ἀποκηρύσσει ἐπισημότερα τούς ὀπαδούς τῆς δυσσεβείας καί τά πονηρά διδάγματα καί φρονήματά τους· ἔτσι ὥστε ἐμεῖς αὐτούς μέν ἀποστρεφόμενοι, τούς δέ ὀρθοδόξους ἀκολουθώντας, νά πιστεύωμε σ' ἕνα Θεό, Πατέρα, Υἱό καί ἅγιο Πνεῦμα, ἀπό τόν ὁποῖο καί διά τοῦ ὁποίου καί στόν ὁποῖο ἔγιναν τά πάντα, ὁ ὁποῖος ὑπάρχει πρίν ἀπό ὅλα καί ἐπάνω σέ ὅλα καί μέσα σέ ὅλα καί ὑπεράνω τοῦ παντός, μονάς σέ τριάδα καί τριάς σέ μονάδα, ἀσυγχύτως ἑνουμένη καί ἀμερίστως διαιρουμένη· μονάς ἡ ἴδια καί τριάς παντοδύναμη.

7 Εἶναι Πατήρ ἄχρονος καί ἄναρχος καί ἀΐδιος, μόνος αἰτία καί ρίζα τῆς θεότητος πού ἐνυπάρχει στόν Υἱό καί στό ἅγιο Πνεῦμα· ὄχι μόνος δημιουργός, ἀλλά μόνος Πατήρ ἑνός Υἱοῦ καί μόνος προβολεύς ἑνός ἁγίου Πνεύματος· πάντοτε ὤν καί

προβολεύς· ἀεὶ ὢν καὶ ἀεὶ ὢν Πατὴρ καὶ ἀεὶ ὢν μόνος Πατήρ τε καὶ προβολεύς.

8 Οὗ Υἱὸς εἷς συναΐδιος αὐτῷ καὶ κατὰ χρόνον συνάναρχος· οὐκ ἄναρχος δέ, ὡς γεννήτορα καὶ ρίζαν καὶ πηγὴν καὶ ἀρχὴν ἔχων τὸν Πατέρα, ἐξ οὗ μόνου πρὸ πάντων τῶν αἰώνων ἀσωμάτως, ἀπαθῶς, ἀρρεύστως, γεννητῶς προῆλθεν, ἀλλ' οὐ διῃρέθη· Θεὸς ὢν ἐκ Θεοῦ, οὐκ ἄλλος μέν, καθὸ Θεός, ἄλλος δὲ καὶ Υἱός· ἀεὶ ὢν καὶ ἀεὶ ὢν Υἱὸς καὶ ἀεὶ πρὸς τὸν Θεὸν ἀσυγχύτως ὤν· λόγος ζῶν, φῶς ἀληθινόν, ἐνυπόστατος σοφία, αἰτία καὶ ἀρχὴ τῶν γεγονότων πάντων, ὡς δι' αὐτοῦ πάντων γεγονότων· ὃς ἐπὶ συντελείᾳ τῶν αἰώνων, καθάπερ οἱ προφῆται προηγεόρευσαν, ἑαυτὸν ἐκένωσε, μορφὴν τὴν καθ' ἡμᾶς δι' ἡμᾶς λαβών, καὶ ἐκ τῆς ἀειπαρθένου Μαρίας εὐδοκίᾳ τοῦ Πατρὸς καὶ συνεργίᾳ τοῦ ἁγίου Πνεύματος κυηθεὶς καὶ γεννηθεὶς καὶ ὡς ἀληθῶς ἐνανθρωπήσας γέγονεν ὅμοιος ἡμῖν κατὰ πάντα, χωρὶς ἁμαρτίας, μείνας ὅπερ ἦν Θεὸς ἀληθινὸς ἐν μιᾷ ὑποστάσει καὶ μετὰ τὴν ἐνανθρώπησιν· ἐνεργῶν τὰ θεῖα πάντα ὡς Θεὸς καὶ τὰ ἀνθρώπινα πάντα ὡς ἄνθρωπος, καὶ τοῖς ἀδιαβλήτοις ἀνθρωπίνοις ὑποκείμενος πάθεσιν· ἀπαθὴς μὲν καὶ ἀθάνατος ὢν καὶ διαμένων ὡς Θεός, ἑκὼν δὲ δι' ἡμᾶς σαρκὶ παθὼν ὡς ἄνθρωπος καὶ σταυρωθεὶς καὶ θανὼν καὶ ταφεὶς καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστὰς καὶ διὰ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως αὐτοῦ καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου· καὶ μετὰ τὴν ἀνάστασιν ἐπιφανεὶς καὶ εἰς τὸν οὐρανὸν ἀναληφθεὶς καὶ καθίσας ἐκ δεξιῶν τοῦ Πατρός, ὁμότιμον καὶ ὁμόθρονον, ὡς ὁμόθεον ποιήσας τὸ ἡμέτερον φύραμα, μεθ' οὗ πάλιν φυράματος ἥξειν μετὰ δόξης μέλλει κρῖναι ζῶντας καὶ νεκρούς, πρὸς ζωὴν ἐπανελθόντας τῇ δυνάμει τῆς αὐτοῦ παρουσίας, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Τοῦτο καὶ ἡμεῖς τὸ παρ'

πάντοτε ὤν Πατήρ καί πάντοτε ὤν μόνος Πατήρ καί μόνος προβολεύς.

8 Τοῦ ὁποίου ἕνας εἶναι Υἱός, συναΐδιος μέ αὐτόν καί χρονικῶς συνάναρχος· ὄχι ἄναρχος δέ, διότι ἔχει γεννήτορα καί ρίζα, πηγή καί ἀρχή τόν Πατέρα, ἀπό τόν ὁποῖο μόνον προῆλθε πρίν ἀπό ὅλους τούς αἰῶνες ἀσωμάτως, ἀπαθῶς, ἀρρεύστως, γεννητῶς, ἀλλά δέν διαιρέθηκε· πού εἶναι Θεός ἀπό Θεό, ὄχι ἄλλος κατά τό ὅτι εἶναι Θεός καί ἄλλος κατά τό ὅτι εἶναι Υἱός· πάντοτε ὤν καί πάντοτε ὤν Υἱός καί πάντοτε ὤν ἀσυγχύτως πρός τόν Θεό· λόγος ζωντανός, φῶς ἀληθινό, ἐνυπόστατος σοφία, αἰτία καί ἀρχή ὅλων τῶν δημιουργημάτων, ἀφοῦ ὅλα αὐτά ἔγιναν δι' αὐτοῦ· αὐτός ἐκένωσε τόν ἑαυτό του χάριν τῆς συντελείας τῶν αἰώνων, ὅπως προεῖπαν οἱ προφῆτες, παίρνοντας γιά μᾶς τήν δική μας μορφή, καί, ἀφοῦ ἐκυοφορήθηκε ἀπό τήν ἀειπάρθενη Μαρία μ' εὐδοκία τοῦ Πατρός καί συνεργία τοῦ ἁγίου Πνεύματος, ἐγεννήθηκε κι' ἐνανθρώπησε ἀληθινά, ἔγινε ὅμοιος μ' ἐμᾶς καθ' ὅλα, πλήν τῆς ἁμαρτίας, ἐνῶ ἔμεινε ὅ,τι ἦταν, Θεός ἀληθινός σέ μιά ὑπόστασι καί μετά τήν ἐνανθρώπησι, ἐνεργῶν ὅλα τά θεῖα ὡς Θεός καί ὅλα τά ἀνθρώπινα πάθη· ἀπαθής καί ἀθάνατος ὤν καί διαμένων ὡς Θεός, ἑκουσίως δέ παθών γιά μᾶς κατά τήν σάρκα ὡς ἄνθρωπος, σταυρωθείς καί ἀποθανών, ταφείς καί ἀναστάς κατά τήν τρίτη ἡμέρα καί καταργήσας διά τοῦ θανάτου καί τῆς ἀναστάσεώς του αὐτόν πού ἔχει τήν κυριαρχία τοῦ θανάτου· καί μετά τήν ἀνάστασι ἐπιφανείς, ἀναληφθείς στόν οὐρανό καί καθίσας ἀπό τά δεξιά τοῦ Πατρός ἀφοῦ ἔκαμε ὁμότιμο καί ὁμόθρονο ὡς ὁμότιμο τό φύραμά μας, μέ τό ὁποῖο πρόκειται νά ἔλθη πάλι ἐνδόξως νά κρίνη ζῶντας καί νεκρούς, πού θά ἐπανέλθουν πρός τήν ζωή ἐξ αἰτίας τῆς παρουσίας του, καί ν' ἀποδώση στόν καθένα κατά τά ἔργα του. Ἀναγνωρίζον-

ἡμῶν αὐτοῦ πρόσλημμά τε καὶ φύραμα αἰσθητόν τε καὶ περιγραπτὸν εἰδότες, εἰκονίζομεν καὶ προσκυνοῦμεν εὐσεβῶς, καὶ τὴν αὐτὸν ἐν παρθενίᾳ τεκοῦσαν καὶ τοὺς αὐτῷ τελείως εὐαρεστήσαντας. Τούτου τὰ τῶν παθῶν σύμβολα, καὶ μάλιστα τὸν σταυρόν, καὶ τιμῶμεν καὶ προσκυνοῦμεν ὡς τρόπαια θεῖα κατὰ τοῦ κοινοῦ πολεμίου. Τούτου τὴν ἀνάμνησιν ὡσημέραι κατὰ τὴν αὐτοῦ ἐντολὴν ποιούμενοι, καὶ ἱερουργοῦμεν τὰ θειότατα καὶ μετέχομεν τούτων. Τούτου κατὰ τὴν παραγγελίαν πρὸ πάντων βαπτιζόμεθά τε καὶ βαπτίζομεν εἰς ἓν ὄνομα σεπτόν τε καὶ προσκυνητὸν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

9 *Ἐκ γὰρ τοῦ ἀϊδίου καὶ ἀνάρχου Πατρὸς καὶ τὸ ἅγιον ἐκπορεύεται Πνεῦμα, συνάναρχον μὲν ὂν Πατρί τε καὶ Υἱῷ ὡς ἄχρονον, οὐκ ἄναρχον δέ, ὡς καὶ αὐτὸ ρίζαν καὶ ἀρχὴν καὶ αἰτίαν ἔχον τὸν Πατέρα, ἐξ οὗ πρὸ πάντων τῶν αἰώνων ἀρρεύστως, ἀπαθῶς, ἐκπορευτῶς, προῆλθεν, ἀδιαίρετον ὂν Πατρός τε καὶ Υἱοῦ, ὡς ἐκ Πατρὸς προερχόμενον καὶ ἐν Υἱῷ ἀναπαυόμενον· ἀσύγχυτον καὶ τὴν ἕνωσιν ἔχον καὶ ἀμέριστον τὴν διαίρεσιν· Θεὸς ὂν καὶ αὐτὸ ἐκ Θεοῦ, οὐκ ἄλλος μὲν καθὸ Θεός, ἄλλος δὲ Παράκλητος, καθὸ Πνεῦμα ἅγιον αὐθυπόστατον· ἐκ Πατρὸς τὴν ὕπαρξιν ἔχον καὶ δι' Υἱοῦ πεμπόμενον, εἰς ἀπαρχὴν ζωῆς αἰωνίου καὶ ἀρραβῶνα τῶν μελλόντων καὶ ἀεὶ μενόντων ἀγαθῶν· αἴτιον καὶ αὐτὸ τῶν γεγονότων πάντων, ὡς ἐν αὐτῷ πάντων γεγονότων· τὸ αὐτὸ καὶ ἀπαράλλακτον Πατρί τε καὶ Υἱῷ, χωρὶς τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως. Ἐπέμφθη δὲ παρὰ τοῦ Υἱοῦ πρὸς τοὺς οἰκείους μαθητάς, τουτέστι πεφανέρωται· πῶς γὰρ ἂν ἄλλως ἐπέμφθη τὸ πανταχοῦ παρὸν καὶ τοῦ πέμποντος μὴ χωριζόμενον; Διὸ μὴ μόνον παρὰ τοῦ Υἱοῦ, ἀλλὰ καὶ παρὰ τοῦ*

τας κι' ἐμεῖς αἰσθητό καί περιγραπτό τοῦτο τό ἀπό ἐμᾶς πρόσλημμά του καί φύραμα, εἰκονίζομε καί προσκυνοῦμε εὐσεβῶς καί αὐτήν πού τόν ἐγέννησε παρθενικῶς καί τούς εὐαρεστήσαντας αὐτόν τελείως. Τούτου τά σύμβολα τῶν παθῶν, καί μάλιστα τόν σταυρό, τιμοῦμε καί προσκυνοῦμε ὡς θεῖα τρόπαια κατά τοῦ κοινοῦ πολεμίου. Τήν ἀνάμνησι τούτου τελώντας κατά τήν ἐντολή του καθημερινῶς, ἱερουργοῦμε τά θειότατα μυστήρια καί μετέχομε σ' αὐτά. Κατά τήν παραγγελία τούτου πρίν ἀπό ὅλα βαπτιζόμαστε καί βαπτίζομε σ' ἕνα ὄνομα σεπτό καί προσκυνητό τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος.

9 Διότι ἀπό τόν ἀΐδιο καί ἄναρχο Πατέρα ἐκπορεύεται τό ἅγιο Πνεῦμα, πού εἶναι συνάναρχο μέ τόν Πατέρα καί τόν Υἱό ὡς ἄχρονο, ὄχι δέ ἄναρχο, ἀφοῦ καί αὐτό ρίζα καί ἀρχή καί αἰτία ἔχει τόν Πατέρα, ἀπό τόν ὁποῖο προῆλθε πρίν ἀπό ὅλους τούς αἰῶνες ἀρρεύστως, ἀπαθῶς, ἐκπορευτῶς, καί εἶναι ἐπίσης ἀδιαίρετο τοῦ Πατρός καί τοῦ Υἱοῦ, ὡς προερχόμενο ἀπό τόν Πατέρα καί ἀναπαυόμενο στόν Υἱό· πού ἔχει ἀσύγχυτη τήν ἕνωσι καί ἀμέριστη τή διαίρεσι· πού εἶναι καί αὐτό Θεός ἀπό Θεό, ὄχι ἄλλος μέν ὡς Θεός, ἄλλος δέ Παράκλητος ὡς Πνεῦμα ἅγιο αὐθυπόστατο· πού ἔχει τήν ὕπαρξι ἀπό τόν Πατέρα καί ἀποστέλλεται διά τοῦ Υἱοῦ, γιά τήν ἔναρξι αἰωνίας ζωῆς, γι' ἀρραβῶνα τῶν μελλοντικῶν καί πάντοτε διατηρουμένων ἀγαθῶν· πού εἶναι κι' αὐτό αἴτιο ὅλων τῶν δημιουργημάτων, διότι σ' αὐτό ἔγιναν ὅλα, τό ἴδιο καί ἀπαράλλακτο μέ τόν Πατέρα καί τόν Υἱό, χωρίς τήν ἀγεννησία καί τή γέννησι. Ἐστάλθηκε δέ ἀπό τόν Υἱό πρός τούς μαθητάς του, δηλαδή ἐφανερώθηκε· διότι πῶς ἀλλοιῶς θά ἐστελλόταν τό παντοῦ παρόν καί μή χωριζόμενο ἀπό τόν πέμποντα; Γι' αὐτό ὄχι μόνο ἀπό τόν Υἱό, ἀλλά καί ἀπό τόν Πατέρα στέλλεται καί ἀπό τόν ἑαυτό του ἔρχεται·

Πατρὸς πέμπεται καὶ παρ' ἑαυτοῦ ἔρχεται· κοινὸν γὰρ ἔργον ἡ ἀποστολή, δηλονότι ἡ φανέρωσις, Πατρός, Υἱοῦ καὶ Πνεύματος.

10 *Φανεροῦται δὲ οὐ κατὰ τὴν οὐσίαν, οὐδεὶς γάρ ποτε Θεοῦ φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσεν, ἀλλὰ κατὰ τὴν χάριν καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν, ἥτις κοινή ἐστι Πατρὸς Υἱοῦ καὶ Πνεύματος· ἴδιον μὲν γὰρ ἑκάστῳ τούτων ἡ ἑκάστου ὑπόστασις καὶ τὰ περὶ αὐτὴν ὑποστατικῶς θεωρούμενα· κοινὰ δὲ αὐτῶν, οὐχ ἡ ἀνέκφαντος καὶ ὑπερώνυμος καὶ ἀμέθεκτος οὐσία μόνη, ἀλλὰ καὶ ἡ χάρις καὶ ἡ δύναμις καὶ ἡ ἐνέργεια καὶ ἡ λαμπρότης καὶ ἡ ἀφθαρσία καὶ ἡ βασιλεία καὶ πάντα, καθὰ κοινωνεῖ καὶ κατὰ χάριν ἑνοῦται τοῖς ἁγίοις ἀγγέλοις τε καὶ ἀνθρώποις ὁ Θεός, μήτε διὰ τὸ μεριστὸν καὶ διάφορον τῶν ὑποστάσεων, μήτε διὰ τὸ μεριστὸν καὶ ποικίλον τῶν θείων δυνάμεών τε καὶ ἐνεργειῶν τοῦ ἑνιαίου καὶ τῆς ἁπλότητος ἐκπίπτων. Οὕτω πιστεύομεν εἰς ἕνα Θεὸν ἐν μιᾷ τρισυποστάτῳ καὶ παντοδυνάμῳ θεότητι καὶ τοὺς ἐν τοιαύτῃ πίστει τῷ Θεῷ εὐαρεστήσαντας ἀνακηρύττομεν, τοὺς δὲ μὴ οὕτω πιστεύοντας, ἀλλ' ἰδίας αἱρέσεως ἢ ἄρξαντας ἢ τοῖς ἄρξασιν εἰς τέλος ἑπακολουθήσαντας, ἀποβαλλώμεθα. Τοῦτό δέ ἐστε γινώσκοντες, ἀδελφοί, ὅτι τὰ πονηρὰ πάθη καὶ τὰ δυσσεβῆ δόγματα δι' ἀλλήλων εἰσάγεται, λαβόντα χώραν ὑπὸ τῆς τοῦ Θεοῦ δικαίας ἐγκαταλείψεως.*

11 *Ὅτι μὲν οὖν διὰ τῆς δυσσεβείας ὁ πολυπληθὴς ἐσμὸς τῆς ἁμαρτίας λαμβάνει χώραν, ὁ μέγας Παῦλος ἡμᾶς ἐδίδαξε γράφων περὶ τῶν Ἑλλήνων· «καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει», «ἀλλὰ γνόντες τὸν Θεόν, οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ ἐσεβά-*

διότι ἡ ἀποστολή, δηλαδή ἡ φανέρωσις, εἶναι κοινό ἔργο Πατρός, Υἱοῦ καί Πνεύματος.

10 Φανερώνεται δέ ὄχι κατά τήν οὐσία, διότι κανείς ποτέ δέν εἶδε οὔτε ἀπεκάλυψε τήν φύσι τοῦ Θεοῦ, ἀλλά κατά τή χάρι καί τή δύναμι καί τήν ἐνέργεια, ἡ ὁποία εἶναι κοινή Πατρός, Υἱοῦ καί Πνεύματος. Διότι ἴδιο στό καθ' ἕνα ἀπό αὐτά εἶναι ἡ ὑπόστασίς του καί τά ὑποστατικῶς γύρω ἀπό αὐτήν παρατηρούμενα· κοινά δέ αὐτῶν δέν εἶναι μόνο ἡ ἀφανέρωτη καί ὑπερώνυμη καί ἀμέθεκτη οὐσία, ἀλλά καί ἡ χάρις καί ἡ δύναμις, ἡ ἐνέργεια καί ἡ λαμπρότης, ἡ ἀφθαρσία καί ἡ βασιλεία, καί ὅλα ἐκεῖνα, διά τῶν ὁποίων κοινωνεῖ κι' ἐνώνεται κατά χάρι μέ τούς ἁγίους ἀγγέλους καί ἀνθρώπους ὁ Θεός, χωρίς νά ἐκπίπτη ἀπό τό ἐνιαῖο καί τήν ἁπλότητα οὔτε ἐξ αἰτίας τοῦ μεριστοῦ καί διαφόρου τῶν ὑποστάσεων οὔτε ἐξ αἰτίας τοῦ μεριστοῦ καί ποικίλου καί θείων δυνάμεων καί ἐνεργειῶν. Ἔτσι πιστεύομε σ' ἕνα Θεό, σέ μιά τρισυπόστατη καί παντοδύναμη θεότητα καί ἀνακηρύσσομε αὐτούς πού μέ τέτοια πίστι εὐαρέστησαν τόν Θεό, ἐνῶ αὐτούς πού δέν πιστεύουν μέ ὅμοιο τρόπο, ἀλλά ἤ ἐγκαινίασαν ἰδιαίτερη αἵρεσι ἤ ἀκολούθησαν μέχρι τέλους τούς ἀρχηγούς της, τούς ἀπορρίπτομε. Νά γνωρίζετε δέ τοῦτο, ἀδελφοί, ὅτι τά πονηρά πάθη καί τά δυσσεβῆ δόγματα ἀλληλοεισάγονται, πραγματοποιούμενα λόγω τῆς δικαίας ἐγκαταλείψεως ἀπό τόν Θεό.

11 Ὅτι λοιπόν τό μεγάλο πλῆθος τῶν ἁμαρτιῶν διαπράττονται διά τῆς δυσσεβείας, μᾶς τό ἐδίδαξε ὁ μέγας Παῦλος γράφοντας περί τῶν Ἑλλήνων· «ἐπειδή δέν ἐφρόντισαν νά ἐπιγνώσουν τόν Θεό»[6], «ἀλλ' ἐνῶ ἐγνώρισαν τόν Θεό, δέν τόν ἐδόξα-

6. Ρωμ. 1,28.

σθησαν»,, «παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πλεονεξίᾳ, καὶ τοῖς ἑξῆς». Ὅτι δὲ διὰ τῆς ἁμαρτίας ἡ δυσσέβεια πάλιν εἰσάγεται, διὰ πολλῶν τῶν τοῦτο παθόντων ἀθλίως ἐστὶν ἡ παράστασις. Σολομὼν ἐκεῖνος ἐκδοὺς ἑαυτὸν ταῖς σαρκικαῖς ἡδοναῖς, εἰς εἰδωλολατρίαν ἐξώλισθεν. Ἱεροβοὰμ κατ' ἄκρας ἡττηθεὶς φιλαρχίας ταῖς χρυσαῖς δαμάλεσιν ἔθυσεν. Ὁ προδότης Ἰούδας φιλαργυρίαν νοσήσας περιέπεσε τῇ θεοκτονίᾳ.

12 Διὰ ταῦτα τοίνυν, ἐπεὶ καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρὰ καὶ ἀσύστατος, καὶ τὰ ἔργα χωρὶς τῆς πίστεως μάταια καὶ ἀνώνητα, συνῆψεν ἡ τοῦ Πνεύματος χάρις σήμερον ἐν τῷ σεπτῷ τῆς νηστείας καιρῷ καὶ τῆς κατ' ἀρετὴν ἀσκήσεως τὴν ἀνακήρυξιν τῶν ὀρθοτομούντων τὸν λόγον τῆς εὐσεβείας καὶ τὴν ἀποκήρυξιν τῶν μὴ ὀρθοτομεῖν ἑλομένων, ὡς ἂν ἡμεῖς συνημμένως ἐπ' ἄμφω σπεύδοντες, καὶ τὴν πίστιν διὰ τῶν ἔργων ἐπιδειξώμεθα καὶ τῶν πόνων τὸ κέρδος διὰ τῆς πίστεως κομισώμεθα.

13 Μὴ μόνον δὲ δι' ἀλλήλων εἰσάγεται τὰ πονηρὰ πάθη καὶ ἡ δυσσέβεια, ἀλλὰ καὶ ἀλλήλοις ἐοίκασι. Καὶ ἵνα βραχύ τι πρὸς τὴν ὑμετέραν ἀγάπην εἴπω, περὶ τῶν ἐφ' ἡμῶν ἀναφανέντων ἑτεροδόξων, καθάπερ ὁ Ἀδὰμ ἀπὸ παντὸς ἐσθίειν ξύλου τοῦ ἐν τῷ παραδείσῳ παρὰ τοῦ Θεοῦ λαβὼν ἐξουσίαν, οὐκ ἠρκέσθη πᾶσιν ἐκείνοις, ἀλλὰ τῇ τοῦ ἀρχεκάκου ὄφεως συμβουλῇ πεισθείς, ἀπὸ τοῦ ξύλου ἔφαγεν, οὗ μόνου προσετάχθη μὴ ἅψασθαι· οὕτω καὶ τῶν ἐν τῷ Θεῷ ἀγαθῶν καὶ ὄντως ἀγαθοπρεπῶν δωρεῶν εἰς μέθεξιν ὑπ' αὐ-

7. Ρωμ. 1,21.

σαν οὔτε τόν ἐσεβάσθηκαν ὡς Θεό»[7], «τούς παρέδωσε ὁ Θεός σέ νοῦ ἀδόκιμο, ὥστε νά πράττουν τά ἀνεπίτρεπτα, γεμάτους κάθε ἀδικία, πορνεία, πλεονεξία, καί τά παρόμοια»[8]. Ὅτι δέ πάλι διά τῆς ἁμαρτίας εἰσάγεται ἡ δυσσέβεια, ἡ ἀπόδειξις παρέχεται ἀπό πολλούς πού τό ἔπαθαν ἀθλίως. Ὁ Σολομών ἐκεῖνος, ἀφοῦ παρέδωσε τόν ἑαυτό του στίς σαρκικές ἐπιθυμίες, ὠλίσθησε σέ εἰδωλολατρία. Ὁ Ἱεροβοάμ, ἀφοῦ ἐνικήθηκε ἀπό ἄκρα φιλαρχία, ἐθυσίασε στίς χρυσές δαμάλεις. Ὁ προδότης Ἰούδας ἀρρωστημένος ἀπό φιλαργυρία, περιέπεσε στή θεοκτονία.

12 Γι' αὐτά λοιπόν, ἐπειδή καί ἡ πίστις χωρίς ἔργα εἶναι νεκρά καί ἀνενέργητη, καί τά ἔργα χωρίς πίστι εἶναι μάταια καί ἄχρηστα, ἡ χάρις τοῦ Πνεύματος σήμερα στόν σεπτό καιρό τῆς νηστείας καί τῆς ἐνάρετης ἀσκήσεως συνεδύασε τήν ἀνακήρυξι τῶν ὀρθοτομούντων τόν λόγο τῆς εὐσεβείας καί τήν ἀποκήρυξι ἐκείνων πού δέν ἐδιάλεξαν τήν ὀρθοδοξία, ἔτσι ὥστε ἐμεῖς, σπεύδοντας καί στά δυό συνδυασμένα, καί τήν πίστι νά ἐπιδείξωμε μέ τά ἔργα καί τῶν κόπων τό κέρδος νά ἀποκτήσωμε διά τῆς πίστεως.

13 Ὄχι δέ μόνο εἰσάγονται δι' ἀλλήλων τά πονηρά πάθη καί ἡ δυσσέβεια, ἀλλά καί ὁμοιάζουν μεταξύ τους. Καί θά εἰπῶ λίγα πρός τήν ἀγάπη σας γιά τούς ἑτεροδόξους πού ἀναφάνηκαν στήν ἐποχή μας. Ὅπως ὁ Ἀδάμ, ἀφοῦ ἔλαβε ἐξουσία ἀπό τόν Θεό νά τρώγη ἀπό κάθε δένδρο τοῦ παραδείσου, δέν ἀρκέσθηκε σ' ὅλα ἐκεῖνα, ἀλλά πειθόμενος στή συμβουλή τοῦ ἀρχεκάκου ὄφεως, ἔφαγε ἀπό τό μόνο δένδρο πού εἶχε προσταχθῆ νά μή τό ἐγγίση, ἔτσι συμβαίνει καί μέ ἐμᾶς· ἐνῶ τά ὑπάρχοντα στό Θεό ἀγαθά καί οἱ πραγματικά ἀγαθοπρεπεῖς δωρεές προτί-

8. Ρωμ. 1,28.

τοῦ προκειμένων τοῖς βουλομένοις, κατὰ τὸν εἰπόντα, «πάντα ὅσα ὁ Θεός, καὶ ὁ διὰ τῆς χάριτος τεθεωμένος ἔσται, χωρὶς τῆς κατ' οὐσίαν ταυτότητος», εἰσὶν οἳ καὶ αὐτῆς τῆς ὑπερουσίου οὐσίας μετέχειν ἡμᾶς διδάσκουσι καὶ δύνασθαι κυρίως ὀνομάζειν αὐτὴν ἐπαγγέλλονται, καὶ τὸν ἀρχέκακον ὄφιν μιμούμενοι, ὡς ἐκεῖνος τὰ τοῦ Θεοῦ, οὕτως καὶ αὐτοῖς τὰ τῶν ἁγίων ῥήματα παρεξηγοῦνται καὶ διαστρέφουσιν. Ἀλλ' ἡμεῖς καὶ δύναμιν παρὰ Κυρίου λαβόντες πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, πᾶσαν τὴν αὐτοῦ μηχανὴν καὶ πάγην τήν τε κατὰ τῆς εὐσεβείας καὶ τῆς κατ' εὐσέβειαν πολιτείας εὐχερῶς συντρίψαντες, καὶ νικηταὶ διὰ πάντων αὐτοῦ φανέντες, τῶν οὐρανίων καὶ ἀκηράτων τῆς δικαιοσύνης στεφάνων ἐπιτευξόμεθα, ἐν αὐτῷ Χριστῷ τῷ ἀδεκάστῳ κριτῇ καὶ δοτῆρι τῶν ἀντιδόσεων·

14 *Ὧι πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

θενται ἀπό αὐτόν γιά μέθεξι στούς θέλοντας, συμφώνως πρός τόν εἰπόντα «ὅλα ὅσα εἶναι ὁ Θεός θά εἶναι καί ὁ θεωμένος διά τῆς χάριτος, χωρίς τήν ταυτότητα κατά τήν οὐσία»[9], ὑπάρχουν μερικοί πού διδάσκουν ὅτι ἐμεῖς μετέχομε καί τῆς ἰδίας τῆς ὑπερουσίου οὐσίας καί ἰσχυρίζονται ὅτι μποροῦν νά τήν ὀνομάζουν αὐθεντικῶς, καί μιμούμενοι τόν ἀρχέκακο ὄφι, παρερμηνεύουν καί διαστρέφουν τά λόγια τῶν ἁγίων, ὅπως ἐκεῖνος τά τοῦ Θεοῦ. Ἀλλά ἐμεῖς, ἀφοῦ ἐλάβαμε δύναμι ἀπό τόν Κύριο νά πατοῦμε ἐπάνω σέ ὄφεις καί σκορπιούς καί σέ κάθε δύναμι τοῦ ἐχθροῦ, ἀφοῦ συντρίψωμε εὔκολα κάθε μηχανή καί παγίδα του, εἴτε κατά τῆς εὐσεβείας εἴτε κατά τῆς εὐσεβοῦς διαγωγῆς καί φανοῦμε νικηταί ἐναντίον του σέ ὅλα, θά ἐπιτύχωμε τούς οὐρανίους καί ἀφθάρτους στεφάνους τῆς δικαιοσύνης, μέσα στόν Χριστό, τόν ἀδέκαστο κριτή καί δοτῆρα τῶν ἀνταμοιβῶν.

14 Σ' αὐτόν πρέπει κάθε δόξα, τιμή καί προσκύνησις, μαζί μέ τόν ἄναρχο Πατέρα του καί τό πανάγιο καί ἀγαθό καί ζωοποιό Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Γένοιτο.

9. Μαξίμου Ὁμολογητοῦ, Πρὸς Θαλάσσιον 22, PG 90,320.

ΙΣ
ΧΣ
Ο ΠΑΝΤΟ
ΚΡΑΤΩΡ



ΕΝ ΤΩι ΚΑΙΡΩι ΤΗΣ ΝΗΣΤΕΙΑΣ ΚΑΙ ΠΡΟΣΕΥΧΗΣ

ΟΜΙΛΙΑ Θ'

ΕΝ ΤΩι ΚΑΙΡΩι ΤΗΣ ΝΗΣΤΕΙΑΣ ΚΑΙ ΠΡΟΣΕΥΧΗΣ

1 Τέλος μὲν θείων δογμάτων καὶ τῆς περὶ ταῦτα φιλοπονίας καὶ θεωρίας ἀλήθεια καὶ ἀσφαλὴς δόξα καὶ πρὸς τοὺς θεοφόρους ἡμῶν πατέρας σύμφωνος καὶ ὁμόλογος· τῆς δὲ πρακτικῆς ἀρετῆς οὐ τοῦτο τέλος ἐστίν, ἀρχὴ δὲ μᾶλλον, ἥτις ἂν μὴ πρὸς τὸ κατάλληλον ἔλθῃ τέλος, καὶ μείζονος καταδίκης πρόξενος ἔσται τῷ κτησαμένῳ· «ὁ γὰρ εἰδὼς», φησί, «τὸ θέλημα τοῦ Κυρίου καὶ μὴ ποιήσας δαρήσεται πολλάς». Οὕτως οὐκ ἀρκεῖ πρὸς λόγον πρακτικῆς ἀρετῆς ἡ περὶ ταύτην ἐπιστήμη τε καὶ ἀλήθεια, ἀλλὰ τέλος ἐστὶ ταύτης τὸ ἀγαθόν.

1. Λουκᾶ 12,47.

ΟΜΙΛΙΑ 9

ΣΤΗΝ ΠΕΡΙΟΔΟ ΤΗΣ ΝΗΣΤΕΙΑΣ ΚΑΙ ΠΡΟΣΕΥΧΗΣ

1 Τό τέλος τῶν θείων δογμάτων, καθώς καί τῆς ἐνασχολήσεως μέ αὐτά καί τῆς σχετικῆς μά αὐτά θεωρίας, εἶναι ἡ ἀλήθεια καί ἡ ὀρθή δόξα, ἡ σύμφωνη καί ὁμόφρων μέ τούς θεοφόρους πατέρες μας· τῆς δέ πρακτικῆς ἀρετῆς δέν εἶναι τέλος αὐτό, ἀλλά μᾶλλον ἀρχή, ἡ ὁποία, ἄν δέν φθάση στό κατάλληλο τέλος, θά καταστῆ πρόξενος μεγαλύτερης ἀκόμη καταδίκης γιά τόν κάτοχο· «διότι», λέγει, «αὐτός πού γνωρίζει τό θέλημα τοῦ Κυρίου καί δέν τό ἐξετέλεσε, θά δαρῆ πολλές φορές»[1]. Ἔτσι γιά τήν ἐξασφάλισι τῆς πρακτικῆς ἀρετῆς δέν ἀρκεῖ ἡ σχετική μέ αὐτήν ἐπιστήμη καί ἀλήθεια, ἀλλά τέλος της εἶναι τό ἀγαθό.

2 *Εἰ μὲν οὖν ἐωρῶμεν τοὺς ἀνθρώπους ἐμμένοντας τοῖς ἐγνωσμένοις καλοῖς καὶ εἰς ἔργον ἄγοντας ταῦτα καὶ ἀγαθοὺς ἀποτελουμένους διὰ τῶν ἔργων, ἀλλὰ μὴ πλημμελοῦντας παρ' ὃν ἔχουσιν ὀρθὸν λόγον ἐν ταῖς ψυχαῖς, οὐκ ἂν ἡμεῖς πολὺν ἐποιούμεθα λόγον περὶ δικαιοπραγίας, περὶ σωφροσύνης, περὶ ἐγκρατείας, καὶ τῶν τοιούτων· τίς γὰρ οὐκ οἶδεν, ὅτι καλὸν τούτων ἕκαστον, καὶ μάλιστα ἐγκρατὴς βίος, ὃς καὶ διὰ πείρας ἑκάστοτε δείκνυται ψυχαῖς ὁμοῦ τε καὶ σώμασιν ὠφελιμώτατος ὤν. Ἐπεὶ δὲ ἴσασι μὲν οἱ πλεῖστοι, καὶ καλῶς ἴσασιν, ἀλλ' ἐπιθυμία καὶ θυμὸς ἐπικρατεῖ τῆς καλῆς ἐπιστήμης («βλέπω γάρ», φησὶν ὁ ἀπόστολος, «ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου»), διὰ τοῦτο συνεχῶς τὴν ἀπὸ τοῦ λόγου παράκλησιν προσάγομεν ὑμῖν, ἀδελφοί, ὡσὰν διαναστήσωμεν τῷ ἀδιαστρόφῳ καὶ ὀρθῷ λογισμῷ τὴν τοῦ ἀγαθοῦ πρᾶξιν ἐπιτιθέναι, ὡς τὸ τῆς ἐν τοῖς τοιούτοις γνώσεως τέλος ἀγαθὸν ἐπιφέρουσαν. «Σύνεσις ἀγαθή», φησὶν ὁ Δαβίδ, «πᾶσι τοῖς ποιοῦσιν αὐτήν». Καὶ «ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς»· καὶ ὁ Παῦλος, «οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται»· ὁ δὲ ἀμφοτέρων Κύριος, «εἰ ταῦτα οἴδατε», φησί, «μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά».*

3 *Ἀψώμεθα οὖν δι' ἔργων, ἀδελφοί, τοῦ καλοῦ τῆς νηστείας καὶ*

---

2. Ρωμ. 7,23.
3. Ψαλμ. 110,10.
4. Ψαλμ. 102, 17.

2 Ἐάν βέβαια ἐβλέπαμε τούς ἀνθρώπους νά ἐμμένουν στά ἀναγνωρισμένα καλά καί νά τά πραγματοποιοῦν, καί διά τῶν ἔργων νά καθίστανται ἀγαθοί, ἀλλά νά μή πλημμελοῦν παρ' ὅλο τόν ὀρθό λόγο πού ἔχουν στίς ψυχές, δέν θά ἐκάμαμε ἐμεῖς πολύν λόγο περί δικαιοπραγίας, περί σωφροσύνης, περί ἐγκρατείας καί τῶν ὁμοίων. Διότι ποιός δέν γνωρίζει ὅτι τό καθένα ἀπό αὐτά εἶναι καλό καί μάλιστα ὁ ἐγκρατής βίος, ὁ ὁποῖος κάθε φορά καί μέ τήν πεῖρα ἀποδεικνύεται νά εἶναι ὠφελιμώτατος σέ ψυχές καί σώματα μαζί; Ἐπειδή δέ οἱ περισσότεροι τά γνωρίζουν, καί μάλιστα τά γνωρίζουν καλά, ἀλλ' ἡ ἐπιθυμία καί ὁ θυμός ἐπικρατοῦν τῆς καλῆς γνώσεως («διότι βλέπω», λέγει ὁ ἀπόστολος, «ἄλλον νόμο ν' ἀντιστρατεύεται στό νόμο τοῦ νοῦ μου καί νά μ' αἰχμαλωτίζη στό νόμο τῆς ἁμαρτίας πού εἶναι στά μέλη μου»[2]), γι' αὐτό σᾶς προσφέρομε συνεχῶς τήν παρηγορία τοῦ λόγου, ἀδελφοί, γιά νά σᾶς ἀνυψώσωμε, ὥστε ἐπάνω στόν ἀδιάστροφο καί ὀρθό λογισμό νά ἐπιθέσωμε τήν πρᾶξι τοῦ ἀγαθοῦ, διότι αὐτή ἐπιφέρει ἀγαθό τέλος στή γνῶσι τέτοιας μορφῆς. «Σύνεσις ἀγαθή», λέγει ὁ Δαβίδ, «ὑπάρχει σ' ὅλους ὅσοι τήν ἐφαρμόζουν»[3], καί «ἡ δικαιοσύνη του θά μεταβιβάζεται στούς υἱούς τῶν υἱῶν, πού φυλάσσουν τήν διαθήκη του κι' ἐνθυμοῦνται τίς ἐντολές του, ὥστε νά τίς ἐκτελοῦν»[4]· καί ὁ Παῦλος «δέν εἶναι οἱ ἀκροαταί τοῦ νόμου δίκαιοι ἐνώπιον τοῦ Θεοῦ, ἀλλά οἱ ποιηταί τοῦ νόμου θά δικαιωθοῦν»[5]· ὁ δέ Κύριος καί τῶν δύο λέγει, «ἐάν γνωρίζετε αὐτά, θά εἶσθε μακάριοι, ἐφ' ὅσον τά πράττετε[6].

3 Ἂς ἐπιληφθοῦμε λοιπόν καί μέ ἔργα, ἀδελφοί, τοῦ καλοῦ

5. Ρωμ. 2,13.
6. Ἰω. 13,17. 7. Λουκᾶ 6,44.

ἐγκρατείας χρήματος, πιστωσώμεθα τὴν ἀγαθὴν περὶ ταῦτα διάθεσιν, δείξωμεν ἐνεργῶς τοὺς καρποὺς αὐτῶν ὁποῖοι· «ἐκ γὰρ καρποῦ τὸ δένδρον γινώσκεται», ἀλλὰ καὶ «τὸν γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν· νόει ἃ λέγω», φησὶν ὁ ἀπόστολος. Τῶν μὲν γὰρ ἄλλων ἀρετῶν ἑκάστη ἢ ψυχὴν ἢ σῶμα καθαίρει τε καὶ κοσμεῖ, μᾶλλον δὲ ψυχῆς ἔν γέ τι μέρος ἢ σώματος, ὡς προσευχὴ καὶ ἐπιστήμη τὸν νοῦν, τὸν θυμὸν ἡ πραότης, τὴν ἐπιθυμίαν ἡ σωφροσύνη. Ἡ δὲ νηστεία καὶ ἡ ἐγκράτεια τὰς μὲν τοῦ σώματος ἐπαναστάσεις κοιμίζει, τὴν λύσσαν τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας ἀπομαραίνει, αἰθρίαν δὲ τῇ διανοίᾳ καθαρὰν ἐμποιεῖ καὶ οἷον ἀνέφελον, ἀποκαθαίρουσα ταύτην τῶν ἐκ τοῦ πλήθους τῶν βρωμάτων ἀνιόντων ἀτμῶν, καὶ τῆς ἀπὸ τούτων ἀχλύος. Διὰ νηστείας καὶ ἐγκρατείας ὁ ἔξω ἄνθρωπος φθείρεται· ὅσῳ δὲ οὗτος φθείρεται, τοσοῦτον ὁ ἐντὸς ἀνακαινίζεται κατὰ τὸν ἀπόστολον. «Παχεία γαστήρ», εἶπέ τις, «λεπτὸν οὐ τίκτει νοῦν». Οὐκοῦν ἡ διὰ νηστείας καὶ ἐγκρατείας λεπτυνομένη καὶ τὸν νοῦν ἐξ ἀνάγκης λεπτύνει.

4 *Οὕτω πᾶν καλὸν καὶ ἀγαθὸν διὰ ταύτης κατορθοῦται καὶ τελειοῦται. Διπλοῦν ἐστι περιτείχισμα ἡ νηστεία καὶ ἡ ἐγκράτεια, καὶ ὁ ἐν ταύταις βιῶν εἰρήνης ἀπολαύει πολλῆς, ὡς τῆς Ἱερουσαλὴμ ὢν ἐντός· Ἱερουσαλὴμ γὰρ εἰρήνη ἑρμηνεύεται. Τούτῳ δὲ πολεμεῖ τῷ τείχει ὁ τοῦ βαβυλωνίου ἄρχοντος ἀρχιμάγειρος· κἂν οὐχ εὕρῃ τοὺς*

8. Β΄ Τιμ. 2,6 ἑ.
9. Β΄ Κορ. 4,16.

τῆς νηστείας καί τοῦ ἀγαθοῦ τῆς ἐγκρατείας, ἄς ἐπιβεβαιώσωμε τήν ἀγαθή γι' αὐτά διάθεσι, ἄς δείξωμε ἐμπράκτως ποιοί εἶναι οἱ καρποί τους· διότι «τό δένδρο ἀπό τόν καρπό γνωρίζεται»[7], ἀλλά καί «ὁ γεωργός πρῶτος πρέπει νά ἀπολαύη τῶν καρπῶν του· νά καταλάβης, τί λέγω»[8], λέγει ὁ ἀπόστολος. Πραγματικά κάθε μιά ἀπό τίς ἄλλες ἀρετές καθαρίζει καί στολίζει ἤ τήν ψυχή ἤ τό σῶμα, μᾶλλον δέ ἕνα μόνο μέρος τῆς ψυχῆς ἤ τοῦ σώματος, ὅπως ἡ προσευχή καί ἡ γνῶσις τόν νοῦ, ἡ πραότης τόν θυμό, ἡ σωφροσύνη τήν ἐπιθυμία. Ἡ νηστεία καί ἡ ἐγκράτεια τίς μέν ἐπαναστάσεις τοῦ σώματος τίς κοιμίζει, τήν λύσσα τοῦ θυμοῦ καί τῆς ἐπιθυμίας τήν μαραίνει, φέρει αἰθρία καθαρή καί ἀνέφελη στήν διάνοια, καθαρίζοντάς την ἀπό τούς ἀτμούς πού βγαίνουν ἀπό τό πλῆθος τῶν βρωμάτων καί ἀπό τήν ἀχλύ πού προκαλοῦν αὐτοί. Διά τῆς νηστείας καί ἐγκρατείας φθείρεται ὁ ἐξωτερικός ἄνθρωπος· ὅσο δέ φθείρεται αὐτός, τόσο ἀνακαινίζεται ὁ ἐσωτερικός κατά τόν ἀπόστολο[9]. Εἶπε κάποιος, «παχειά κοιλιά δέν γεννᾶ λεπτόν νοῦ»[10]. Αὐτή δέ πού λεπτύνεται μέ νηστεία καί ἐγκράτεια λεπτύνει ὁπωσδήποτε τόν νοῦ.

4 Ἔτσι κάθε καλό καί ἀγαθό δι' αὐτῆς ἐπιτυγχάνεται καί τελειώνεται. Διπλό περιτείχισμα εἶναι ἡ νηστεία καί ἡ ἐγκράτεια κι' αὐτός πού ζῆ μέ αὐτές ἀπολαύει πολλῆς εἰρήνης, ὡς εὑρισκόμενος μέσα στήν Ἱερουσαλήμ· διότι τό ὄνομα Ἱερουσαλήμ σημαίνει εἰρήνη. Μέ αὐτό τό τεῖχος πολεμεῖ ὁ ἀρχιμάγειρος τοῦ βαβυλωνίου ἄρχοντος. Κι' ἄν δέν εὕρη τούς μέσα στό τεῖχος νά ὑπερασπίζωνται τά τείχη κρατερῶς, τά κρημνίζει, ἀφοῦ

10. Ἀρχαία παροιμία.

ἐντὸς ἀντεχομένους τῶν τειχῶν καρτερῶς, καθαιρεῖ ταῦτα, προσαγαγὼν ὡς ἐλεπόλεις τὰ τῆς ὀψαρτυτικῆς μαγγανεύματα.

5 *Εἰ δὲ οἱ ἐπὶ τῶν τειχῶν τούτων οὐ μόνον περιφρονοῦσι τὰ ποικίλα τῶν ὄψων, ἀλλὰ καὶ τὸν ἄρτον ἐπὶ τὸ εὐτελέστερον ἔτι μάττουσιν, αὐτοὶ μᾶλλον δι' ἐγκρατείας ἀνατρέπουσι καὶ τὴν σκηνὴν Μαδιάμ· τοιοῦτον γάρ τι προτυποῖ καὶ ἡ κατὰ τὸν Γεδεὼν ἱστορία· «ἰδοὺ γάρ», φησί, «μαγὶς ἄρτου κριθινου, κυλιομένη ἐπὶ τὴν παρεμβολὴν Μαδιάμ». Ἐδήλου δὲ ὁ κρίθινος ἄρτος τῶν ἐπιστρατευσάντων μετὰ Γεδεὼν τὴν καὶ ἐπὶ τῶν ἀναγκαίων τροφῶν εὐτέλειαν καὶ ἐγκράτειαν· «καὶ ἦλθε», φησί, «μέχρι τῆς σκηνῆς Μαδιὰμ καὶ ἐπάταξεν αὐτὴν καὶ κατέστρεψε». Σκηνὴ δ' ἂν εἴη πάντως ὑπὸ μάζης κριθίνης καταστρεφομένη ἡ μαιμάσσουσα τοῦ τε λαιμοῦ καὶ τῆς κοιλίας ἐπιθυμία, ἧς τὸ μαργαῖνον ἀφαιρεῖται νηστεία καὶ λιτὴ προσγινομένη τράπεζα. Δανιὴλ ὁ τῶν ἐπιθυμιῶν ἀνήρ, οὐ· τὸν δράκοντα μόνον διὰ μάζης ἀνεῖλε, τὸν θεὸν ὢν θεὸς ἡ κοιλία καὶ ὁ ἔχων τὴν ἰσχὺν ἐπὶ τῇ ὀσφύϊ καὶ ἐπ' ὀμφαλοῦ γαστρός, ἀλλ' ἐπὶ πολλὰς ἑβδομάδας μὴ φαγὼν ἄρτον ἐπιθυμιῶν μήτε οἶνον πιών, καινοτέρας ὁράσεις εἶδε καὶ ἀρχαγγέλου ἐπιστασίαν ἐδέξατο.*

6 *Ὁ μὲν οὖν Δανιὴλ οὕτω. Ὁ ἐπιθυμητὴς λαὸς καὶ ἀχάριστος, οἱ λέγοντες, «τίς ψωμιεῖ ἡμᾶς κρέα; νῦν ἡ ψυχὴ ἡμῶν κατάξηρος», μετὰ τὸ φαγεῖν κρέα ἕως ἐξῆλθεν ἐκ τῶν μυκτήρων αὐτῶν, ἐπατάχθησαν πληγὴν μεγάλην σφόδρα· «ἐθυμώθη» γάρ, φησίν, «εἰς τὸν λαὸν ὁ Θεός, καὶ ὁ κόρος αὐτοῖς εἰς χολέραν ἐγένετο».*

11. Κριτ. 7,13.
12. Κριτ. 7,13.
13. Βὴλ καὶ Δράκων 27.

φέρει ὡς πολιορκητικές μηχανές τά γοητεύματα τῆς μαγειρικῆς τέχνης.

5 Ἐάν δέ οἱ εὑρισκόμενοι ἐπάνω σ' αὐτά τά τείχη ὄχι μόνο δέν περιφρονοῦν τά ποικίλα φαγητά, ἀλλά καί τόν ἄρτο τόν ζυμώνουν ἀκόμη λιγώτερο, τότε διά τῆς ἐγκρατείας ἀνατρέπουν μᾶλλον καί τή σκηνή Μαδιάμ. Ἄλλωστε καί ἡ σχετική μέ τόν Γεδεών ἱστορία προτυπώνει κάτι τέτοιο· διότι λέγει, «ἰδού, ἕνα καρβέλι ἄρτου κριθίνου κυλίεται στό στρατόπεδο Μαδιάμ»[11]. Ἐδήλωνε δέ ὁ κρίθινος ἄρτος τῶν στρατευμένων μαζί μέ τόν Γεδεών τήν λιτότητα κι' ἐγκράτεια στίς ἀναγκαῖες τροφές. «Καί ἦλθε», λέγει, «ἕως τήν κατασκήνωσι Μαδιάμ, τήν ἐκτύπησε καί τήν κατέστρεψε»[12]. Κατασκήνωσις δέ πού καταστρέφεται ἀπό κρίθινο ζυμάρι εἶναι βέβαια ἡ σφοδρά ἐπιθυμία τοῦ λαιμοῦ καί τῆς κοιλίας, τῆς ὁποίας τήν ὁρμή ἀφαιρεῖ ἡ νηστεία καί ἡ λιτῶς προσφερομένη τράπεζα. Ὁ Δανιήλ, ἄνδρας ἐπιθυμιῶν, δέν ἐφόνευσε μόνο τόν δράκοντα μέ τό ζυμάρι[13], τόν θεό αὐτῶν πού θεό ἔχουν τήν κοιλιά καί τόν ἔχοντα τήν δύναμι στήν ὀσφύ καί στόν ὀμφαλό τῆς κοιλίας· ἀλλά μή ἔχοντας φάγει ἄρτο ἐπιθυμιῶν ἐπί πολλές ἑβδομάδες καί μή ἔχοντας πιεῖ κρασί, εἶδε νεώτερες ὁράσεις κι' ἐδέχθηκε τή φροντίδα ἀρχαγγέλου[14].

6 Αὐτά λοιπόν σχετικά μέ τόν Δανιήλ. Ὁ δέ ἐπιθυμητής καί ἀχάριστος λαός, αὐτοί πού λέγουν, «ποιός θά μᾶς θρέψη κρέατα; τώρα ἡ ψυχή μας εἶναι κατάξηρη»[15], ὅταν ἔφαγαν κρέας ἕως ὅτου ἐβγῆκε ἀπό τούς μυκτῆρες των, ἐδέχθηκαν φοβερό κτύπημα[16]· «διότι ἐθύμωσε», λέγει, «ὁ Θεός γιά τόν λαό καί ὁ χορτα-

14. Δανιήλ 10,1 ἑξ.
15. Ἀριθμ. 11,6.
16. Ἀριθμ.11,33.

Καὶ τὰ ἐν ἐκείνῳ τῷ τόπῳ λεγόμενα μνήματα τῆς ἐπιθυμίας ἀναστήλωσίς ἐστι τῆς ἐπ' ἐκείνους θείας ὀργῆς· πρὸς ἣν βλέποντες, φύγωμεν τὴν γαστριμαργίαν, ἀσπασώμεθα τὴν ἐγκράτειαν, περιπτυξώμεθα τὰς νηστίμους ἡμέρας ταύτας, ὡς εὐήκοον τῇ ψυχῇ ποιούσας τὸ σῶμα καὶ τὸν νοῦν κουφιζούσας πρὸς Θεὸν ἀνατρέχοντα. Ἰωάννης ὁ τῆς χάριτος Πρόδρομος ἀκρίσι καὶ μέλιτι ἀγρίῳ διὰ βίου ἠρκεῖτο. Πέτρος ἁλμάσιν ἐλαίαις καὶ θέρμοις καὶ λεπτοῖς λαχάνοις ἐχρῆτο μόνοις. Τί δεῖ τὰ τοῦ Παύλου λέγειν, ὃς περὶ ἑαυτοῦ καὶ τοῦτό φησιν, ὡς «ἐν λιμῷ καὶ δίψῃ, ἐν νηστείαις πολλάκις»;

7 *Σοὶ δὲ οὐ βίος ὅλος τῶν τεσσαράκοντα ἡμερῶν ἐστι τὸ τῆς νηστείας διάστημα καὶ περιγράφει σοι καθ' ἑκάστην ἡμέραν τὴν ἐπὶ ταύτῃ νηστείαν ἡ τοῦ ἡλίου πρὸς δύσιν ἐπίνευσις. Ἆρ' οὐ ῥᾳδία σχεδὸν πᾶσι καὶ σύμμετρος ἡ ἐπὶ τοσοῦτον ἀσιτία ἐστί; Μόνον ἔστω καὶ ἡ σίτησις σύμμετρος· οὕτω γὰρ μετρίως ἀσιτῶν καὶ μετρίως σιτούμενος, οὐ κατὰ πολὺ τῶν ἀτροφούντων ἀπολειφθήσῃ. Φείδῃ τυχὸν τῆς σαρκὸς καὶ φεύγεις τὴν νηστείαν ὡς τηκεδόνα φέρουσαν, ἀλλὰ τουναντίον ἐστίν· ὁ κόρος γὰρ ποδάγρας καὶ καρηβαρίας καὶ νόσους ἑτέρας γεννᾶν μᾶλλον πέφυκεν, ἡ δὲ νηστεία μήτηρ ἐστὶν ὑγείας· καὶ ὡς ἔοικεν οὐ μόνον ὁ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει, ἀλλὰ καὶ ὁ γαστριμαργῶν εἰς τὸ ἴδιον πλημμελεῖ σῶμα, καχεκτικὸν αὐτὸ καὶ νοσερὸν ἐργαζόμενος.*

8 *Ἐπεὶ δὲ διὰ πασῶν τῶν αἰσθήσεων ἡ ἀκρασία τελεῖται,*

17. Ἀριθμ. 11,20.
18. Β' Κορ. 11,27.

σμός τούς ἔγινε χολέρα»[17]. Καί τά λεγόμενα σ' ἐκεῖνο τόν τόπο μνήματα τῆς ἐπιθυμίας εἶναι τιμητικές στῆλες τῆς γιά ἐκείνους θείας ὀργῆς. Πρός αὐτήν ἀποβλέποντας, ἄς ἀποφύγωμε τή γαστριμαργία, ἄς ἀγαπήσωμε τήν ἐγκράτεια, ἄς ἀγκαλιάσωμε αὐτές τίς νηστήσιμες ἡμέρες, διότι καθιστοῦν τό σῶμα εὐήκοο στήν ψυχή καί ἐλαφρύνουν τόν νοῦ, καθώς ἀνατρέχει πρός τόν Θεό. Ὁ Ἰωάννης, ὁ Πρόδρομος τῆς χάριτος, ἠρκεῖτο ἰσοβίως σέ ἀκρίδες καί ἄγριο μέλι. Ὁ Πέτρος ἐχρησιμοποιοῦσε μόνο ἐληές τῆς ἅλμης, λαθούρια καί λεπτά λάχανα. Τί χρειάζεται νά ἀναφέρωμε τόν Παῦλο, πού λέγει καί τοῦτο γιά τόν ἑαυτό του, ὅτι ἐπέρασε «μέ πεῖνα καί δίψα, πολλές φορές μέ νηστεῖες»[18];

7 Γιά σένα δέ δέν εἶναι ὁλόκληρος βίος τό διάστημα τῶν σαράντα ἡμερῶν τῆς νηστείας καί ἡ δύσις τοῦ ἡλίου περιορίζει καθημερινῶς τήν νηστεία σου κατ' αὐτήν. Ἄραγε δέν εἶναι γιά ὅλους σχεδόν εὔκολη καί σύμμετρη ἡ ἐπί τόσο διάστημα ἀσιτία; Ἀρκεῖ μόνο νά εἶναι καί ἡ σίτησις σύμμετρη, διότι ἔτσι νηστεύοντας μετρίως καί τρώγοντας μετρίως, δέν θά ὑστερήσης πολύ ἐκείνων πού ἀτροφοῦν[19]. Ἴσως φείδεσαι τήν σάρκα καί ἀποφεύγεις τήν νηστεία μέ τήν ἐντύπωσι ὅτι φέρει μαρασμό, ἀλλά τό ἀντίθετο συμβαίνει· διότι ὁ κόρος ἀπό τή φύσι του φέρει ποδάγρα, πονοκέφαλο καί ἄλλες ἀρρώστιες, ἐνῶ ἡ νηστεία εἶναι μητέρα ὑγείας· καί, ὅπως φαίνεται, ὄχι μόνο ὁ πόρνος ἁμαρτάνει στό σῶμα του, ἀλλά καί ὁ γαστρίμαργος πλημμελεῖ στό σῶμα του, διότι τό καθιστᾶ καχεκτικό καί νοσηρό.

8 Ἐπειδή δέ ἡ ἀκρασία ἐκτελεῖται ἀπό ὅλες τίς αἰσθήσεις, ἄς

19. Συνηθιζόταν ἀκόμη στήν ἐποχή τοῦ Γρηγορίου νά νηστεύουν ἀποφεύγοντας τροφή ὅλη τήν ἡμέρα καί τρώγοντας μετρίως μετά τή δύσι τοῦ ἡλίου.

πάσαις ἐπιστήσωμεν τὴν ἐγκράτειαν. Εἰ δὲ νηστεύεις μὲν βρωμάτων, τὴν δὲ ὄψιν ἔχεις προαγωγὸν εἰς τὴν ἐν τῷ ταμείῳ τῆς ψυχῆς σου μοιχείαν καὶ περιέργειαν καὶ βασκανίαν, τὴν δὲ ἀκοὴν δεκτικὴν ὕβρεων καὶ πορνικῶν ᾀσμάτων καὶ ψιθυρισμῶν οὐ καλῶν, καὶ τὰς ἄλλας αἰσθήσεις τῶν καταλλήλως βλαπτόντων, τί ὄφελος τῆς νηστείας; πάντως οὐδέν. Ἦν γὰρ δι' ἑτέρας φεύγεις κακίαν, κάθοδον αὐτῇ δίδως δι' ἄλλης εἰς τὴν ψυχήν· συνθέτων γὰρ ὄντων ἡμῶν ἐκ ψυχῆς λέγω καὶ σώματος, οὐ τοῦ σώματος μόνον, ἀλλὰ καὶ τῆς ψυχῆς πολυμελοῦς οὔσης (ἕτερον τρόπον ἔχει γὰρ καὶ αὕτη καθάπερ μέλη τὸ θρεπτικόν, τὸ ἐπιθυμητικόν, τὸ θυμικόν τε καὶ λογιστικόν), ἐκείνη ἐστὶν ἀληθὴς νηστεία, ἡ διὰ πάντων διήκουσα καὶ πάντα καθαίρουσά τε καὶ θεραπεύουσα· πραεῖα γάρ ἐστιν, ἀδελφοί, καὶ φιλανθρώπως ἡ διὰ νηστείας τῆς ψυχῆς ἰατρεία, καὶ διὰ τοῦτο καὶ οἱ πατέρες ἡμῶν διὰ τῶν ἡμερῶν τούτων ταύτην ἡμῖν ἐπέθηκαν.

9 Ἐὰν οὖν ταύτην ἡμεῖς ἀφρόνως ἐκφύγωμεν, αἱ κολαστικαὶ ποιναὶ καὶ τομαὶ καὶ καύσεις ἡμᾶς ἐκδέξονται, ὅτε Χριστὸς τὸ ἀθεράπευτον διχοτομήσει καὶ τῷ ἀσβέστῳ πυρὶ παραδώσει δίκην ὑφέξον αἰώνιον. Ὡς γὰρ μὴ νηστεύσαντες ἐν τῷ παραδείσῳ, εἰς τὸν πολυώδυνον τοῦτον βίον ἐρρίφημεν, οὕτως ἐνταῦθα μὴ νηστεύσαντες, μηδὲ ἐγκρατῶς ζήσαντες κατὰ δύναμιν, εἰς τὴν ἄσβεστον καὶ ἀφόρητον ἐκείνην ἐμπεσούμεθα γέενναν.

10 Ἀλλ' «ἐπιστρέψατε υἱοὶ ἀφεστηκότες», ἡ προφητεία φησίν. Οὐδὲν οὕτω συνεργὸν πρὸς ἐξιλασμὸν τοῖς ἐπιστρέφουσιν ὡς ἡ νηστεία ἐστίν, ὡς ἐκ τῆς τῶν Νινευϊτῶν ἐπιστροφῆς ἐδιδά-

ἐπιβάλωμε σέ ὅλες τήν ἐγκράτεια. Ἐάν νηστεύῃς μέν τά φαγητά, ἔχεις δέ τήν ὄψι προαγωγό γιά τήν μέσα στό ταμεῖο τῆς ψυχῆς σου μοιχεία καί περιέργεια καί βασκανία, τήν δέ ἀκοή δεκτική ὕβρεων καί πορνικῶν ἀσμάτων καί κακῶν ψιθυρισμῶν, καί τίς ἄλλες αἰσθήσεις δεκτικές πραγμάτων πού βλάπτουν ἀναλόγως, ποιό εἶναι τό ὄφελος τῆς νηστείας; Κανένα ἀπολύτως. Διότι τῆς κακίας πού ἀποφεύγεις διά μέσου ἄλλης αἰσθήσεως τῆς δίδεις κάθοδο στήν ψυχή δι' ἄλλης. Ἐπειδή δηλαδή εἴμαστε σύνθετοι ἀπό ψυχή καί σῶμα, εἶναι δέ ὄχι μόνο τό σῶμα, ἀλλά καί ἡ ψυχή πολυμελής (διότι ἔχει καί αὐτή κατά κάποιον τρόπο σάν μέλη τό θρεπτικό, τό ἐπιθυμητικό, τό θυμικό καί τό λογιστικό), ἐκείνη εἶναι ἀληθινή νηστεία, ἡ ὁποία διήκει διά μέσου ὅλων, τά καθαρίζει καί τά θεραπεύει ὅλα· διότι εἶναι πραεῖα, ἀδελφοί, καί φιλάνθρωπη ἡ ἰατρεία τῆς ψυχῆς διά τῆς νηστείας, καί γι' αὐτό μᾶς τήν ἐπέβαλαν γι' αὐτήν τή περίοδο οἱ πατέρες μας.

9 Ἐάν λοιπόν ἐμεῖς τήν ἀποφύγωμε ἀφρόνως, θά μᾶς περιμένουν οἱ κολαστικές ποινές καί τομές καί καύσεις, ὅταν ὁ Χριστός ἀποσπάση τούς ἀθεραπεύτους καί τούς παραδώση στό ἄσβεστο πῦρ γιά αἰώνια τιμωρία. Ὅπως δηλαδή, ἐπειδή δέν ἐνηστεύσαμε στόν παράδεισο, ἐρριφθήκαμε στόν πολυώδυνο τοῦτο βίο, ἔτσι ἐάν δέν νηστεύσωμε ἐδῶ καί δέν ζήσωμε ἐγκρατῶς κατά δύναμι, θά πέσωμε στήν ἄσβεστη ἐκείνη καί ἀφόρητη γέεννα.

10 Ἀλλά, λέγει ἡ προφητεία, «ἐπιστρέψατε, ἀπομακρυσμένοι υἱοί»[20]. Τίποτε δέν συνεργεῖ τόσο ἀποτελεσματικῶς στόν ἐξιλασμό αὐτῶν πού ἐπιστρέφουν ὅσο ἡ νηστεία, ὅπως ἐδιδαχθή-

20. Ἱερ. 3,14.

χθημεν· οὐδὲν οὕτω νεκροποιὸν ὡς ἡ γαστριμαργία ἐστί. Καὶ δείκνυσιν ὁ περὶ τοῦ ἀσώτου ἐπιστρέψαντος εἰπών, «οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησεν, ἀπολωλὼς ἦν καὶ εὑρέθη»· συώδη γὰρ βίον ἠσπάσατο καὶ συῶν ἤδετο βορβόρῳ, παρασυνεβλήθη τούτοις καὶ ὡμοιώθη αὐτοῖς, τὴν πρὸς Θεὸν ὁμοίωσιν ἀποθέμενος. Κατὰ δὲ τὸν μέγαν Ἰὼβ οὐ κτήνεσιν ὡμοιώθη μόνον, ἀλλὰ καὶ τοῖς ἐν ὑδρηλοῖς χωρίοις παντελῶς ἀναισθήτοις, βουτόμῳ τε καὶ παπύρῳ καὶ τῷ καλάμῳ, ἐν οἷς καὶ κοιμᾶται ὁ παμφάγος Λευϊάθαν· ἐν γὰρ τοῖς ὑγροβίοις τὸ νοητὸν τοῦτο κῆτος ἐπαναπαύεται. Ἣν ὑγρότητα ὁ Δαβὶδ ἀπελαύνων διὰ τῆς ἐγκρατείας τῆς οἰκείας ζωῆς, «ἐξηράνθη», φησίν, «ὡς ὄστρακον ἡ ἰσχύς μου καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν, τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον». Διὸ καὶ τὴν τῆς δεξιᾶς τοῦ Ὑψίστου ἠλλοιοῦτο ἀλλοίωσιν, αὐτῷ ἑαυτὸν ὅλον ἀναθέμενος καὶ ἑαυτὸν διὰ παντὸς ἐνώπιον αὐτοῦ προορώμενος καὶ τὴν τῆς οἰκείας καρδίας μελέτην ἐκεῖνον διὰ παντὸς ἔχων ἐνώπιον.

11 Τοῦτον δὴ καὶ ἡμεῖς, ἀγαπητοί, μιμησώμεθα, καὶ μὴ μόνον τῆς ὑγρᾶς καὶ διακεχυμένης ζωῆς ἑαυτοὺς ἀποστήσωμεν, ἀλλὰ καὶ τὴν ἡμετέραν νηστείαν καὶ ψαλμῳδίαν καὶ προσευχήν, ὡς αὐτοῦ παρόντος καὶ ἐφορῶντος τοῦ Θεοῦ, ποιώμεθα· εἰδότες, ὡς οὔτε νηστεία οὔτε ψαλμῳδία οὔτε προσευχὴ σώζειν ἡμᾶς καθ' ἑαυτὰ δύναται, ἀλλὰ τὸ ἐνώπιον ἐκτελεῖσθαι ταῦτα τοῦ

21. Λουκᾶ 15,24.
22. Ἰώβ 40,16.

καμε ἀπό τήν ἐπιστροφή τῶν Νινευϊτῶν· τίποτε δέν εἶναι τόσο νεκροποιό ὅσο ἡ γαστριμαργία. Καί τό δεικνύει αὐτός πού λέγει περί τοῦ ἐπιστρέψαντος ἀσώτου, «αὐτός ὁ υἱός μου ἦταν νεκρός καί ἀνέζησε, ἦταν χαμένος κι' εὑρέθηκε»[21]· διότι ἐδιάλεξε τόν χοιρώδη βίο καί εὐχαριστεῖτο στόν βόρβορο τῶν χοίρων, ἐξισώθηκε μέ αὐτούς καί ὡμοιώθηκε μέ αὐτούς, ἀφοῦ ἀπέρριψε τήν πρός τόν Θεό ὁμοίωσι. Κατά τόν μεγάλο Ἰώβ ὄχι μόνο ὁμοιώθηκε μέ τά κτήνη, ἀλλά καί μέ τά ἐντελῶς ἀναίσθητα ὑδροχαρῆ φυτά, τόν βούτομο καί τόν πάπυρο καί τόν κάλαμο, ἀνάμεσα στά ὁποῖα κοιμᾶται ὁ παμφάγος Λευϊάθαν[22]· διότι στά ὑγρόβια ἐπαναπαύεται τό νοητό τοῦτο κῆτος. Τήν ὑγρότητα αὐτήν ἀπομακρύνοντας ὁ Δαυίδ διά τῆς ἐγκρατοῦς ζωῆς του λέγει, «ἐξηράθηκε σάν ὄστρακο ἡ ἰσχύς μου, καί τά ὀστᾶ μου συνερρικνώθηκαν σάν φρύγανο, τά γόνατά μου ἀσθένησαν ἀπό νηστεία καί ἡ σάρκα μου ἀλλοιώθηκε ἀπό ἔλλειψι ἐλαίου»[23]. Γι' αὐτό ἀλλοιωνόταν τήν ἀλλοίωσι τῆς δεξιᾶς τοῦ Ὑψίστου, ἀναθέτοντας ὅλον τόν ἑαυτό του σ' αὐτόν καί προβλέποντας τόν ἑαυτό του ἐνώπιον αὐτοῦ διαπαντός καί ἔχοντας ἐκεῖνον διαπαντός ἐνώπιόν του ὡς μελέτημα τῆς καρδίας του.

11 Αὐτόν λοιπόν, ἀγαπητοί, ἄς μιμηθοῦμε κι' ἐμεῖς καί ὄχι μόνο ν' ἀπομακρύνωμε τούς ἑαυτούς μας ἀπό τήν ὑγρά καί ρευστή ζωή, ἀλλά καί νά ἐνεργοῦμε τήν νηστεία, τήν ψαλμωδία καί τήν προσευχή μας, σάν νά εἶναι παρών καί νά βλέπη ὁ ἴδιος ὁ Θεός· γνωρίζοντας ὅτι δέν μποροῦν νά μᾶς σώσουν καθ' ἑαυτά οὔτε νηστεία οὔτε ψαλμωδία οὔτε προσευχή, ἀλλά μᾶς σώζει τό νά γίνωνται αὐτά ἐνώπιον τοῦ Θεοῦ· διότι ἔτσι οἱ

23. Ψαλμ. 21,16.

Θεοῦ· οὕτω γὰρ οἱ ὀφθαλμοὶ Κυρίου ἐπιβλέποντες ἁγιάζουσιν ἡμᾶς, ὡς ὁ ἥλιος θερμαίνει τὰ ὑπ' αὐτοῦ καταλαμπόμενα.

12 Ἐνώπιον δὲ ταῦτα γίνεται Θεοῦ, ὅταν ἀτενῶς ἡ διάνοια ἐκείνῳ ἑνορᾷ, καὶ διὰ τὸ πρὸς αὐτὸν ὁρᾶν καὶ νηστεύῃ καὶ ψάλλῃ καὶ προσεύχηται· ὅταν γὰρ ἐν τῇ προσευχῇ καὶ ψαλμῳδίᾳ, ποτὲ μὲν ὁ νοῦς συντείνηται πρὸς τὸν Θεόν, ποτὲ δὲ διαπίπτῃ καὶ μετεωρίζηται, δεῖ νοεῖν, ὡς οὔπω ἀνεθήκαμεν ἑαυτοὺς ὅλους τῷ Θεῷ, οὐδὲ ἐν τῷ νόμῳ Κυρίου πᾶς ὁ σκοπὸς τῶν πραττομένων ἐφ' ἡμῶν ἐστι. Διὰ τοῦτο καθ' ὅσον τῶν τῆς δικαιοσύνης ἔργων ἀποπίπτομεν, κατὰ τοσοῦτον ἐνώπιον τῶν τοῦ Θεοῦ ὀφθαλμῶν παραμένειν οὐ δυνάμεθα· «οὐ γὰρ διαμενοῦσι», φησί, «παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου». Ὅμως μέντοι τετραυματισμένοι κείμενοι, τὸν δυνάμενον μάλαγμα καὶ καταδέσμους ἐπιθεῖναι τοῖς συντρίμμασιν ἡμῶν ἐπικαλώμεθα Κύριον.

13 Μὴ τοίνυν ἀνήσωμεν, παρακαλῶ, νηστείαις καὶ εὐχαῖς καὶ δάκρυσι καὶ πᾶσι τρόποις αὐτὸν ἐπιβοώμενοι, μέχρις ἂν ἐγγίσῃ καὶ ἰάσηται ἡμᾶς· δείξωμεν καὶ ἡμεῖς δι' ἔργων νυμφίον πλουτοῦντες Χριστὸν καὶ τοῦτον ἀποδημοῦντα νῦν ἀφ' ἡμῶν καὶ ἐν τοῖς ἐπουρανίοις κρυπτόμενον δι' ἐλπίδος ἀπεκδεχόμενοι· «ὅταν γάρ», φησίν, «ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν». Ὅθεν δῆλον ὡς ἐν ἐγκρατείᾳ τε καὶ νηστείᾳ διὰ παντὸς εἶναι τοῦ βίου χρὴ τοὺς ἀπὸ Χριστοῦ καλουμένους, μετ' ἀγαθῆς ἐλπίδος τὴν αὐτοῦ προσδοκῶντας φρικτὴν παρουσίαν. Νηστεύσωμεν δὲ μᾶλλον ἐν ταύταις ταῖς ἡμέραις καὶ παντοίως ἡμᾶς αὐ-

24. Ψαλμ.5,5.

ὀφθαλμοί τοῦ Κυρίου ἐπιβλέποντας μᾶς ἁγιάζουν, ὅπως ὁ ἥλιος θερμαίνει τά καταλαμπόμενα ἀπό αὐτόν.

12 Γίνονται δέ αὐτά ἐνώπιον τοῦ Θεοῦ, ὅταν ἡ διάνοια ἀτενίζῃ πρός ἐκεῖνον καί ὅταν βλέποντας πρός αὐτόν νηστεύῃ καί ψάλλῃ καί προσεύχεται. Ὅταν κατά τήν προσευχή καί τήν ψαλμωδία ὁ νοῦς ἄλλοτε μέν κατευθύνεται πρός τόν Θεό, ἄλλοτε δέ ἐκπίπτει καί μετεωρίζεται, πρέπει νά ἐννοήσωμε ὅτι δέν ἀνεθέσαμε ἀκόμη πλήρως τούς ἑαυτούς μας στόν Θεό οὔτε ὁ σκοπός ὅλος τῶν πράξεών μας εἶναι κατά τόν νόμο τοῦ Κυρίου. Γι' αὐτό ὅσο ἐκπίπτομε ἀπό τά ἔργα τῆς δικαιοσύνης, τόσο δέν μποροῦμε νά παραμένωμε ἐνώπιον τῶν ὀφθαλμῶν τοῦ Θεοῦ· «διότι», λέγει, «δέν θά παραμείνουν παράνομοι ἀπέναντι ἀπό τούς ὀφθαλμούς σου»[24]. Ἀλλ' ὅμως ὅταν εἴμαστε κάτω τραυματισμένοι, ἄς ἐπικαλούμαστε τόν Κύριο πού μπορεῖ νά ἐπιθέση μαλακτικά καί ἐπιδέσμους στίς πληγές μας.

13 Ἄς παύσωμε λοιπόν, παρακαλῶ, νά τόν καλοῦμε μέ νηστεῖες καί εὐχές, μέ δάκρυα καί μέ κάθε τρόπο, ἕως ὅτου μᾶς ἐγγίση καί μᾶς θεραπεύση· ἄς δείξωμε κι' ἐμεῖς μέ ἔργα ὅτι πλοῦτο ἔχομε τόν Νυμφίο Χριστό καί ὅτι τόν ἀναμένομε ἐναγωνίως, ἄν καί τώρα εἶναι μακριά μας καί κρύπτεται στά ἐπουράνια· «ὅταν φύγη ἀπό κοντά τους ὁ νυμφίος», λέγει, «τότε θά νηστεύσουν»[25]. Εἶναι ἐπομένως φανερό ὅτι αὐτοί πού ἔχουν τό ὄνομα τοῦ Χριστοῦ πρέπει νά διάγουν σέ ὅλο τους τό βίο μέ ἐγκράτεια καί νηστεία, περιμένοντας μέ ἀγαθή ἐλπίδα τήν φρικτή παρουσία του. Ἄς νηστεύσωμε δέ περισσότερο αὐτές τίς ἡμέρες καί ἄς εὐπρεπίσωμε τούς ἑαυτούς μας παντοιοτρόπως, κα-

25. Ματθ. 9,15.

τοὺς εὐτρεπίσωμεν, ἀπεκδεχόμενοι καὶ τὴν ἐπέτειον ἡμέραν τῆς τοῦ Χριστοῦ ἀναστάσεως, ἵνα καθαροὶ καθαρῶς καὶ τὰ πάθη τούτου δοξάσωμεν καὶ τύχωμεν τῆς δι' αὐτῶν ἡμῖν ὑπὸ τοῦ Κυρίου πραγματευθείσης ἀθανάτου καὶ μακαρίας ζωῆς.

14 Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

θώς περιμένομε καί τήν ἐπέτειο ἡμέρα τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὥστε νά δοξάσωμε καθαροί καθαρῶς τά πάθη του καί νά ἐπιτύχωμε τήν ἀπό τόν ἴδιο τόν Κύριο ἐξασφαλισθεῖσα σέ μᾶς ἀθάνατη καί μακαρία ζωή.

14 Αὐτήν εἴθε νά ἐπιτύχωμε ὅλοι ἐμεῖς μέ τήν χάρι καί φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ στόν ὁποῖο πρέπει κάθε δόξα, τιμή καί προσκύνησις μαζί μέ τόν ἄναρχο Πατέρα του καί τό πανάγιο καί ἀγαθό καί ζωοποιό Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Γένοιτο.



ΤΗι ΔΕΥΤΕΡΑι ΚΥΡΙΑΚΗι ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

Ὑπόθεσιν ἔχουσα τὸν ἐν Καπερναοὺμ ἰαθέντα παρὰ τοῦ Κυρίου Παράλυτον· καὶ πρὸς τοὺς ἀκαίρως ὁμιλοῦντας ἀλλήλοις ἐν ταῖς κατὰ τὴν Ἐκκλησίαν ἱεραῖς συνάξεσιν

ΟΜΙΛΙΑ Ι'

ΤΗι ΔΕΥΤΕΡΑι ΚΥΡΙΑΚΗι ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

Ὑπόθεσιν ἔχουσα τὸν ἐν Καπερναοὺμ ἰαθέντα παρὰ τοῦ Κυρίου Παράλυτον· καὶ πρὸς τοὺς ἀκαίρως ὁμιλοῦντας ἀλλήλοις ἐν ταῖς κατὰ τὴν Ἐκκλησίαν ἱεραῖς συνάξεσιν

1 *Αὐτὰς τὰς δεσποτικὰς φωνάς, μᾶλλον δὲ τὸ κεφάλαιον αὐτὸ τοῦ εὐαγγελικοῦ κηρύγματος, σήμερον ἐρῶ προοιμιαζόμενος πρὸς τὴν ὑμετέραν ἀγάπην· «μετανοεῖτε, ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν». Καὶ οὐκ ἤγγισε μόνον, ἀλλὰ καὶ ἐν ἡμῖν ἐστιν· «ἡ γὰρ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν ἐστι», πάλιν ὁ Κύριος εἶπε. Καὶ οὐκ ἐν ἡμῖν ἐστι μόνον, ἀλλὰ καὶ μετ' οὐ πολὺ περιφανέστερον παραγίνεται, καταργήσουσα πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν καὶ παρέξουσα τὸ ἄμαχον κράτος, τὸν ἀδαπάνητον πλοῦ-*

ΟΜΙΛΙΑ 10

ΚΑΤΑ ΤΗ ΔΕΥΤΕΡΑ ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

Ἔχει ὑπόθεση τόν παράλυτο πού ἐθεραπεύτηκε στήν Καπερναούμ ἀπό τόν Κύριο· καί πρός τούς ὁμιλοῦντας ἀκαίρως μεταξύ τους κατά τίς ἱερές συνάξεις στήν Ἐκκλησία

1 Σήμερα θά εἰπῶ πρός τήν ἀγάπη σας ὡς προοίμιο τά ἴδια τά δεσποτικά λόγια, μᾶλλον δέ τήν πεμπτουσία τοῦ εὐαγγελικοῦ κηρύγματος· «μετανοεῖτε, διότι ἤγγισε ἡ βασιλεία τῶν οὐρανῶν»[1]. Καί δέν ἤγγισε μόνο, ἀλλά καί εἶναι μέσα μας· διότι, εἶπε πάλι ὁ Κύριος, «ἡ βασιλεία τῶν οὐρανῶν εἶναι μέσα μας»[2]. Καί δέν εἶναι μόνο μέσα μας, ἀλλά σέ λίγον καιρό φθάνει περιφανέστερα, γιά νά καταργήση κάθε ἀρχή καί ἐξουσία καί δύναμι καί νά προσφέρη τήν ἀκαταμάχητη ἰσχύ, τόν

1. Ματθ. 3,2.

τον, τὴν ἀναλλοίωτον καὶ ἀκήρατον καὶ ἀτελεύτητον τρυφὴν καὶ δόξαν καὶ ἐξουσίαν καὶ δύναμιν μόνοις τοῖς κατὰ Θεὸν ζῶσι καὶ θεαρέστως ἐνταῦθα βεβιωκόσιν.

2 Ἐπεὶ τοίνυν ἡ βασιλεία τοῦ Θεοῦ καὶ ἤγγικε καὶ ἐν ἡμῖν ἐστι, καὶ μετ' οὐ πολὺ παραγίνεται, ποιήσωμεν διὰ τῶν τῆς μετανοίας ἔργων ἑαυτοὺς αὐτῆς ἀξίους· βιάσωμεν ἡμᾶς αὐτούς, τὰς πονηρὰς ἀνακόπτοντες προλήψεις καὶ συνηθείας· βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.[2] Ζηλώσωμεν τῶν θεοφόρων ἡμῶν πατέρων τὴν ὑπομονήν, τὴν ταπείνωσιν, τὴν πίστιν αὐτήν· «τούτων γάρ», φησίν, «ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν».[3] Νεκρώσωμεν τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πᾶν πάθος κακὸν καὶ τὴν πλεονεξίαν, καὶ μάλιστα κατὰ τὰς ἱερὰς ταύτας τῆς νηστείας ἡμέρας. Διὰ τοῦτο γὰρ προλαβοῦσα ἡ τοῦ Πνεύματος χάρις, περὶ τῆς μελλούσης τοῦ Θεοῦ φρικωδεστάτης κρίσεως ἐδίδαξεν ἡμᾶς, εἶτα καὶ τῆς ἐξορίας τοῦ Ἀδὰμ ὑπέμνησε καὶ μετὰ τοῦτο τὴν ἀσφαλεστάτην πίστιν ὑπέδειξεν ἡμῖν, ἵνα τῷ ἐξ ἐκείνης φόβῳ καὶ τῷ ἐπὶ ταύτης θρήνῳ, τῆς τε πίστεως ἀσφαλῶς ἀντεχώμεθα καὶ συστέλλωμεν ἡμᾶς αὐτοὺς καὶ μὴ ἐκδιδῶμεν τῇ ἀκρασίᾳ, μηδὲ διὰ τῆς ἀπίστου καὶ ἀπλήστου γαστρὸς πᾶσι τοῖς πάθεσι θύραν ἀνοίγωμεν καὶ χώραν παρέχωμεν καὶ τῆς εὐρυχώρου καὶ πλατείας ὅλοι γινώμεθα, μεθ' ἡδονῆς ὡς εἰπεῖν ἀπολλύμενοι· ἀλλὰ τὴν εἰς ζωὴν αἰώνιον ἀπάγουσαν στενὴν καὶ τεθλιμμένην ὁδὸν ἀγαπήσαντες, ἧς ἀρχὴ καὶ πρῶτον στά-

2. Λουκᾶ 17,21.
3. Ἑβρ. 13,7.

ἀδαπάνητο πλοῦτο, τήν ἀναλλοίωτη καί ἄφθαρτη καί ἀτελεύτητη τρυφή καί δόξα, ἐξουσία καί δύναμι, μόνο σ' αὐτούς πού ἔχουν ζήσει ἐδῶ κατά τό θέλημα καί τήν ἀρέσκεια τοῦ Θεοῦ.

2 Ἐπειδή λοιπόν ἡ βασιλεία τοῦ Θεοῦ καί ἤγγισε καί μέσα μας εἶναι καί σέ λίγον καιρό φθάνει, ἄς καταστήσωμε τούς ἑαυτούς μας μέ τά ἔργα τῆς μετανοίας ἀξίους αὐτῆς. Ἄς βιάσωμε τούς ἑαυτούς μας ἀνακόπτοντας τίς πονηρές προλήψεις καί συνήθειες· διότι ἡ βασιλεία τῶν οὐρανῶν εἶναι βιαστή καί οἱ βιασταί τήν ἁρπάζουν. Ἄς ζηλεύσωμε τήν ὑπομονή, τήν ταπείνωσι καί τήν πίστι τῶν θεοφόρων πατέρων μας· διότι λέγει, «ἐξετάζοντας τά ἀποτελέσματα τῆς διαγωγῆς τούτων, νά μιμῆσθε τήν πίστι τους»[3]. Ἄς νεκρώσωμε τά μέλη μας τά ἐπίγεια, πορνεία, ἀκαθαρσία, κάθε κακό πάθος, καί τήν πλεονεξία, καί μάλιστα κατά τήν διάρκεια τῶν ἱερῶν τούτων ἡμερῶν τῆς νηστείας. Γι' αὐτό ἀκριβῶς ἡ χάρις τοῦ Πνεύματος κατά σειρά, πρῶτα μᾶς ἐδίδαξε περί τῆς μελλούσης φρικωδεστάτης κρίσεως τοῦ Θεοῦ, ἔπειτα μᾶς ὑπενθύμισε περί τῆς ἐξορίας τοῦ Ἀδάμ καί μετά ἀπό αὐτό μᾶς ὑπέδειξε τήν ἀσφαλεστάτη πίστι[4], ἔτσι ὥστε μέ τό φόβο τῆς πρώτης καί μέ τόν θρῆνο τῆς δευτέρας νά τηροῦμε μέ βεβαιότητα τήν πίστι, νά συμμαζεύωμε τούς ἑαυτούς μας, νά μή παραδιδώμαστε στήν ἀκράτεια, νά μή ἀνοίγωμε θύρα καί προσφέρωμε χῶρο διά τῆς ἄπιστης καί ἄπληστης κοιλίας σέ ὅλα τά πάθη καί φθάνωμε στήν εὐρύχωρη καί πλατειά ὁδό, καταστρεφόμενοι μ' εὐχαρίστησι κατά κάποιον τρόπο· ἀλλά, ἀφοῦ ἀγαπήσωμε τήν στενή καί θλιμμένη ὁδό πού ὁδηγεῖ στήν αἰώνια ζωή, τῆς ὁποίας ἀρχή καί πρῶτο στάδιο εἶναι ἡ

4. Ὁ Γρηγόριος ἐννοεῖ τό ἑορταστικό περιεχόμενο τῶν τριῶν πρώτων Κυριακῶν τοῦ Τριωδίου, Ἀπόκρεω, Τυρινῆς, Ὀρθοδοξίας.

διον ἡ νηστεία ἐστί, τὴν τεσσαρακοστὴν τῶν νηστίμων ἡμερῶν ταύτην μετ' εὐτονίας ἀνύσωμεν.

3 Εἰ γάρ, ὥσπερ καιρὸς τῷ παντὶ πράγματι, κατὰ τὸν Σολομῶντα καὶ τοῖς πᾶσιν ὁ χρόνος, οὕτω καὶ καιρὸς ἐπιτήδειον ζητεῖ τις πρὸς ἐργασίαν τῆς ἀρετῆς, οὗτός ἐστιν ὁ καιρός, ἡ τεσσαρακοστὴ τῶν ἡμερῶν αὕτη. Εἰ δὲ καὶ πᾶς ὁ τῶν ἀνθρώπων βίος πρὸς σωτηρίας πορισμόν ἐστιν ἐπιτήδειος, πολλῷ μᾶλλον ὁ καιρὸς οὗτος τῆς νηστείας ἐστίν· ἐπεὶ καὶ ὁ ἀρχηγὸς καὶ χορηγὸς τῆς σωτηρίας ἡμῶν Χριστὸς ἀπὸ νηστείας ἐποιήσατο τὴν ἀρχὴν καὶ ἐν τῷ σταδίῳ ταύτης τὸν δημιουργὸν τῶν παθῶν, παντοίως προσβαλόντα, κατεπάλαισε καὶ κατῄσχυνε διάβολον. Ὥσπερ γὰρ ἡ τῆς γαστρὸς ἀκρασία, τῶν ἀρετῶν ἀναιρέτης οὖσα, γεννήτρια τῆς ἐμπαθείας ἐστίν, οὕτω καὶ ἡ ἐγκράτεια τοὺς ἐκ τῆς ἀκρασίας μολυσμοὺς ἀναιροῦσα γεννήτρια τῆς ἀπαθείας ἐστίν. Εἰ δὲ μήπω τὰ πάθη ἐν ἡμῖν ὄντα προξενεῖ τε καὶ ἐπροξένησεν ἡ ἀκρασία, πῶς ὄντα οὐκ αὐξήσει τε καὶ στηρίξει, ὥσπερ ἡ νηστεία μειώσει ταῦτα καὶ ἀφανίσει; συζυγεῖς δὲ ἀλλήλαις εἰσὶν ἥ τε νηστεία καὶ ἡ ἐγκράτεια, κἂν ἄλλοτε ἄλλη τοῖς συνετῶς μετιοῦσιν εὐκαίρως πλεονεκτῇ.

4 Ταύτας οὖν καὶ ἡμεῖς ἀρτίως ἀλλήλων μὴ διαζεύξωμεν, ἀλλὰ τῇ μὲν σεπτῇ μεταξὺ πεντάδι τῶν τῆς ἑβδομάδος ἡμερῶν μᾶλλον ἀντεχώμεθα τῆς νηστείας, Σαββάτου δὲ καὶ Κυριακῆς τῇ ἐγκρατείᾳ μᾶλλον ἢ τῇ νηστείᾳ προσέχωμεν, ὡς ἂν συνετῶς ἀκροώμεθα τῶν εὐαγγελικῶν ῥημάτων, ἃ σήμερον ἡμῖν ἀπαγγελεῖ τὴν τοῦ παραλύτου θαυμαστὴν ἴασιν, οὐ τὴν ἐν Ἱερουσαλύμοις, ἀλλὰ τὴν ἐν Καπερ-

νηστεία, νά διανύσωμε αὐτήν τήν τεσσαρακοστή τῶν νηστησίμων ἡμερῶν μέ εὐρωστία.

3 Πραγματικά ἐάν, ὅπως γιά κάθε πρᾶγμα ὑπάρχει ὁ κατάλληλος καιρός, κατά τόν Σολομῶντα[5], καί γιά ὅλα ὑπάρχει ὁ χρόνος, ἔτσι καί γιά τήν ἐκτέλεσι τῆς ἀρετῆς πρέπει κανείς νά ζητήση τόν κατάλληλο καιρό, αὐτός ἐδῶ εἶναι καιρός, αὐτή ἡ τεσσαρακοστή τῶν ἡμερῶν. Ἐάν δέ καί ὅλος ὁ βίος τῶν ἀνθρώπων εἶναι ἐπιτήδειος γιά τήν κατάκτησι τῆς σωτηρίας, πολύ περισσότερο εἶναι ὁ καιρός αὐτός τῆς νηστείας· καθ' ὅσον καί ὁ ἀρχηγός καί χορηγός τῆς σωτηρίας μας Χριστός ἔκαμε τήν ἀρχή ἀπό νηστεία, καί στό στάδιό της κατεπάλαισε καί κατεντρόπιασε τόν δημιουργό τῶν παθῶν Διάβολο, πού τοῦ ἐπετέθηκε παντοιοτρόπως. Ὅπως πραγματικά ἡ ἀκρασία τῆς κοιλιᾶς πού ἀναιρεῖ τίς ἀρετές εἶναι γεννήτρια τῆς ἐμπαθείας, ἔτσι καί ἡ ἐγκράτεια, πού ἀναιρεῖ τούς ἀπό τήν ἀκρασία μολυσμούς, εἶναι γεννήτρια τῆς ἀπαθείας. Ἐάν δέ ἡ ἀκρασία προξενεῖ καί προξένησε τά πάθη πού δέν ὑπῆρχαν σ' ἐμᾶς, πῶς, ὅταν ὑπάρχουν, δέν θά τά αὐξήση καί στηρίξη, ὅπως ἡ νηστεία θά τά μειώση καί θά τά ἀφανίση; Εἶναι δέ συζυγικαί μεταξύ τους ἡ νηστεία καί ἡ ἐγκράτεια, ἔστω καί ἄν γιά τούς συνετούς ἐρευνητάς πότε πλεονεκτῆ ἡ μία καί πότε ἡ ἄλλη.

4 Ἄς μή τίς διαζεύξωμε λοιπόν κι' ἐμεῖς τώρα, ἀλλά κατά τήν διάρκεια τῶν πέντε ἡμερῶν τῆς ἑβδομάδος ἄς τηροῦμε περισσότερο τή νηστεία, ἐνῶ κατά τό Σάββατο καί τήν Κυριακή ἄς προσέχωμε μᾶλλον στήν ἐγκράτεια παρά στήν νηστεία, γιά νά ἀκούωμε μέ σύνεσι τά εὐαγγελικά λόγια, τά ὁποῖα θά μᾶς ἀναγγείλουν σήμερα τήν θαυμαστή ἴασι τοῦ παραλύτου πού πραγμα-

5. Ἐκκλ. 3,1.

ναοὺμ ὑπὸ τοῦ Κυρίου γεγενημένην. Τῷ γὰρ καιρῷ ἐκείνῳ, φησὶν ὁ θεηγόρος Μάρκος, «εἰσῆλθε πάλιν ὁ Ἰησοῦς εἰς Καπερναοὺμ δι' ἡμερῶν». Ταύτην δὲ τὴν Καπερναοὺμ ἰδίαν πόλιν τοῦ Κυρίου ὁ Ματθαῖός φησι· τὰ γὰρ κατὰ τὸν παράλυτον τοῦτον κάκεῖνος ἱστορῶν, «ἦλθε», φησίν, «ὁ Ἰησοῦς εἰς τὴν ἰδίαν πόλιν»· μετὰ γὰρ τὸ βαπτισθῆναι ἐν τῷ Ἰορδάνῃ ὑπὸ Ἰωάννου καὶ τὸ Πνεῦμα οὐρανόθεν ἐπ' αὐτὸν καταπτῆναι, εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος πρὸς πεῖραν ἐξάγεται καὶ μετὰ τὸ νικῆσαι τὸν πειραστὴν ἐπανελθὼν ἐγγὺς Ἰορδάνου περιῄει διδάσκων, καὶ ὑπὸ τοῦ Βαπτιστοῦ πολλαχῶς μαρτυρούμενος, μέχρις ὅτου ὁ Ἰωάννης ὑπὸ Ἡρώδου κατάκλειστος γέγονε. Τότε δέ, ὡς ὁ Ματθαῖός φησιν, «ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν καί, καταλιπὼν τὴν Ναζαρέτ, ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν».

5 *Ἐξήρχετο οὖν ἀπ' αὐτῆς εἴς τε τὰς ἐρήμους προσευχῆς χάριν καὶ εἰς τὰς τῶν γειτόνων κωμοπόλεις κηρύσσων καὶ πάλιν ἐπανήρχετο πρὸς αὐτήν. Διὰ τοῦτο Ματθαῖος μὲν ὁ εὐαγγελιστὴς ἰδίαν εἶπε ταύτην πόλιν αὐτοῦ, ὁ δὲ Μάρκος εἰσῆλθε, φησί, πάλιν εἰς Καπερναοὺμ δι' ἡμερῶν. «Καὶ ἤκουσαν ὅτι εἰς οἶκόν ἐστι καὶ εὐθέως συνήχθησαν πολλοί, ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν»· τὴν γὰρ διατριβὴν ὡς ἐπὶ πλεῖστον ἐκεῖ ποιούμενος διὰ πολλῶν καὶ μεγάλων καὶ θαυμάτων καὶ λόγων ἐπεγνώσθη μειζόνως, διὸ καὶ ἐποθεῖτο διαφερόντως. Ὡς οὖν ἤκουσαν ὅτι πάρεστι πάλιν, πανδημεὶ συνέρρευσαν· ὡς δὲ ὁ Λουκᾶς φησι, καὶ ἀπὸ πάσης πόλεως ἦσαν οἱ συνελθόντες, ἐν οἷς καὶ Γραμματεῖς ἦσαν καὶ Φαρισαῖοι καὶ*

---

6. Μάρκ. 2,1-12. Ματθ. 9,1-8. Λουκᾶ 5,17-26.
7. Μάρκ. 2,1.

τοποιήθηκε ἀπό τόν Κύριο ὄχι στά Ἱεροσόλυμα, ἀλλά στήν Καπερναούμ[6]. Τόν καιρό ἐκεῖνο, λέγει ὁ θεηγόρος Μάρκος, «εἰσῆλθε πάλι ὁ Ἰησοῦς στήν Καπερναούμ γιά ἡμέρες»[7]. Αὐτήν δέ τήν Καπερναούμ ὀνομάζει ἰδιαιτέρα πόλι τοῦ Κυρίου ὁ Ματθαῖος. Διότι ἱστορώντας καί αὐτός τά σχετικά μέ τόν παράλυτο τοῦτον, λέγει, «ἦλθε ὁ Ἰησοῦς στή δική του πόλι»[8]. Πραγματικά, ἀφοῦ ἐβαπτίσθηκε στόν Ἰορδάνη ἀπό τόν Ἰωάννη καί τό Πνεῦμα ἐπέταξε ἐπάνω σ' αὐτόν, ἐξάγεται στήν ἔρημο ἀπό τό Πνεῦμα γιά δοκιμασία καί μετά τήν νίκη του κατά τοῦ πειρασμοῦ ἐπανῆλθε καί περιερχόταν τά πλησιόχωρα τοῦ Ἰορδάνη διδάσκοντας καί μαρτυρούμενος μέ πολλούς τρόπους ἀπό τόν Βαπτιστή, μέχρις ὅτου ὁ Ἰωάννης ἐφυλακίσθηκε ἀπό τόν Ἡρώδη. Τότε δέ, ὅπως λέγει ὁ Ματθαῖος, «ἀνεχώρησε στήν Γαλιλαία καί ἐγκαταλείποντας τήν Ναζαρέτ, ἦλθε καί κατοίκησε στήν παραθαλάσσια Καπερναούμ»[9].

5 Ἐξερχόταν λοιπόν ἀπό αὐτήν στίς ἐρήμους χάριν προσευχῆς καί στίς κωμοπόλεις τῶν γειτόνων γιά νά κηρύττη καί πάλι ἐπανερχόταν σ' αὐτήν. Γι' αὐτό ὁ μέν εὐαγγελιστής Ματθαῖος τήν ὠνόμασε ἰδιαιτέρα πόλι του, ὁ δέ Μάρκος λέγει ὅτι εἰσῆλθε πάλι στήν Καπερναούμ γιά ἡμέρες. «Καί ἄκουσαν ὅτι εἶναι σ' ἕνα οἶκο καί ἀμέσως συναθροίσθηκαν πολλοί, ὥστε νά μή χωροῦν ἄλλους οὔτε τά σημεῖα γύρω ἀπό τή θύρα»· διότι, ἀφοῦ τόν περισσότερο χρόνο ἔμενε ἐκεῖ, ἀναγνωρίσθηκε καλύτερα διά τῶν πολλῶν καί μεγάλων θαυμάτων καί λόγων, γι' αὐτό καί ἐποθεῖτο ὑπερβολικά. Καθώς ἤκουσαν λοιπόν ὅτι εἶναι πάλι κοντά, συνέρρευσαν πολυπληθεῖς· ὅπως δέ λέγει ὁ Λουκᾶς εἶχαν συνέλθει καί ἀπό κάθε πόλι, μεταξύ δέ τῶν συνελθόντων

8. Ματθ. 4,12.
9. Ματθ. 4,12.

νομοδιδάσκαλοι· καὶ ἐλάλει αὐτοῖς, φησί, τὸν λόγον. Οὗτος γὰρ ἦν αὐτῷ προηγούμενον ἔργον, ὃ καὶ παραβολικῶς ἐδήλωσεν εἰπών· «ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ», δηλονότι τὸν τῆς διδασκαλίας λόγον, καὶ «ἦλθόν φησι καλέσαι τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν», ἡ δὲ κλῆσις διὰ τοῦ λόγου τῆς διδασκαλίας. Τοῦτο καὶ ὁ Παῦλος δηλῶν ἔλεγε, «ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ».

6 *⌈Ἐλάλει μὲν οὖν ὁ Κύριος ἅπασι κοινῶς καὶ ἀνεπιφθόνως τὸν λόγον τῆς μετανοίας, τὸ εὐαγγέλιον τῆς σωτηρίας, τὰ ῥήματα τῆς αἰωνίου ζωῆς. Καὶ πάντες μὲν ἤκουον, οὐ πάντες δὲ ὑπήκουον· φιλήκοοι μὲν γὰρ καὶ φιλοθεάμονές ἐσμεν ἅπαντες, φιλάρετοι δὲ οὐχ ἅπαντες. Πρὸς μὲν γὰρ τὸ ποθεῖν εἰδέναι πρὸς τοῖς ἄλλοις καὶ τὰ σωτήρια πεφύκαμεν ἅπαντες, διὸ καὶ τῆς ἱερᾶς διδασκαλίας οἱ πλείους οὐ μόνον ἡδέως ἀκούουσιν, ἀλλὰ καὶ φιλοκρινοῦσι τοὺς λόγους, ὅπως ἂν ἕκαστος ἀγνοίας ἢ συνέσεως ἔχῃ πρὸς τὸ δοκοῦν ἐξετάζοντες· πρὸς δὲ τὸ εἰς ἔργον ἄγειν τοὺς λόγους ἢ καὶ πίστιν ἐξ αὐτῶν καρποῦσθαι λυσιτελοῦσαν, εὐγνωμοσύνης δεῖ καὶ ἀγαθῆς προαιρέσεως, ἥτις οὐ ῥᾳδίως εὑρίσκεται, καὶ μάλιστα ἐν τοῖς δικαιοῦσιν ἑαυτοὺς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμοσιν, ὁποῖοί τινες ἦσαν οἱ Γραμματεῖς καὶ Φαρισαῖοι τῶν Ἰουδαίων.⌋*

7 *Διὸ καὶ τότε παραμένοντες ἤκουον μὲν τοῦ λόγου καὶ τὰ τελούμενα σημεῖα ἑώρων, ἐβλασφήμουν δὲ μᾶλλον ἢ ἐπῄνουν τὸν δι' ἔρ-*

10. Λουκᾶ 8,5.
11. Ματθ. 9,13.

ἦσαν Γραμματεῖς καί Φαρισαῖοι καί νομοδιδάσκαλοι· καί ἀπηύθυνε πρός αὐτούς τόν λόγο. Τοῦτο δέ ἦταν τό κυριώτερο ἔργο του, ὅπως καί προκαταβολικῶς ἐδήλωσε μέ τά λόγια· «ἐξῆλθε ὁ σπορεύς νά σπείρη τόν σπόρο του»[10], δηλαδή τόν λόγο τῆς διδασκαλίας, καί «ἦλθα νά καλέσω τούς ἁμαρτωλούς σέ μετάνοια»[11], ἡ δέ κλῆσις γίνεται μέ τόν διδακτικό λόγο. Τοῦτο ἤθελε νά δηλώση καί ὁ Παῦλος ὅταν ἔλεγε, «ἡ πίστις γεννᾶται ἀπό τήν ἀκοή, ἡ δέ ἀκοή διά τοῦ λόγου τοῦ Θεοῦ»[12].

6 Ἀπηύθυνε λοιπόν ὁ Κύριος σ' ὅλους γενικῶς καί χωρίς φθόνο τόν λόγο τῆς μετανοίας, τό εὐαγγέλιο τῆς σωτηρίας, τά λόγια τῆς αἰώνιας ζωῆς. Καί ὅλοι μέν ἤκουαν, ἀλλά δέν ὑπήκουαν ὅλοι· διότι φιλήκοοι μέν καί φιλοθεάμονες εἴμαστε ὅλοι, φιλάρετοι δέ δέν εἴμαστε ὅλοι. Πραγματικά εἴμαστε καμωμένοι νά ποθοῦμε πλήν τῶν ἄλλων νά γνωρίζωμε καί τά σχετικά μέ τήν σωτηρία, γι' αὐτό οἱ περισσότεροι ὄχι μόνο ἀκούουν εὐχαρίστως τήν ἱερά διδασκαλία, ἀλλά καί διερευνοῦν τούς λόγους, ἐξετάζοντάς τους κατά τήν ἄποψί του ὁ καθένας σύμφωνα μέ τήν ἄγνοια ἤ σύνεσι πού τόν κατέχει. Γιά νά φέρωμε ὅμως τούς λόγους σέ ἔργο ἤ καί νά καρπωνώμαστε ἀπό αὐτούς ὠφέλιμη πίστι, χρειάζεται εὐγνωμοσύνη καί ἀγαθή προαίρεσις, ἡ ὁποία δέν εὑρίσκεται εὔκολα, καί μάλιστα ἀνάμεσα σ' αὐτούς πού δικαιώνουν ἑαυτούς καί εἶναι κατά τούς ἑαυτούς των εἰδήμονες, ὅπως ἀκριβῶς ἦσαν οἱ Γραμματεῖς καί Φαρισαῖοι μεταξύ τῶν Ἰουδαίων.

7 Γι' αὐτό καί τότε, μένοντας στόν οἶκο ἐκεῖνο, ἤκουσαν τό λόγο κι' ἔβλεπαν τά τελούμενα θαύματα, ἐβλασφημοῦσαν ὅμως

12. Ρωμ. 10,17.

γων καὶ λόγων εὐεργετοῦντα. Διδάσκοντος γὰρ τοῦ Κυρίου καὶ πάντων ἢ τῶν πλείστων ἐστῶσιν ὡσὶν ὑποδεχομένων τοὺς λόγους τῆς χάριτος τοὺς ἐκπορευομένους ἐκ τοῦ στόματος αὐτοῦ, «ἔρχονται», φησί, «τινὲς πρὸς αὐτόν, παραλυτικὸν φέροντες αἰρόμενον ὑπὸ τεσσάρων καί, μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ὁ Κύριος ἦν καὶ ἐξορύξαντες χαλῶσι τὸν κράββατον, ἐφ' ᾧ ὁ παραλυτικὸς κατέκειτο». Ἔστι μὲν τῆς τῶν αἰρόντων πίστεως εἶναι νομίσαι τὸ πραχθὲν ἅπαν καὶ τῇ πίστει τούτων ἀρεσθέντα τὸν Κύριον δοῦναι τῷ παραλύτῳ τὴν ἐξῆς ἴασιν· ἐμοὶ δὲ δοκεῖ μὴ οὕτως ἔχειν τὸ ἀληθές. Εἰ γὰρ καὶ τὸν παῖδα τοῦ ἀρχισυναγώγου θεραπεύων ὁ Κύριος οὐκ ἐζήτησε τὴν παρ' αὐτοῦ πίστιν, οὐδ' ἀπὸ τῆς θυγατρὸς τῆς Χαναναίας ἢ τῆς Ἰαείρου, τῇ πίστει τῶν ὑπὲρ αὐτῶν προσελθόντων ἀρκεσθείς, ἀλλὰ τούτων ἡ μὲν τεθνηκυῖα ἦν, ἡ δὲ τῆς Χαναναίας ἔκφρων, ὁ δὲ παῖς οὐδὲ παρῆν· ὁ δὲ παράλυτος οὗτος παρῆν καὶ λογισμοῦ κύριος ἦν, εἰ καὶ τὸ σῶμα παράλυτος ἦν. Διό μοι δοκεῖ μᾶλλον ἐκ τῆς εὐελπιστίας καὶ πίστεως τούτου καὶ τοὺς αἴροντας τὴν εἰς τὸν Κύριον πίστιν εἰσδέξασθαι καὶ θαρρῆσαι προσελθεῖν καὶ τῷ παραλυτικῷ τούτῳ πειθομένους αἴρειν καὶ ἀναφέρειν ἐπὶ τὸ στέγος καὶ χαλᾶν ἐκεῖθεν τοῦ Κυρίου ἐνώπιον· οὐ γὰρ ἂν ἄκοντος ἐκεῖνοι ταῦτα ἔπραττον, καὶ τὸ ἐπιτεταμένον τῆς παραλύσεως οὐ τὸν λογισμόν, ἀλλὰ τὰ ἐπιπροσθοῦντα καὶ προσιστάμενα τῇ πίστει μᾶλλον εἰκότως διέλυσε.

8 Δόξης γὰρ ἀνθρωπίνης ἔρως τοὺς Φαρισαίους ἀπῆγε τῆς πρὸς τὸν Κύριον πίστεως· διὸ καὶ πρὸς αὐτοὺς ἔλεγε, «πῶς δύνασθε πι-

περισσότερο παρά ἐπαινοῦσαν τόν διά τῶν ἔργων καί λόγων εὐεργέτην. Πραγματικά, ὅταν ὁ Κύριος ἐδίδασκε καί ὅλοι ἤ οἱ περισσότεροι ἐδέχονταν μέ ἀνοικτά αὐτιά τούς λόγους τῆς χάριτος πού ἐκπορεύονταν ἀπό τό στόμα του, λέγει, «ἔρχονται κάποιοι πρός αὐτόν, πού ἔφεραν ἕνα παραλυτικό καί τόν ἐσήκωναν τέσσερις, οἱ ὁποῖοι μή μπορώντας νά τόν πλησιάσουν ἐξ αἰτίας τοῦ πλήθους ἐξεσκέπασαν τήν στέγη τῆς οἰκίας ὅπου ἦταν ὁ Κύριος καί ἀνοίγοντας τρύπα κατέβασαν τό κρεββάτι στό ὁ ὁποῖο ἐκοιτόταν ὁ παραλυτικός». Εἶναι δυνατό νά νομισθῆ ὅτι ἡ πρᾶξις ὅλη εἶναι ἀποτέλεσμα τῆς πίστεως τῶν συνοδῶν καί ὅτι ὁ Κύριος ἔδωσε στή συνέχεια τήν ἴασι διότι ἐξετίμησε τήν πίστι τους· ἀλλ' ἐγώ νομίζω ὅτι τοῦτο δέν εἶναι ἀληθινό. Ἐάν πραγματικά ὁ Κύριος, θεραπεύοντας τό ἀγόρι τοῦ ἀρχισυναγώγου, δέν ἐζήτησε τήν πίστι ἀπό αὐτό, ὅπως οὔτε ἀπό τήν θυγατέρα τῆς Χαναναίας ἤ τοῦ Ἰαείρου, ἀρκούμενος στήν πίστι αὐτῶν πού προσῆλθαν ὑπέρ αὐτῶν, ἀλλ' ἀπό αὐτούς ἡ μέν θυγατέρα τοῦ Ἰαείρου ἦταν ἀποθαμένη, ἡ τῆς Χαναναίας ἦταν ψυχοπαθής, τό δέ ἀγόρι οὔτε κἄν ἦταν παρόν· ὁ παράλυτος αὐτός ὅμως ἦταν παρών καί κύριος τοῦ λογικοῦ του, ἄν καί ἦταν παράλυτος στό σῶμα. Γι' αὐτό νομίζω ὅτι μᾶλλον ἀπό τήν ἐλπίδα καί πίστι τοῦ παραλυτικοῦ ἐδέχθηκαν τήν πίστι στόν Κύριο καί οἱ συνοδοί του κι' ἐνθαρρύνθηκαν νά προσέλθουν σ' αὐτόν. Πειθόμενοι στόν παραλυτικό τοῦτον τόν μετέφεραν καί τόν ἀνέβασαν ἐπάνω στή στέγη καί τόν κατέβασαν ἀπό ἐκεῖ ἐμπρός στόν Κύριο. Βέβαια ἐκεῖνοι δέν θά ἐνεργοῦσαν ἔτσι χωρίς τή θέλησι αὐτοῦ καί ἡ ἐπίτασις τῆς παραλύσεως προφανῶς δέν εἶχε διαλύσει τό λογικό ἀλλά μᾶλλον τά ἐμπόδια καί προσκόμματα στήν πίστι.

8 Ὁ ἔρως τῆς ἀνθρωπίνης δόξης ἀπεμάκρυνε τούς Φαρισαίους ἀπό τήν πίστι πρός τόν Κύριο· γι' αὐτό ἔλεγε πρός αὐ-

στεύειν εἰς ἐμέ, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;». Ἄλλους δὲ πάλιν ἀγροὶ καὶ γάμοι καὶ βιωτικῶν φροντίδες ἔργων ἀπεῖργον τῆς προσελεύσεως, ἃ πάντα παρέλυσεν οἷον καὶ ἀφεῖλε τῶν τοῦ παραλύτου λογισμῶν ἡ τοῦ σώματος πάρεσις. Καὶ διὰ τοῦτο τοῖς ἁμαρτάνουσιν ἡ νόσος ἔστιν ὅτε κρείττων τῆς ὑγείας, ὅτι συνεργεῖ τούτοις πρὸς σωτηρίαν, καὶ τὰς μὲν ἐμφύτους πρὸς κακίαν ὁρμὰς ἀμβλύνει, τὸ δὲ χρέος τῶν ἡμαρτημένων διὰ τῆς κακώσεως οἷον ἀποδιδοῦσα δεκτικοὺς ποιεῖ, πρῶτον μὲν τῆς κατὰ ψυχὴν ἰατρείας, ἔπειτα καὶ τῆς τοῦ σώματος, καὶ μάλισθ' ὅταν ὁ νοσῶν συνεὶς ἰατρείαν οὖσαν παρὰ Θεοῦ τὴν πληγὴν φέρῃ γενναίως καὶ μετὰ πίστεως προσπίπτῃ Θεῷ καὶ δι' ἔργων, ὅπως ἂν ἔχῃ δυνάμεως, ἐπικαλεῖται τὸν ἱλασμόν· ὃ καὶ ὁ παράλυτος δι' ἔργων ὡς εἶχε ὑπέδειξε καὶ ὁ Κύριος ἔργοις τε καὶ λόγοις αὐτοῖς παρέστησεν, εἰ καὶ οἱ Φαρισαῖοι μὴ συνιδεῖν δυνηθέντες, ἐβλασφήμουν καὶ διεγόγγυζον· «ἰδὼν γάρ», φησίν, «ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, τοῦ τε κλινοπετοῦς καταφερομένου καὶ τῶν ἐκ τοῦ στέγους χαλώντων, λέγει τῷ παραλυτικῷ, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου».

9 *Ὢ μακαρίας προσηγορίας! Τέκνον ἀκούει καὶ υἱοποιεῖται τῷ οὐρανίῳ Πατρὶ καὶ προσκολλᾶται τῷ ἀναμαρτήτῳ Θεῷ, ἀναμάρτητος παραχρῆμα καὶ αὐτὸς γεγονὼς διὰ τῆς τῶν ἡμαρτημένων ἀφέσεως· καὶ ὡς ἂν ἐπακολουθήσῃ καὶ ἡ τοῦ σώματος ἀνακαίνισις, τὴν ψυχὴν πρότερον ἀνωτέραν λαμβάνει τῆς ἁμαρτίας παρὰ τοῦ γινώσκοντος, ὅτι τὴν ἀρχὴν τῆς ψυχῆς ὑποπεσούσης τοῖς βρόχοις τῆς ἁμαρτίας, αἵ τε νόσοι τῷ σώματι καὶ ὁ θάνατος ἐπηκολούθησε κατὰ τὴν αὐτοῦ δικαιοκρισίαν.*

τούς, «πῶς μπορεῖτε νά πιστεύετε σ' ἐμένα, δεχόμενοι δόξα ἀπό ἀνθρώπους καί μή ζητώντας τή δόξα ἀπό τόν μόνο Θεό;»[13]. Ἄλλους πάλι τούς ἐμπόδισαν ἀπό τήν προσέλευσι ἀγροί καί γάμοι καί φροντίδες βιωτικῶν ἔργων, πράγματα πού ἡ πάρεσις τοῦ σώματος τά παρέλυσε ὅλα καί τά ἐξέβαλε ἀπό τούς λογισμούς τοῦ παραλύτου. Καί γι' αὐτό στούς ἁμαρτωλούς ἡ νόσος εἶναι μερικές φορές ἀνώτερη τῆς ὑγείας, διότι συνεργεῖ στή σωτηρία τους, καί τίς μέν ἔμφυτες ὁρμές πρός τήν κακία ἀμβλύνοντας, τό δέ χρέος τῶν σφαλμάτων ἐξοφλώντας κατά κάποιον τρόπο διά τῆς κακώσεως, τούς καθιστᾶ δεκτικούς πρῶτα τῆς ψυχικῆς θεραπείας, ἔπειτα καί τῆς θεραπείας τοῦ σώματος, καί μάλιστα ὅταν ὁ ἀσθενής, κατανοώντας ὅτι τό κτύπημα εἶναι θεραπεία ἀπό τόν Θεό, τό βαστάζει γενναίως, προσπίπτει μέ πίστι στόν Θεό καί ἐπικαλεῖται τόν ἱλασμό διά τῶν ἔργων μέ ὅση δύναμι ἔχει. Τοῦτο ὑπέδειξε κατά τήν δύναμί του καί ὁ παράλυτος καί παρέστησε ὁ Κύριος μέ τά λόγια καί τά ἔργα του, ἄν καί οἱ Φαρισαῖοι, μή μπορώντας νά τό συλλάβουν, ἐβλασφημοῦσαν κι' ἐγόγγυζαν· «ἀφοῦ εἶδε», λέγει, «ὁ Ἰησοῦς τήν πίστι τους, δηλαδή τοῦ κλινήρους πού κατεβαζόταν καί αὐτῶν πού τόν κατέβαζαν ἀπό τή στέγη, λέγει στόν παραλυτικό, τέκνο, συγχωροῦνται οἱ ἁμαρτίες σου».

9 Τί μακαρία ὀνομασία. Ἀκούει τό ὄνομα «τέκνο» καί υἱοποιεῖται ἀπό τόν οὐράνιο Πατέρα καί προσκολλᾶται στόν ἀναμάρτητο Θεό, γενόμενος καί αὐτός ἀμέσως ἀναμάρτητος διά τῆς ἀφέσεως τῶν ἁμαρτιῶν· γιά ν' ἀκολουθήση ἡ ἀνακαίνισις τοῦ σώματος, λαμβάνει πρωτύτερα τήν ψυχή ἀνωτέρα τῆς ἁμαρτίας ἀπό τόν γνωρίζοντα ὅτι, ἀφοῦ πρῶτα ὑπέπεσε ἡ ψυχή στούς βρόχους τῆς ἁμαρτίας, ἐπηκολούθησαν κατά τή δικαία κρίσι του οἱ νόσοι τοῦ σώματος καί ὁ θάνατος.

13. Ἰω. 5,44.

10 Ἀλλ' οἱ Γραμματεῖς ἀκούσαντες, «διελογίζοντο», φησίν, «ἐν ἑαυτοῖς, τί οὗτος λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰμὴ εἷς ὁ Θεός;». Ὁ δὲ Κύριος ὡς ποιητὴς τῶν καρδιῶν καὶ τοὺς ἀφανεῖς τῶν καρδιῶν λογισμοὺς τῶν Γραμματέων ἐπιστάμενος, πρὸς αὐτούς φησι· «τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν εὐκοπώτερον εἰπεῖν τῷ παραλυτικῷ, ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἔγειραι καὶ ἆρον τὸν κράββατόν σου καὶ περιπάτει;». Τοῖς Γραμματεῦσιν ἐδόκει ὡς ἀδυνατῶν ὁ Κύριος ἰάσασθαι τὸν παράλυτον, πρὸς τὸ ἀφανὲς κατέφυγε, τὴν τῶν ἁμαρτημάτων ἄφεσιν, ἣν λόγῳ μόνῳ εἰπεῖν, καὶ ταῦτα δεσποτικῶς οὕτω καὶ προστακτικῶς, βλάσφημον μέν, ἀλλ' εὔκολον καὶ τοῦ βουλομένου παντός. Διὸ καὶ πρὸς αὐτοὺς ὁ Κύριος εἰ λόγους, φησίν, ἐβουλόμην λέγειν καινούς, μὴ τὴν ἀπὸ τῶν πραγμάτων ἔκβασιν ἔχοντας, ἐπίσης εὔκολον ἦν ἑκάτερον ἔργου φάναι χωρὶς καὶ τὴν ἔγερσιν τοῦ παραλυτικοῦ καὶ τὴν ἄφεσιν τῶν ἡμαρτημένων αὐτῷ. Ἵνα δὲ γνῶτε ὡς οὐκ ἄπρακτός ἐστιν ὁ ἐμὸς λόγος, οὐδ' ὡς ἀδυνατῶν τῆς νόσου τὴν ἴασιν παρασχεῖν εἰς τὴν ἄφεσιν τῆς ἁμαρτίας κατέφυγον, ἀλλ' ἐξουσίαν ἔχω θεϊκὴν ἐπὶ τῆς γῆς, ὡς Υἱὸς ὁμοούσιος τῷ ἐν τοῖς οὐρανοῖς Πατρί, εἰ καὶ ὁμοούσιος ὑμῖν τοῖς ἀχαρίστοις κατὰ σάρκα γέγονα, τότε λέγει τῷ παραλυτικῷ· «σοὶ λέγω, ἔγειραι καὶ ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου· καὶ ἠγέρθη εὐθέως καὶ ἄρας τὸν κράββατον ἐξῆλθεν ἐναντίον πάντων».

11 Ἀντίκειται καὶ ὁ λόγος καὶ τὸ θαῦμα τοῦτο τοῖς τῶν Γραμματέων διαλογισμοῖς, ἔστι δ' ὡς καὶ συμφωνεῖ· ὅτι μὲν γὰρ οὐδεὶς ἀνθρώπων παρ' ἑαυτοῦ δύναται ἀφιέναι ἁμαρτίας, ἀληθὲς εἶναι δείκνυσιν, ἐκεῖνο δὲ τῶν Φαρισαίων ψευδὲς καὶ ἀσύνετον, ὅτι ψιλός

10 Ἀλλ' οἱ Γραμματεῖς, ὅταν ἄκουσαν αὐτά, «διαλογίζονταν», λέγει, μέσα τους, γιατί λαλεῖ αὐτός βλάσφημα; ποιός μπορεῖ νά ἀφήση ἁμαρτίες, ἐκτός ἑνός, τοῦ Θεοῦ;». Ὁ δέ Κύριος, γνωρίζοντας ὡς ποιητής καρδιῶν καί τούς ἀφανεῖς λογισμούς τῶν καρδιῶν τῶν Γραμματέων, λέγει πρός αὐτούς· «τί διαλογίζεσθε αὐτά τά πράγματα στίς καρδιές σας; τί εἶναι εὐκολώτερο, νά εἰπῶ στόν παραλυτικό, συγχωροῦνται οἱ ἁμαρτίες σου ἤ νά τοῦ εἰπῶ, σήκω, πάρε τό κρεββάτι σου καί περιπάτει;». Ἐπειδή κατά τούς Γραμματεῖς ὁ Κύριος ἀδυνατοῦσε νά θεραπεύση τόν παράλυτο, κατέφυγε πρός τό ἀφανές μέρος, τήν ἄφεσι τῶν ἁμαρτημάτων, πού καί μόνο νά τήν εἰπῆς μέ τόν λόγο, καί μάλιστα τόσο αὐθεντικῶς καί προστακτικῶς, εἶναι μέν βλάσφημο, ἀλλά εὔκολο καί στοῦ καθενός τό χέρι. Γι' αὐτό λέγει πρός αὐτούς ὁ Κύριος, ἐάν ἤθελα νά ἐκφέρω κενούς λόγους, πού δέν ἔχουν ἀποτέλεσμα σέ πράξεις, θά ἦταν ἐξ ἴσου εὔκολο νά εἰπῶ χωρίς πρακτικό ἀντίκρυσμα καί τήν ἔγερσι τοῦ παραλυτικοῦ καί τήν ἄφεσι τῶν ἁμαρτιῶν. Γιά νά μάθετε ὅμως ὅτι ὁ λόγος μου δέν εἶναι ἀνενεργός, καί ὅτι δέν κατέφυγα στήν ἄφεσι τῆς ἁμαρτίας ἐπειδή τάχα ἀδυνατῶ νά προσφέρω τήν θεραπεία τῆς νόσου, ἀλλ' ἔχω ἐξουσία θεϊκή ἐπί τῆς γῆς, ὡς Υἱός ὁμοούσιος μέ τόν οὐράνιο Πατέρα, ἄν καί ἔγινα ὁμοούσιος μέ σᾶς τούς ἀχαρίστους κατά σάρκα - τότε λέγει στόν παραλυτικό-, «σοῦ λέγω, σήκω, πάρε τό κρεββάτι σου καί πήγαινε στό σπίτι σου· καί ἀμέσως ἐσηκώθηκε καί παίρνοντας τό κρεββάτι του ἐξῆλθε ἐμπρός στά μάτια ὅλων».

11 Εἶναι ἀντίθετα πρός τούς διαλογισμούς τῶν Γραμματέων καί ὁ λόγος καί τό θαῦμα τοῦτο, σέ μερικά ὅμως σημεῖα καί συμφωνοῦν. Πραγματικά τό ὅτι κανείς ἄνθρωπος δέν μπορεῖ ἀφ' ἑαυτοῦ νά συγχωρήση ἁμαρτίες, τό ἀποδεικνύουν ἀληθινό,

16 Ἀλλά γιά ν' ἀφήσωμε ὅλους τούς πρίν ἀπό τόν νόμο καί τούς ὑπό τόν νόμο, ὁ ἴδιος ὁ Κύριος, γιά τόν ὁποῖο καί διά τοῦ ὁποίου ἔγιναν τά πάντα, δέν ἔλεγε πρίν ἀπό τόν Σταυρό, «ὅποιος δέν παίρνει τόν σταυρό του γιά νά μέ ἀκολουθήση, δέν εἶναι ἄξιός μου»[36]; Βλέπετε ὅτι καί πρίν ἐμπηχθῆ, ὁ Σταυρός ἦταν πού ἔσωζε; Ἀλλά καί ὅταν ὁ Κύριος προέλεγε καθαρά στούς μαθητάς τό πάθος του καί τόν θάνατο διά τοῦ Σταυροῦ, ὁ δέ Πέτρος μή ὑποφέροντας νά τ' ἀκούση καί γνωρίζοντας ὅτι αὐτός ἔχει ἐξουσία τόν παρακαλοῦσε, «ἔλεος σ' ἐσένα, Κύριε, δέν θά σοῦ συμβῆ τοῦτο»[37], αὐτόν μέν ὁ Κύριος τόν ἐπετίμησε, διότι στό θέμα τοῦτο συλλογιζόταν ἀνθρωπίνως καί ὄχι θείως· ἀφοῦ δέ προσκάλεσε τόν ὄχλο μαζί μέ τούς μαθητάς του τούς εἶπε· «ὅποιος θέλει νά ἔλθη ὀπίσω μου, ἄς ἀπαρνηθῆ τόν ἑαυτό του, ἄς σηκώση τόν σταυρό του καί ἄς μέ ἀκολουθήση· διότι ὅποιος θέλει νά σώση τήν ψυχή του, θά τήν χάση, ὅποιος δέ χάση τήν ψυχή ἐξ αἰτίας ἐμοῦ καί τοῦ εὐαγγελίου, αὐτός θά τήν σώση»[38].

17 Προσκαλεῖ βέβαια καί τόν ὄχλο μαζί μέ τούς μαθητάς καί τότε διαμαρτύρεται καί παραγγέλλει αὐτά τά μεγάλα καί ὑπερφυῆ φρονήματα, τά πραγματικά ὄχι ἀνθρώπινα ἀλλά θεῖα, γιά

37. Ματθ. 16,22.
38. Ματθ. 16,25.

παρὰ τῶν ἐκκρίτων αὐτοῦ μόνον μαθητῶν τὰ τοιαῦτα ἀπαιτῶν, ἀλλὰ καὶ παρὰ παντὸς τοῦ εἰς αὐτὸν πιστεύοντος. Τὸ δὲ ἀκολουθεῖν Χριστῷ δηλοῖ τὸ ζῆν κατὰ τὸ εὐαγγέλιον αὐτοῦ, πᾶσαν ἀρετὴν καὶ εὐσέβειαν ἐνδεικνυμένους· τὸ δὲ τὸν θέλοντα ἀκολουθεῖν ἀπαρνήσασθαι ἑαυτὸν καὶ αἴρειν τὸν σταυρὸν αὐτοῦ, τὸ μηκέτι καιροῦ καλοῦντος ἑαυτοῦ φείδεσθαι, ἀλλ' ἕτοιμον εἶναι πρὸς τὸν ὑπὲρ ἀρετῆς καὶ τῆς ἀληθείας τῶν θείων δογμάτων ἐν ἀτιμίᾳ θάνατον. Τοῦτο δὲ εἰ καὶ μέγα ἐστὶ καὶ ὑπερφυές, τὸ ἀρνήσασθαί τινα ἑαυτὸν καὶ εἰς ἐσχάτην ἀτιμίαν καὶ θάνατον προδοῦναι, ἀλλ' οὐκ ἀπεικός· οἱ γὰρ βασιλεῖς τῆς γῆς οὐκ ἄν ποτε ἀκολουθεῖν ὀπίσω αὐτῶν δέξαιντο, καὶ ταῦτα πρὸς πόλεμον ἰόντες, τοὺς μὴ ἑτοίμους ὄντας ἀποθανεῖν ὑπὲρ αὐτῶν. Τί οὖν θαυμαστόν, εἰ καὶ ὁ βασιλεὺς τῶν οὐρανῶν, τῇ γῇ δι' ἐπαγγελίας ἐπιδημήσας, πρὸς ἀντιπαράταξιν τοῦ κοινοῦ τοῦ γένους πολεμίου τοιούτους ζητεῖ τοὺς ὀπίσω αὐτοῦ ἀκολουθοῦντας; Ἀλλ' οἱ μὲν βασιλεῖς τῆς γῆς οὐκ ἔχουσιν ἀναζωοῦν τοὺς τῷ πολέμῳ τεθνηκότας, οὐδ' ἀνταποδοῦναί τι σχεδὸν τοῖς προκινδυνεύσασιν αὐτῶν· τί γὰρ ἂν ὁ μηκέτ' ὢν λάβοι παρ' αὐτῶν; Ἀλλὰ καὶ τούτοις, εἴπερ ὑπὲρ εὐσεβῶν ὁ θάνατος, ἐν τῷ Κυρίῳ ἐλπίς ἐστιν· οὕτω δὲ ὁ Κύριος ζωὴν ἀντιδίδωσιν αἰώνιον τοῖς ἐν τῷ ἀκολουθεῖν αὐτῷ προκινδυνεύσασι.

18 Καὶ οἱ μὲν βασιλεῖς τῆς γῆς ὑπὲρ αὐτῶν ἑτοίμους εἶναι ζητοῦσι πρὸς θάνατον τοὺς αὐτοῖς ἀκολουθοῦντας, ὁ δὲ Κύριος αὐτὸς μὲν ἑαυτὸν εἰς θάνατον ἔδωκεν ὑπὲρ ἡμῶν, ἡμᾶς δὲ οὐχ ὑπὲρ αὐτοῦ, ἀλλ' ὑπὲρ ἡμῶν αὐτῶν ἑτοίμους εἶναι παραγγέλλει πρὸς θάνατον· καὶ τοῦτο δεικνὺς ὡς ὑπὲρ ἡμῶν ἔστιν αὐτῶν ἑπάγει, «ὃς γὰρ ἂν

νά δείξη ὅτι δέν ἀπαιτεῖ αὐτές τίς προσπάθειες μόνο ἀπό τούς ἐκλεκτούς μαθητάς, ἀλλά καί ἀπό κάθε ἄνθρωπο πού πιστεύει σ' αὐτόν. Ν' ἀκολουθῆ τόν Χριστό σημαίνει νά ζῆ κατά τό εὐαγγέλιό του παρουσιάζοντας κάθε ἀρετή καί εὐσέβεια. Ν' ἀπαρνῆται τόν ἑαυτό του αὐτός πού θέλει ν' ἀκολουθήση καί νά σηκώνη τόν σταυρό του, σημαίνει νά μή λυπῆται τόν ἑαυτό του ὅταν τό ἀπαιτῆ ὁ καιρός, ἀλλά νά εἶναι ἕτοιμος γιά τόν ἀτιμωτικό θάνατο ὑπέρ τῆς ἀρετῆς καί τῆς ἀληθείας τῶν θείων δογμάτων. Τοῦτο δε, τό ν' ἀρνηθῆ κανείς τόν ἑαυτό του καί νά παραδοθῆ σ' ἐσχάτη ἀτιμία καί θάνατο, ἄν καί εἶναι μέγα καί ὑπερφυές, δέν εἶναι παράλογο· διότι οἱ βασιλεῖς τῆς γῆς δέν θά ἐδέχονταν ποτέ, ὅταν μάλιστα μεταβαίνουν σέ πόλεμο, νά τούς ἀκολουθήσουν ἄνθρωποι πού δέν εἶναι ἕτοιμοι νά πεθάνουν γι' αὐτούς. Ποῦ λοιπόν εἶναι τό ἀξιοθαύμαστο, ἐάν καί ὁ βασιλεύς τῶν οὐρανῶν, ἀφοῦ ἐπεδήμησε στή γῆ κατά τήν ἐπαγγελία του, τέτοιους ἀκολούθους ζητεῖ πρός ἀντιμετώπισι τοῦ κοινοῦ ἐχθροῦ τοῦ γένους; Ἀλλά οἱ μέν βασιλεῖς τῆς γῆς δέν μποροῦν νά ἀναζωώσουν τούς φονευθέντας στόν πόλεμο οὔτε ν' ἀνταποδώσουν κάτι ταιριαστό στούς πρωταγωνιστάς ἀπό αὐτούς· τί θά μποροῦσε τάχα νά λάβη ἀπό αὐτούς κάποιος πού δέν ζῆ πλέον; Ἀλλά καί γι' αὐτούς, ἄν ὁ θάνατος εἶναι ὑπέρ εὐσεβῶν, ἡ ἐλπίς εἶναι στόν Κύριο· ἔτσι δέ ὁ Κύριος ἀνταποδίδει ζωή αἰώνια σ' αὐτούς πού ἐπρωτοστάτησαν στό νά τόν ἀκολουθοῦν.

18 Καί οἱ μέν βασιλεῖς τῆς γῆς ζητοῦν ἀπό τούς ἀκολούθους των νά εἶναι ἕτοιμοι πρός θάνατο, ὁ δέ Κύριος τόν μέν ἑαυτό του ἔδωσε σέ θάνατο ὑπέρ ἡμῶν, σ' ἐμᾶς δέ παραγγέλλει νά εἴμαστε ἕτοιμοι γιά θάνατο ὄχι ὑπέρ αὐτοῦ ἀλλά ὑπέρ ἡμῶν τῶν ἰδίων. Καί δεικνύοντας τοῦτο, ὅτι ὁ θάνατος εἶναι ὑπέρ τῶν ἑαυτῶν μας, προσθέτει, «ὅποιος θέλει νά σώση τήν ψυχή του

θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν, ὃς δ' ἂν ἀπολέσῃ αὐτὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν». Τί ἐστι τοῦτο, ὃς ἂν θέλῃ σῶσαι, ἀπολέσει, καὶ ὃς ἂν ἀπολέσῃ, σώσει; Διπλοῦν ἐστιν ὁ ἄνθρωπος, ὁ ἐκτός, τὸ σῶμα λέγω, καὶ ὁ ἐντὸς ἡμῶν ἄνθρωπος, ἡ ψυχὴ δηλονότι. Ὅταν οὖν ὁ ἐκτὸς ἡμῶν ἄνθρωπος προδῶ ἑαυτὸν εἰς θάνατον, ἀπόλλυσι τὴν ἑαυτοῦ ψυχὴν χωριζομένην αὐτοῦ· ὁ γοῦν ὑπὲρ τοῦ Χριστοῦ καὶ τοῦ εὐαγγελίου οὕτως ἀπολέσας αὐτήν, ὄντως σώσει καὶ κερδίσει ταύτην, ζωὴν οὐράνιον καὶ αἰώνιον ταύτῃ προξενήσας, καὶ ἐν τῇ ἀναστάσει τοιαύτην κομισάμενος, καὶ δι' αὐτῆς καὶ αὐτὸς τοιοῦτος, καὶ κατὰ σῶμα λέγω, γεγονὼς οὐράνιος καὶ αἰώνιος. Ὁ δὲ φιλοψυχήσας καὶ μὴ οὕτω ταύτην ἑτοίμως ἔχων ἀπολέσαι, διὰ τὸ ἀγαπᾶν τὸν πρόσκαιρον αἰῶνα τοῦτον, καὶ ὅσα τοῦ αἰῶνος τούτου, ζημιώσει τὴν ψυχὴν αὐτοῦ τῆς ὄντως ζωῆς ἀποστερήσας καὶ ζημιωθήσεται αὐτὸς αὐτήν, σὺν ἑαυτῷ ταύτην, φεῦ, τῇ αἰωνίῳ κολάσει παραδούς· ὃν καὶ ὁ πανοικτίρμων Δεσπότης οἷον ἀπολοφυρόμενος καὶ τοῦ δεινοῦ τὸ μέγεθος ἐπιδεικνύς, «τί γάρ», φησίν, «ὠφελήσει ἄνθρωπον, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, καὶ τὴν ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ»; Οὐδὲ γὰρ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ, οὐδ' ἄλλο τι τῶν ἐν τῷ αἰῶνι τούτῳ δοκούντων τιμίων καὶ τερπνῶν, ἃ τοῦ σωτηρίου προέκρινε θανάτου. Τί δ' ἂν ἐν τούτοις εὑρεθείη καὶ τῆς λογικῆς ψυχῆς ἀντάλλαγμα, ἧς ὁ κόσμος ἅπας οὗτος οὐκ ἔστιν ἀντάξιος;

19 Εἰ οὖν καὶ τὸν κόσμον ὅλον εἷς ἄνθρωπος ἐδύνατο κερδῆσαι, ἀδελφοί, οὐδὲν ἂν ὄφελος αὐτῷ τὴν οἰκείαν ψυχὴν ζημιουμένῳ· πό-

39. Μάρκ. 8,35.

θά τήν χάση καί ὅποιος τήν χάση ἐξ αἰτίας ἐμοῦ καί τοῦ εὐαγγελίου, αὐτός θά τήν σώση»[39]. Τί σημαίνει τοῦτο, ὅποιος θέλη νά τήν σώση, θά τήν χάση, καί ὅποιος θά τήν χάση, θά τήν σώση; Διπλός εἶναι ὁ ἄνθρωπος, ὁ ἐκτός, δηλαδή τό σῶμα, καί ὁ ἐντός μας, δηλαδή ἡ ψυχή. Ὅταν λοιπόν ὁ ἐκτός ἀπό ἐμᾶς ἄνθρωπος παραδώση τόν ἑαυτό του στόν θάνατο, χάνει τήν ψυχή του πού χωρίζεται ἀπό αὐτόν· αὐτός λοιπόν πού τήν ἔχασε ἔτσι ὑπέρ τοῦ Χριστοῦ καί τοῦ εὐαγγελίου, πραγματικά θά τήν σώση καί θά τήν κερδίση, προξενώντας σ' αὐτήν ζωή οὐράνια καί αἰώνια καί παραλαμβάνοντάς την κατά τήν ἀνάστασι σ' αὐτήν τήν κατάστασι, ἐνῶ δι' αὐτῆς θά φανῆ καί αὐτός οὐράνιος καί αἰώνιος, ἀκόμη καί στό σῶμα. Ὁ φιλόζωος ὅμως πού δέν εἶναι ἔτσι ἕτοιμος νά χάση τή ζωή, διότι ἀγαπᾶ τόν πρόσκαιρο τοῦτον αἰῶνα καί τά πράγματα τοῦ αἰῶνος τούτου, θά ζημιώση τήν ψυχή του στερώντας την τήν πραγματική ζωή καί θά τήν χάση, παραδίδοντάς την, ἀλλοίμονο, στήν αἰώνια κόλασι μαζί του. Αὐτόν θρηνώντας κατά κάποιον τρόπο καί ὁ πανοικτίρμων Δεσπότης καί δεικνύοντας τό μέγεθος τοῦ δεινοῦ, λέγει,«τί θά ὠφελήση τόν ἄνθρωπο, ἄν κερδίση ὅλον τόν κόσμο, ἀλλά χάση τήν ψυχή του; Ἤ τί μπορεῖ νά δώση ὁ ἄνθρωπος ἀντάλλαγμα γιά τήν ψυχή του;»[40]. Διότι δέν πρόκειται νά κατεβῆ μαζί του ἡ δόξα του οὔτε τίποτε ἄλλο ἀπό αὐτά πού φαίνονται πολύτιμα καί τερπνά στόν αἰῶνα τοῦτο, τά ὁποῖα προέκρινε ἀπό τόν σωτηριώδη θάνατο. Τί δέ μεταξύ αὐτῶν θά μποροῦσε νά εὑρεθῆ ἀντάλλαγμα τῆς λογικῆς ψυχῆς, τῆς ὁποίας δέν εἶναι ἰσάξιος ὅλος αὐτός ὁ κόσμος;

19 Ἐάν λοιπόν καί τόν κόσμο ὅλον ἠμποροῦσε νά κερδίση ἕνας ἄνθρωπος, ἀδελφοί, τοῦτο δέν θά πρόσφερε σ' αὐτόν κα-

40. Μάρκ. 8,36.

σον ἐστὶ τὸ δεινόν, πολλοστημόριον ἐλάχιστον ἕκαστος ἀπὸ τοῦ κόσμου τούτου κτήσασθαι δυνάμενος, εἰ τῇ πρὸς τὸ ἐλάχιστον τοῦτο προσπαθείᾳ τὴν οἰκείαν ζημιωθήσεται ψυχήν, μὴ προαιρούμενος αἴρειν τοῦ Σταυροῦ καὶ τὸν τύπον καὶ τὸν λόγον καὶ ἀκολουθεῖν τῷ δοτῆρι τῆς ζωῆς; Σταυρὸς γάρ ἐστιν αὐτός τε ὁ προσκυνητὸς τύπος καὶ ὁ τοῦ τύπου τούτου λόγος.

20 Ἀλλ' ἐπεὶ προηγήσατο ὁ λόγος καὶ τὸ μυστήριον αὐτοῦ τοῦ τύπου, καὶ ἡμεῖς τοῦτο πρότερον ἐξηγησόμεθα πρὸς τὴν ὑμετέραν ἀγάπην. Μᾶλλον δὲ πρὸ ἡμῶν καὶ τοῦτο Παῦλος ἐξηγήσατο· Παῦλος ὁ καυχώμενος ἐν τῷ σταυρῷ, ὁ μηδὲν εἰδέναι κρίνων, εἰμὴ Κύριον Ἰησοῦν, καὶ τοῦτον ἐσταυρωμένον. Τί οὖν φησιν ἐκεῖνος; Σταυρός ἐστι τὸ σταυρῶσαι τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Οἴεσθε περὶ τῆς τρυφῆς καὶ τῶν ὑπογαστρίων τοῦτο μόνον εἰπεῖν παθῶν; Πῶς οὖν γράφει τοῖς Κορινθίοις, ὅτι «ἐπεὶ ἔριδες ἐν ὑμῖν εἰσιν, ἔτι σαρκικοί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε»; Ὥστε καὶ ὁ δόξης ἢ χρημάτων ἐρῶν, ἢ τὸ οἰκεῖον ἁπλῶς θέλημα στῆσαι θέλων καὶ οὕτω νικᾶν φιλονεικῶν, σαρκικός ἐστι καὶ κατὰ σάρκα περιπατεῖ. Διὰ γὰρ ταῦτα καὶ ἔριδες, ὡς καὶ Ἰάκωβος ὁ Ἀδελφόθεός φησι· «Πόθεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν, οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν; Ζηλοῦτε καὶ οὐ δύνασθε ἐπιτυχεῖν, μάχεσθε καὶ πολεμεῖτε» Τοῦτο οὖν ἐστι τὸ σταυρῶσαι τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, τὸ ἀνενέργητον γενέσθαι τὸν ἄνθρωπον πρὸς πᾶν τὸ ἀπαρέσκον Θεῷ]Εἰ δὲ καὶ τὸ σῶμα κατασπᾷ καὶ βιάζεται, ἀλλ' αὐτὸν

41. Γαλ. 5,24.
42. Α΄ Κορ. 3,3.

νένα ὄφελος, ἐφ' ὅσον θά ἔχανε τήν ψυχή του· πόσο εἶναι τό κακό, ἀφοῦ ὁ καθένας μόνο ἐλάχιστο πολλοστημόριο ἀπ' αὐτόν τόν κόσμο μπορεῖ ν' ἀποκτήση, ἄν μέ τήν προσπάθεια γιά τό ἐλάχιστο τοῦτο χάση τήν ψυχή του, μή ἐπιθυμώντας νά σηκώση τόν τύπο καί τό λόγο τοῦ Σταυροῦ καί ν' ἀκολουθήση τόν δοτῆρα τῆς ζωῆς; Διότι σταυρός εἶναι καί ὁ προσκυνητός τύπος καί ὁ λόγος τοῦ τύπου τούτου.

20 Ἀλλ' ἐπειδή προηγήθηκε ὁ λόγος καί τό μυστήριο αὐτοῦ τοῦ τύπου, κι' ἐμεῖς σήμερα θά ἐξηγήσωμε τοῦτο προηγουμένως πρός τήν ἀγάπη σας. Μᾶλλον δέ πρίν ἀπό μᾶς ἐξήγησε καί τοῦτο ὁ Παῦλος· ὁ Παῦλος πού καυχᾶται στόν Σταυρό, πού φρονεῖ ὅτι δέν γνωρίζει τίποτε ἐκτός ἀπό τόν Κύριο Ἰησοῦ, κι' αὐτόν ἐσταυρωμένον. Τί λέγει λοιπόν ἐκεῖνος; Σταυρός εἶναι τό νά σταυρώσωμε τήν σάρκα μαζί μέ τά πάθη καί τίς ἐπιθυμίες[41]. Νομίζετε ὅτι εἶπε τοῦτο μόνο γιά τήν τρυφή καί τά ὑπογάστρια; Πῶς τότε γράφει στούς Κορινθίους ὅτι, «ἐπειδή ὑπάρχουν ἔριδες ἀνάμεσά σας, εἶσθε ἀκόμη σαρκικοί καί περιπατεῖτε κατά τό ἀνθρώπινο φρόνημα»[42]; Ὥστε καί αὐτός πού ἀγαπᾶ δόξα ἤ χρήματα, ἤ ἁπλῶς θέλει νά ἐπιβάλη τό θέλημά του καί προσπαθεῖ ἔτσι νά νικήση, εἶναι σαρκικός καί περιπατεῖ κατά τήν σάρκα. Γι' αὐτά ἀκριβῶς δημιουργοῦνται καί οἱ ἔριδες, ὅπως λέγει καί ὁ Ἰάκωβος ὁ Ἀδελφόθεος· «ἀπό ποῦ προέρχονται οἱ μεταξύ σας πόλεμοι καί μάχες; Δέν προέρχονται ἀπό ἐδῶ, δηλαδή ἀπό τίς ἡδονές σας πού ἀγωνίζονται μέσα στά μέλη σας; Ἀγωνίζεσθε ἀλλά δέν μπορεῖτε νά ἐπιτύχετε, μάχεσθε καί πολεμεῖτε»[43]. Τοῦτο λοιπόν εἶναι τό νά σταυρώση τήν σάρκα μαζί μέ τά πάθη καί τίς ἐπιθυμίες, τό νά καταστῆ ὁ ἄνθρωπος ἀδρανής πρός

43. Ἰακ. 4,1.

ἕκαστον ἀνέχειν ἐναγωνίως τοῦτο πρὸς τὸ ὕψος τοῦ Σταυροῦ. Οἷον τί λέγω; Ἐπὶ γῆς γενομένης ὁ Κύριος ἀκτήμονα βίον ἔζησε, καὶ οὐκ ἔζησε μόνον, ἀλλὰ καὶ ἐκήρυξε λέγων «εἴ τις οὐκ ἀποτάσσεται πᾶσι τοῖς αὐτῷ ὑπάρχουσιν οὐ δύναταί μου εἶναι μαθητής».

21 Ἀλλὰ μηδεὶς δυσανασχετείτω, ἀδελφοί, παρακαλῶ, ἀκούων ἡμῶν ἀπαγγελλόντων ἀνοθεύτως τὸ ἀγαθὸν τοῦ Θεοῦ θέλημα καὶ εὐάρεστον καὶ τέλειον, μηδὲ δυσχεραινέτω τὰ παραγγέλματα δυσέφικτα οἰόμενος, ἀλλὰ πρῶτον μὲν ἐκεῖνο ἐνοείτω, ὅτι βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν, καὶ ἀκουέτω Πέτρου τοῦ κορυφαίου τῶν Ἀποστόλων τοῦ Χριστοῦ, ὅτι, «Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐξακολουθήσωμεν τοῖς ἴχνεσιν αὐτοῦ». Ἔπειτα καὶ τοῦτο δικαίως προσλογιζέσθω, ὅτι μαθὼν ἕκαστος ἀληθῶς ὅσον ὀφείλει τῷ Δεσπότῃ, ὅταν οὐκ ἔχῃ τὸ πᾶν ἀποδοῦναι, τὸ μὲν σὺν μετριοφροσύνῃ προσάγει, ὅσον δὴ που δύναται καὶ προαιρεῖται, πρὸς δὲ τὸ λεῖπον πάλιν ταπεινοῦται ἐνώπιον αὐτοῦ, καὶ διὰ τῆς τοιαύτης ταπεινώσεως ἕλκων τὴν συμπάθειαν ἀναπληροῖ τὴν ἔλλειψιν. Εἴ τις οὖν ὁρᾷ τὸν λογισμὸν αὐτοῦ πλούτου καὶ πολυκτημοσύνης ὀρεγόμενον, γνώτω ὅτι ὁ λογισμὸς οὗτος σαρκικὸς χωρίσῃ τοῦ σταυρωθέντος ἐν αὐτῷ Χριστοῦ.

---

44. Λουκᾶ 14,33.

κάθε τι πού ἀπαρέσκει στόν Θεό. Ἐάν δέ καί τό σῶμα τόν ταλαιπωρῆ καί τόν στενοχωρῆ, πρέπει ὁ καθένας νά τό ἀνεβάζει ἐναγωνίως πρός τό ὕψος τοῦ Σταυροῦ. Τί θέλω νά εἰπῶ; Ὁ Κύριος, ὅταν ἦλθε ἐπί τῆς γῆς, ἔζησε βίον ἀκτήμονα, καί δέν ἔζησε μόνο, ἀλλά καί ἐκήρυξε λέγοντας, «ὅποιος δέν ἀποτάσσεται ἀπό ὅλα τά ὑπάρχοντά του, δέν μπορεῖ νά εἶναι μαθητής μου»[44].

21 Ἀλλά κανείς, παρακαλῶ, ἀδελφοί, ἄς μή δυσανασχετῆ, ὅταν ἀκούη πού διακηρύσσομε ἀνόθευτο τό θέλημα τοῦ Θεοῦ, τό ἀγαθό καί εὐάρεστο καί τέλειο, μήτε νά δυσαρεστηθῆ νομίζοντας δυσκολοκατόρθωτα τά παραγγέλματα· ἀλλά πρῶτο μέν νά ἀντιλαμβάνεται ἐκεῖνο, ὅτι ἡ βασιλεία τῶν οὐρανῶν εἶναι βιαστή καί βιασταί τήν ἁρπάζουν, καί ν' ἀκούη τόν κορυφαῖο τῶν Ἀποστόλων τοῦ Χριστοῦ Πέτρο, ὅτι «ὁ Χριστός ἔπαθε γιά χάρι μας, ἀφήνοντας σ' ἐμᾶς ὑπογραμμό, γιά ν' ἀκολουθήσωμε τά ἴχνη του»[45]. Ἔπειτα νά συλλογίζεται ἐπίσης καί τοῦτο, ὅτι ὁ καθένας, ἀφοῦ κατανοήση ἀληθινά πόσα ὀφείλει στόν Δεσπότη, ὅταν δέν μπορῆ ν' ἀνταποδώση τό πᾶν, τό ἕνα μέρος νά τό προσφέρη μέ μετριοφροσύνη, ὅσο μπορεῖ καί προαιρεῖται, ὡς πρός δέ τό μέρος πάλι πού ἐλλείπει νά ταπεινώνεται ἐμπρός του καί ἑλκύοντας τήν συμπάθεια διά τῆς ταπεινώσεως αὐτοῦ τοῦ εἴδους ἀναπληρώνει τήν ἔλλειψι. Ἐάν λοιπόν κανείς βλέπη τόν λογισμό του νά ὀρέγεται πλοῦτο καί πολυκτημοσύνη, ἄς γνωρίζη ὅτι ὁ λογισμός αὐτός εἶναι σαρκικός, καί γι' αὐτό κινεῖται ἔτσι· ἀντιθέτως ὁ προσηλωμένος στόν Σταυρό δέν μπορεῖ νά κινῆται πρός κάτι τέτοιο. Εἶναι γι' αὐτό ἀνάγκη νά τόν ἀνεβάσωμε τόν λογισμό στό ὕψος τοῦ Σταυροῦ, γιά νά μή ρίψη ὁ ἴδιος τόν ἑαυτό του κάτω καί χωρισθῆ ἀπό τόν σταυρωθέντα σ' αὐτόν Χριστό.

45. Α' Πέτρ. 2,21.

22 *Πῶς οὖν ἄρξεται τοῦτον ἀναβιβάζειν ἐπὶ τὸ ὕψος τοῦ Σταυροῦ; Ἐλπίσας εἰς Χριστόν, τὸν χορηγὸν καὶ τροφέα τοῦ παντός, παντὸς μὲν τοῦ ἐξ ἀδικίας ἀποσχέσθω πόρου, ᾧ δὲ ἀπὸ δικαιοσύνης ἔχει πορισμῷ, μηδὲ τούτῳ λίαν προσκείμενος, καλῶς αὐτῷ χρήσθω, κοινωνοὺς ἐφ' ὅσον ἐστὶ τοὺς ἐνδεεῖς προσλαμβανόμενος. Ὥσπερ γὰρ ἀρνεῖσθαι τὸ σῶμα καὶ αἴρειν τὸν σταυρὸν αὐτοῦ τῆς ἐντολῆς κελευούσης, ἔχουσιν ὅμως τοῦτο οἱ τοῦ Θεοῦ καὶ κατὰ Θεὸν ζῶντες, μὴ λίαν δὲ αὐτῷ προσκείμενοι, χρῶνται μὲν αὐτῷ πρὸς τὸ δέον συνεργῷ, ἂν δ' ὁ καιρὸς καλῇ, καὶ τοῦτο προδιδόναι ἕτοιμοι· οὕτω καὶ ἐπὶ τῶν σωματικῶν κτημάτων καὶ χρειῶν ποιῶν τις, ὅταν μὴ δύνηταί τι μεῖζον, εὖ ἂν καὶ θεαρέστως ἔχοι. Πάλιν, βλέπει τις ἐν ἑαυτῷ βιαιότερον κινούμενον τὸν τῆς πορνείας λογισμόν; Γνώτω ὅτι οὔπω ἐσταύρωσεν ἑαυτόν. Πῶς οὖν σταυρώσει; φευγέτω τὰς περιέργους θέας τῶν γυναικῶν καὶ τὰς μὴ ἀνηκούσας πρὸς αὐτὰς συνηθείας τε καὶ ἀκαίρους διαλέξεις, μειούτω τὰς τρεφούσας τὸ πάθος ὕλας, ἀπεχέσθω πολυποσίας, οἰνοφλυγίας, ἀδηφαγίας, πολυϋπνίας· μιγνύτω τῇ ἀποχῇ ταύτῃ τῶν κακῶν τὴν ταπεινοφροσύνην, ἐν συντριβῇ καρδίας τὸν Θεὸν κατὰ τοῦ πάθους ἐπικαλούμενος· καὶ τότε καὶ αὐτὸς ἐρεῖ, «εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον δι' ἐγκρατείας, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα διὰ τῆς ἐν ταπεινώσει προσευχῆς, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ὁ τόπος αὐτοῦ»[46].*

23 *Πάλιν, ἐνοχλεῖ ὁ τῆς φιλοδοξίας λογισμός; σὺ ἐν συγκλήσει*

46. Ψαλμ. 36,35 ἑ. ἑρμηνευτικὴ ἀπόδοσις.

22 Πῶς λοιπόν θ' ἀρχίση νά τόν ἀνεβάζη στό ὕψος τοῦ Σταυροῦ; Ἐλπίζοντας στόν Χριστό, τόν χορηγό καί τροφέα τοῦ σύμπαντος, ἄς ἀπόσχη ἀπό κάθε πόρο πού προέρχεται ἀπό ἀδικία, τό δέ εἰσόδημα πού ἔχει ἀπό δίκαιο πορισμό, χωρίς νά προσκολλᾶται πολύ οὔτε σ' αὐτό, ἄς τό χρησιμοποιῆ καλά, καθιστώντας ὅσο εἶναι δυνατό κοινωνούς σ' αὐτό τούς πτωχούς. Ἡ ἐντολή διατάσσει ν' ἀρνῆται κανείς τό σῶμα καί νά σηκώνη τόν σταυρό του· καί τό ἔχουν μέν τό σῶμα οἱ φίλοι τοῦ Θεοῦ καί ζῶντες κατά τόν Θεό, ἀλλά ἄν δέν εἶναι πολύ προσδεδεμένοι σ' αὐτό, τό χρησιμοποιοῦν ὡς συνεργό στά ἀναγκαῖα, ἄν δέ τό καλέση ὁ καιρός, εἶναι ἕτοιμοι νά τό προδώσουν καί αὐτό. Τό ἴδιο συμβαίνει καί μέ τά σωματικά κτήματα καί μέσα· ἐνεργώντας κανείς κατά τόν ἴδιο τρόπο, ἄν δέν μπορῆ νά κάμη τίποτε μεγαλύτερο, καλῶς καί θεαρέστως πράττει. Βλέπει κανείς πάλι μέσα του νά κινῆται βιαιότερα ὁ λογισμός τῆς πορνείας; Αὐτός ἄς γνωρίζη ὅτι δέν ἔχει ἀκόμη σταυρώσει τόν ἑαυτό του. Πῶς λοιπόν θά τόν σταυρώση; Ἄς ἀποφεύγη τίς περίεργες θέες τῶν γυναικῶν, καθώς καί τίς ἀταίριαστες πρός αὐτές συνήθειες καί τίς ἄκαιρες συνομιλίες, ἄς μειώνη τίς τροφές πού ἐνισχύουν τό πάθος, ἄς ἀπέχη ἀπό τήν πολυποσία, ἀπό τήν οἰνοφλυγία, τήν ἀδηφαγία, τήν πολυϋπνία· ἄς ἀναμιγνύη τήν ταπεινοφροσύνη μέ αὐτήν τήν ἀποχή τῶν παθῶν, ἐπικαλούμενος μέ συντριβή καρδίας τόν Θεό κατά τοῦ πάθους· τότε θά εἰπῆ καί αὐτός, «εἶδα τόν ἀσεβῆ νά ὑπερυψώνεται καί ν' ἀνεβαίνη σάν οἱ κέδροι τοῦ Λιβάνου, καί προσπέρασα διά τῆς ἐγκρατείας, καί δέν ἦταν ἐκεῖ, καί τόν ἀνεζήτησα διά τῆς προσευχῆς μέ ταπείνωσι, καί δέν εὑρέθηκε σέ μένα ὁ τόπος του»[46].

23 Πάλι, ἐνοχλεῖ ὁ λογισμός τῆς φιλοδοξίας; Ἐσύ στή σύγ-

καὶ συγκαθεδρίᾳ μνημόνευε τῆς τοῦ Κυρίου ἐν εὐαγγελίοις περὶ τούτου συμβουλῆς· ἐν ὁμιλίαις μὴ ζήτει τῶν ἄλλων ὑπερέχων φαίνεσθαι, τὰς ἀρετὰς ἐφ' ὅσον ἔχεις ἐν κρυπτῷ ποίει, πρὸς Θεὸν μόνον ὁρῶν, καὶ παρ' αὐτοῦ μόνου ὁρῶμενος, καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ. Εἰ δὲ καὶ μετὰ τὸ κόψαι σε τὰ αἴτια ἑκάστου τῶν παθῶν πάλιν ἐνοχλεῖ ἔνδοθεν ὁ λογισμός, μὴ φοβηθῇς· στεφάνων γὰρ γίνεταί σοι πρόξενος, ἐπεὶ ἐνοχλῶν οὐ πείθει, οὐδὲ ἐνεργεῖ, ἀλλὰ κίνημά ἐστι νεναρκωμένον, ὡς νικώμενον ὑπὸ τοῦ σοῦ κατὰ Θεὸν ἀγῶνος.

24 Τοιοῦτός ἐστιν ὁ τοῦ Σταυροῦ λόγος· τοιοῦτος δὲ ὤν, οὐ μόνον ἐν τοῖς προφήταις πρὸ τοῦ τελεσθῆναι, ἀλλὰ καὶ νῦν μετὰ τὸ τελεσθῆναι, μυστήριόν ἐστι μέγα καὶ ὄντως θεῖον. Πῶς; ὅτι κατὰ μὲν τὸ φαινόμενον δοκεῖ προξενεῖν ἀτιμίαν ἑαυτῷ ὁ εὐτελίζων ἑαυτὸν καὶ ταπεινῶν ἐν πᾶσι, καὶ πόνον καὶ ὀδύνην ὁ τὰς σωματικὰς φεύγων ἡδονάς, καὶ ὁ διδοὺς τὰ ὄντα πτωχείας ἑαυτῷ αἴτιος καθίστασθαι· διὰ δὲ τῆς τοῦ Θεοῦ δυνάμεως ἡ πτωχεία αὕτη καὶ ἡ ὀδύνη καὶ ἡ ἀτιμία δόξαν αἰώνιον καὶ ἡδονὴν ἀνέκφραστον καὶ πλοῦτον ἀδαπάνητον γεννᾷ, καὶ κατὰ τὸν παρόντα καὶ κατὰ τὸ μέλλοντα ἐκεῖνον κόσμον. Καὶ τοὺς μὴ τούτῳ πιστεύοντας καὶ τὴν πίστιν δι' ἔργων ἐπιδεικνυμένους τοῖς ἀπολλυμένοις συντάττει, καὶ αὐτοῖς τοῖς Ἕλλησιν, ὁ Παῦλος· «κηρύσσομέν», γάρ φησι, «Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, διὰ τὴν πρὸς τὸ σωτήριον πάθος ἀπιστίαν, «Ἕλλησι δὲ μωρίαν», ὡς μηδὲν τῶν προσκαίρων προτιμῶ-

47. Ματθ. 6,6.

κλητο καί στήν συνεδρίασι νά ἐνθυμῆσαι τήν γι' αὐτό συμβουλή τοῦ Κυρίου στά εὐαγγέλια· στίς συνομιλίες νά μή ζητῆς νά ὑπερέχῃς τῶν ἄλλων, τίς ἀρετές, ἄν ἔχῃς, νά τίς ἀσκῆς μόνο στά κρυφά, ἀποβλέποντας μόνο πρός τόν Θεό καί ἀπό αὐτόν μόνο βλεπόμενος καί ὁ Πατέρας σου πού βλέπει στά κρυφά θά σοῦ τό ἀνταποδώση στά φανερά[47]. Ἐάν δέ καί μετά τήν ἀποκοπή κάθε πάθους πάλι σ' ἐνοχλῆ ὁ ἐσωτερικός λογισμός, νά μή φοβηθῆς· διότι σοῦ γίνεται πρόξενος στεφάνων, ἐπειδή δέν πείθει μέ τίς ἐνοχλήσεις του οὔτε ἐνεργεῖ, ἀλλ' εἶναι κίνημα νεκρό, νικημένο ἀπό τόν ἀγῶνα σου κατά Θεόν.

24 Τέτοιος εἶναι ὁ λόγος τοῦ Σταυροῦ, ὡς τέτοιος δέ, ὄχι μόνο στούς προφῆτες πρίν συντελεσθῆ, ἀλλά καί τώρα μετά τήν τέλεσί του, εἶναι μυστήριο μέγα καί πραγματικά θεῖο. Πῶς; Διότι φαινομενικῶς μέν παρουσιάζεται νά προξενῆ ἀτίμωσι στόν ἑαυτό του αὐτός πού ἐξευτελίζει τόν ἑαυτό του καί τόν ταπεινώνει σέ ὅλα, καί πόνο καί ὀδύνη αὐτός πού ἀποφεύγει τίς σωματικές ἡδονές, καί αὐτός πού δίδει τά ὑπάρχοντα καθίσταται αἴτιος πτωχείας στόν ἑαυτό του· ἀλλά διά τῆς δυνάμεως τοῦ Θεοῦ αὐτή ἡ πτωχεία καί ἡ ὀδύνη καί ἡ ἀτιμία γεννᾶ δόξα αἰώνια καί ἡδονή ἀνέκφραστη καί πλοῦτο ἀνεξάντλητο, τόσο στόν παρόντα ὅσο καί στόν μέλλοντα ἐκεῖνον κόσμο. Ἐκείνους δέ πού δέν πιστεύουν σ' αὐτόν καί δέν ἐπιδεικνύουν δι' ἔργων τήν πίστι ὁ Παῦλος τούς τοποθετεῖ δίπλα στούς ἀφανιζομένους, καί σ' αὐτούς τούς εἰδωλολάτρες μάλιστα. Διότι λέγει, «κηρύσσομε Χριστόν ἐσταυρωμένο, πού εἶναι στούς Ἰουδαίους μέν σκάνδαλο λόγω τῆς ἀπιστίας των πρός τό σωτηριῶδες πάθος, στούς Ἕλληνες δέ μωρία, διότι δέν προτιμοῦν τίποτε ἄλλο ἐκτός ἀπό τά πρόσκαιρα λόγω τῆς ἀπιστίας πρός τίς θεῖες ἐπαγγελίες

σι, διὰ τὴν πρὸς τὰς θείας ἐπαγγελίας πάντως ἀπιστίαν· «ἡμῖν δὲ τοῖς κλητοῖς Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν».

25 *Τοῦτο οὖν ἡ τοῦ Θεοῦ σοφία καὶ δύναμις, τὸ δι' ἀσθενείας νικῆσαι, τὸ διὰ ταπεινώσεως ὑψωθῆναι, τὸ διὰ πτωχείας πλουτῆσαι. Οὐ μόνον δὲ ὁ λόγος τοῦ Σταυροῦ καὶ τὸ μυστήριον, ἀλλὰ καὶ ὁ τύπος θεῖος καὶ προσκυνητός, σφραγὶς ὢν ἱερὰ καὶ σωστικὴ καὶ αἰδέσιμος, ἁγιαστική τε καὶ τελεστικὴ τῶν ἐκ Θεοῦ τῷ γένει τῶν ἀνθρώπων ὑπηργμένων ὑπερφυῶν καὶ ἀπορρήτων ἀγαθῶν, ἀρᾶς καὶ καταδίκης ἀναιρετική, φθορᾶς καὶ θανάτου καθαιρετική, ζωῆς ἀϊδίου καὶ εὐλογίας παρεκτική, ξύλον σωτήριον, σκῆπτρον βασίλειον, θεῖον κατ' ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων τρόπαιον, κἂν αἱρετικῶν παῖδες ἀπαραίσκωνται φρενοβλαβῶς· οὐ γὰρ ἐπέτυχον τῆς ἀποστολικῆς εὐχῆς, ἵνα ἐξισχύσωσι καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος καὶ ὕψος καὶ βάθος· ὅτι ὁ τοῦ Κυρίου Σταυρός ἐστι πᾶσαν ἐμφαίνων τῆς ἐν σαρκὶ τούτου παρουσίας τὴν οἰκονομίαν καὶ τὸ κατ' αὐτὴν ἅπαν ἐμπεριέχων μυστήριον καὶ πρὸς πάντα τείνων τὰ πέρατα καὶ πάντα περιλαμβάνων τὰ ἄνω τὰ κάτω τὰ πέριξ τὰ μεταξύ. Προβαλλόμενοι δέ τινα πρόφασιν, δι' ἣν καὶ αὐτοὺς ἔδει μεθ' ἡμῶν, εἴπερ νοῦν εἶχον, προσκυνεῖν αὐτόν, ἀποτροπιάζονται τοῦ βασιλέως τῆς δόξης τὸ σύμβολον, ὃ καὶ αὐτὸς φανερῶς ὁ Κύριος ὕψος μὲν καὶ δόξαν ἑαυτοῦ καλεῖ, μέλλων ἀναβαίνειν ἐπ' αὐτό· κατὰ δὲ τὴν μέλλουσαν αὐτοῦ παρουσίαν καὶ ἐπιφάνειαν ἐλεύσεσθαι προκαταγγέλλει τὸ σημεῖον τοῦτο τοῦ Υἱοῦ τοῦ ἀνθρώπου μετὰ δυνάμεως καὶ δόξης πολλῆς.*

---

48. Α' Κορ. 1,23.

ὁπωσδήποτε· σ' ἐμᾶς δέ τούς προσκεκλημένους Θεοῦ δύναμις καί Θεοῦ σοφία[48].

25 Τοῦτο λοιπόν εἶναι ἡ σοφία καί δύναμις τοῦ Θεοῦ, τό νά νικήση δι' ἀσθενείας, τό νά ὑψωθῆ διά ταπεινώσεως, τό νά πλουτήση διά πτωχείας. Ὄχι μόνο δέ ὁ λόγος καί τό μυστήριο τοῦ Σταυροῦ, ἀλλά καί ὁ τύπος εἶναι θεῖος καί προσκυνητός, διότι εἶναι σφραγίς ἱερά, σωστική καί σεβαστή, ἁγιαστική καί τελεστική τῶν ὑπερφυῶν καί ἀπορρήτων ἀγαθῶν πού ἐνεργήθηκαν στό γένος τῶν ἀνθρώπων ἀπό τόν Θεό, ἀναιρετική κατάρας καί καταδίκης, καθαιρετική φθορᾶς καί θανάτου, παρεκτική ἀϊδίου ζωῆς καί εὐλογίας, σωτηριῶδες ξύλο, βασιλικό σκῆπτρο, θεῖο τρόπαιο κατά ὁρατῶν καί ἀοράτων ἐχθρῶν, ἔστω καί ἄν οἱ ὀπαδοί τῶν αἱρετικῶν φρενοβλαβῶς δυσαρεστοῦνται. Αὐτοί οἱ τελευταῖοι δέν ἐπέτυχαν τήν ἀποστολική εὐχή, ὥστε νά κατορθώσουν νά καταλάβουν μαζί μέ ὅλους τούς ἁγίους, τί εἶναι τό πλάτος καί τό μῆκος, τό ὕψος καί τό βάθος· ὅτι ὁ Σταυρός τοῦ Κυρίου παριστάνει ὅλη τήν οἰκονομία τῆς σαρκικῆς παρουσίας καί περικλείει ὅλο τό κατ' αὐτήν μυστήριο, ἐκτείνεται πρός ὅλα τά πέρατα καί περιλαμβάνει ὅλα, τά ἄνω, τά κάτω, τά γύρω, τά ἐνδιάμεσα. Προβάλλοντας δέ κάποια πρόφασι, γιά τήν ὁποία ἔπρεπε κι' αὐτοί, ἄν εἶχαν νοῦ, νά τόν προσκυνοῦν μαζί μας, ἀποτροπιάζονται τό σύμβολο τοῦ βασιλέως τῆς δόξης, τό ὁποῖο κι' ὁ ἴδιος ὁ Κύριος ὀνομάζει φανερῶς ὕψος καί δόξα του, ὅταν ἐπρόκειτο ν' ἀνεβῆ σ' αὐτό· κατά τήν μέλλουσα δέ παρουσία κι' ἐπιφάνειά του προαναγγέλλει ὅτι θά ἔλθη τό σημεῖο τούτου τοῦ Υἱοῦ τοῦ ἀνθρώπου μέ πολλή δύναμι καί δόξα.

26 *Ἀλλ' ἐν αὐτῷ φησιν ὁ Χριστὸς προσηλωθεὶς ἀπέθανε, καὶ διὰ τοῦτο οὐδ' ὁρᾶν ἀνεχόμεθα τὸ σχῆμα καὶ τὸ ξύλον ἐν ᾧ τεθανάτωται. Τὸ δὲ καθ' ἡμῶν χειρόγραφον, ὃ γέγονεν ἡμῖν διὰ τῆς ἐπὶ τὸ ξύλον παρακοῆς, ἐκτεταμένης τῆς τοῦ προπάτορος χειρός, ἐν τίνι προσηλώθη, καὶ διὰ τίνος ἐκ μέσου γέγονε καὶ ἠφανίσθη, καὶ οὕτω πρὸς τὴν ἀπὸ τοῦ Θεοῦ εὐλογίαν ἐπανήλθομεν; ἐν τίνι δὲ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τῶν πνευμάτων τῆς πονηρίας, αἳ κατὰ τῆς ἡμετέρας φύσεως ἐκ τοῦ ξύλου τῆς παρακοῆς χώραν ἔλαβον, ὁ Χριστὸς ἀπεξεδύσατο καὶ τελείως ἀπώσατο, καὶ θριαμβεύσας κατῄσχυνε, καὶ οὕτως ἡμεῖς τὴν ἐλευθερίαν ἀντελάβομεν; ἐν τίνι τὸ μεσότοιχον τοῦ φραγμοῦ λέλυται, καὶ ἡ πρὸς τὸν Θεὸν ἡμῶν ἔχθρα κατήργηται καὶ τεθανάτωται; καὶ διὰ τίνος ἀπεκατηλλάγημεν πρὸς τὸν Θεὸν καὶ τὴν πρὸς αὐτὸν εἰρήνην εὐηγγελίσθημεν, οὐκ ἐν τῷ Σταυρῷ καὶ διὰ τοῦ Σταυροῦ; Ἀκουέτωσαν τοῦ ἀποστόλου, τοῖς μὲν Ἐφεσίοις γράφοντος, «ὁ Χριστός ἐστιν ἡ εἰρήνη ὑμῶν, ὁ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ Σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ»· Κολασσαεῦσι δέ, «νεκροὺς ὄντας τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν συνεζωοποίησεν ὑμᾶς ἐν αὐτῷ, χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα, ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρεν ἐκ τοῦ μέσου προσηλώσας αὐτὸ τῷ Σταυρῷ, καὶ ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ θριαμβεύσας αὐτὰς ἐν αὐτῷ».*

---

49. Ἐφ. 2,14-16.

26 Ἀλλά, λέγουν, σ' αὐτό προσηλωμένος ἐπέθανε ὁ Χριστός καί γι' αὐτό δέν ἀνεχόμαστε νά βλέπωμε τό σχῆμα καί τό ξύλο στό ὁποῖο ἔχει θανατωθῆ. Τό δέ ἐναντίον μας χρεώγραφο, πού συντάχθηκε διά τῆς παρακοῆς μας ὡς πρός τό ξύλο, μέ τό ἄπλωμα τοῦ χεριοῦ τοῦ προπάτορος, σέ τί προσηλώθηκε καί μέ τί πρᾶγμα ἔφυγε ἀπό τή μέση καί ἀφανίσθηκε κι' ἔτσι ἐπανήλθαμε στήν εὐλογία ἀπό τόν Θεό; Μέ τί δέ ὁ Χριστός ἀπέβαλε καί ἀπεμάκρυνε τελείως τίς ἀρχές καί τίς ἐξουσίες τῶν πνευμάτων τῆς πονηρίας, οἱ ὁποῖες ἐπεβλήθηκαν στήν φύσι μας ἀπό τό ξύλο τῆς παρακοῆς, καί τίς κατήσχυνε θριαμβευτικῶς καί ἔτσι ἐμεῖς ἀνακτήσαμε τήν ἐλευθερία; Μέ τί ἐλύθηκε τό μεσότοιχο καί καταργήθηκε κι' ἐθανατώθηκε ἡ πρός τόν Θεό ἔχθρα μας καί διά μέσου τίνος συνδιαλλαγήκαμε μέ τόν Θεό κι' ἐδιδαχθήκαμε τήν πρός αὐτόν εἰρήνη; ὄχι στόν Σταυρό καί διά τοῦ Σταυροῦ; Ἄς ἀκούσουν τόν ἀπόστολο, πού στούς μέν Ἐφεσίους γράφει, «ὁ Χριστός εἶναι ἡ εἰρήνη σας, αὐτός πού ἔλυσε τό μεσότοιχο τοῦ φραγμοῦ, γιά νά οἰκοδομήση μέσα του τούς δύο σ' ἕνα νέον ἄνθρωπο, ἐπιβάλλοντας εἰρήνη, καί γιά νά συνδιαλλάξη καί τούς δύο σ' ἕνα σῶμα μέ τόν Θεό διά τοῦ Σταυροῦ, φονεύοντας τήν ἔχθρα πού εἶναι σ' αὐτόν[49]. Πρός τούς Κολοσσαεῖς δέ γράφει, «ἐνῶ ἤσαστε νεκροί ἀπό τά παραπτώματα καί τήν ἀκροβυστία τῆς σάρκας σᾶς ἐζωοποίησε μαζί του, χαρίζοντάς σας ὅλα τά παραπτώματα, ἐξαλείφοντας τό χειρόγραφο πού περιεῖχε τίς ἐναντίον μας ἀποφάσεις, σηκώνοντάς το ἀπό τή μέση καί καρφώνοντάς το στόν Σταυρό· ξεγυμνώνοντας δέ τίς ἀρχές καί τίς ἐξουσίες, τίς διεπόμπευσε δημοσία θριαμβεύοντάς τες ἐπάνω στό Σταυρό»[50].

50. Κολ. 2,13.

27 *Οὐ τιμήσωμεν οὖν ἡμεῖς, οὐδὲ χρησώμεθα τῷ θείῳ τούτῳ τροπαίῳ τῆς κοινῆς τοῦ γένους ἐλευθερίας, ὃ καὶ μόνον φαινόμενον, τὸν μὲν ἀρχέκακον ὄφιν φυγαδεύει καὶ θριαμβεύει καὶ καταισχύνει, τὴν ἧτταν καὶ τὴν θραῦσιν ἀνακηρύττον αὐτοῦ, δοξάζει δὲ καὶ μεγαλύνει Χριστόν, τὴν αὐτοῦ νίκην ἀναφαῖνον τῷ κόσμῳ; Καὶ μὴν εἴπερ ὁ Σταυρὸς παροπτέος, ὡς ἐν αὐτῷ τοῦ Χριστοῦ τὸν θάνατον ὑπομείναντος, οὐδ' ὁ θάνατος ἔσται σεπτὸς καὶ σωτήριος. Πῶς οὖν κατὰ τὸν ἀπόστολον εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; πῶς δὲ καὶ τῆς ἀναστάσεως αὐτοῦ ἐσόμεθα, εἴπερ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ; Ἄλλωστε εἰ μέν τις ἦν ὁ προσκυνῶν σταυροῦ σχῆμα, μὴ ἐπιγεγραμμένον ἔχον τὸ δεσποτικὸν ὄνομα, δικαίως ἂν ἐνεκαλεῖτο παρὰ τὸ δέον ποιῶν· ἐπεὶ δὲ «ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει, ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων», τοῦτο δὲ τὸ προσκυνητὸν ὄνομα ὁ Σταυρὸς ἐπιφέρει, πόσης παραφροσύνης μὴ κάμπτειν γόνυ τῷ Σταυρῷ τοῦ Χριστοῦ;*

28 *Ἀλλ' ἡμεῖς καὶ τὰς καρδίας σὺν τοῖς γόνασι κλίναντες, δεῦτε προσκυνήσωμεν μετὰ τοῦ ψαλμῳδοῦ καὶ προφήτου Δαβὶδ εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ καὶ οὗ αἱ συνεκτικαὶ τοῦ παντὸς ἐξηπλώθησαν χεῖρες καὶ οὗ τὸ ζωαρχικὸν δι' ἡμᾶς ἐξετάθη σῶμα, καί, προσκυνοῦντες ἐν πίστει καὶ ἀσπαζόμενοι, δαψιλῆ τὸν ἐκεῖθεν ἁγιασμὸν καὶ ἀρυώμεθα καὶ φυλάττωμεν· ὡς ἂν καὶ κατὰ τὴν ὑπερδεδοξασμένην μέλλουσαν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν, αὐτὸν προηγούμενον ἰδόντες ἐν δόξῃ*

51. Ρωμ. 6,3.
52. Ρωμ. 6,5.

27 Δέν θά τιμήσωμε λοιπόν ἐμεῖς καί δέν θά χρησιμοποιήσωμε τό θεῖο τοῦτο τρόπαιο τῆς κοινῆς ἐλευθερίας τοῦ γένους, τό ὁποῖο καί μόνο μέ τή θέα του τόν μέν ἀρχέκακο ὄφι φυγαδεύει καί διαπομπεύει καί καταισχύνει, διακηρύσσοντας τήν ἧττα καί τήν συντριβή του, δοξάζει δέ καί μεγαλύνει τόν Χριστό, ἐπιδεικνύοντας στόν κόσμο τή νίκη του; Καί ὅμως, ἄν ὁ Σταυρός εἶναι παραβλεπτέος, διότι σ' αὐτόν ὑπέμεινε τόν θάνατο ὁ Χριστός, οὔτε ὁ θάνατός του δέν πρέπει νά εἶναι σεβαστός καί σωτήριος· πῶς λοιπόν κατά τόν ἀπόστολο ἐβαπτισθήκαμε στόν θάνατό του[51]; Πῶς δέ θά συμμετάσχωμε καί στήν ἀνάστασί του, ἄν βέβαια ἐγίναμε σύμφυτοι μέ τόν θάνατό του[52]; Βέβαια, ἄν κανείς προσκυνοῦσε σχῆμα σταυροῦ πού δέν ἔφερε ἐπιγεγραμμένο τό δεσποτικό ὄνομα, δικαίως θά κατηγορεῖτο ὅτι πράττει κάτι ἀνάρμοστο. Ἐπειδή δέ «στό ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ θά καμφθοῦν ὅλα τά γόνατα, τῶν ἐπουρανίων καί ἐπιγείων καί καταχθονίων»[53], τοῦτο δέ τό προσκυνητό ὄνομα ἐπιφέρει ὁ Σταυρός, πόσο παράφρον δέν θά ἦταν νά μή γονατίζωμε στόν Σταυρό τοῦ Χριστοῦ;

28 Ἀλλ' ἐμεῖς, κλίνοντας μαζί μέ τά γόνατα καί τίς καρδιές, ἐμπρός, ἄς προσκυνήσωμε μαζί μέ τόν ψαλμωδό καί προφήτη Δαβίδ[53] στόν τόπο ὅπου ἐστάθηκαν τά πόδια του καί ὅπου ἐξαπλώθηκαν τά χέρια πού συνέχουν τό σύμπαν καί ὅπου ἐτεντώθηκε γιά μᾶς τό ζωαρχικό σῶμα, καί, προσκυνώντας καί ἀσπαζόμενοι αὐτόν μέ πίστι, ἄς παίρνωμε πλούσιον τόν ἀπό ἐκεῖ ἁγιασμό καί ἄς τόν φυλάττωμε. Ἔτσι καί κατά τήν ὑπερένδοξη μέλλουσα παρουσία τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος μας Ἰησοῦ Χριστοῦ, βλέποντάς τον νά προηγῆται λαμπρῶς, θά ἀγαλ-

53. Ψαλμ. 131,7.

ἀγαλλιασώμεθα καὶ σκιρτήσωμεν ἄληκτα, τῆς ἐκ δεξιῶν στάσεως καὶ τῆς ἐπηγγελμένης μακαρίας φωνῆς καὶ εὐλογίας ἐπιτυχόντες, εἰς δόξαν τοῦ κατὰ σάρκα δι' ἡμᾶς σταυρωθέντος Υἱοῦ τοῦ Θεοῦ.

29 *Ὅτι αὐτῷ πρέπει δόξα, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

λιάζωμε καί θά χοροπηδοῦμε διαπαντός, διότι ἐπετύχαμε τήν ἀπό τά δεξιά θέσι καί τήν ὑπεσχημένη μακαρία φωνή καί εὐλογία, σέ δόξα τοῦ σαρκικῶς σταυρωθέντος γιά μᾶς Υἱοῦ τοῦ Θεοῦ.

29 Διότι σ' αὐτόν πρέπει δοξολογία μαζί μέ τόν ἄναρχο Πατέρα του καί τό πανάγιο καί ἀγαθό καί ζωοποιό Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Γένοιτο.



ΕΝ ΤΗι ΤΕΤΑΡΤΗι ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ ΚΥΡΙΑΚΗι

Ὑπόθεσιν ἔχουσα τὸ κατ' αὐτὴν ἀναγινωσκόμενον
Εὐαγγέλιον ἐν ᾗ καὶ περὶ τῆς ἐπιμελείας τῶν
ἔνδον λογισμῶν

ΟΜΙΛΙΑ ΙΒ'

ΕΝ ΤΗι ΤΕΤΑΡΤΗι ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ ΚΥΡΙΑΚΗι

Ὑπόθεσιν ἔχουσα τὸ κατ' αὐτὴν ἀναγινωσκόμενον Εὐαγγέλιον ἐν ᾗ καὶ περὶ τῆς ἐπιμελείας τῶν ἔνδον λογισμῶν

1 

ολλάκις πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ μάλιστα κατὰ τὰς ἱερὰς ταύτας ἡμέρας, περὶ νηστείας καὶ προσευχῆς εἰπών, οἷοις δεξιοῦνται δώροις τοὺς ἑραστὰς καὶ πόσων ἀγαθῶν γίνονται πρόξενοι τοῖς χρωμένοις, ὃ διὰ τῆς σήμερον ἀναγινωσκομένης ἐν τῷ εὐαγγελίῳ τοῦ Κυρίου φωνῆς μάλιστα προσμαρτυρεῖται ταύταις, οὔπω ταῖς φιλοθέοις ὑμῶν ἀκοαῖς τε καὶ ψυχαῖς ἐναπέθηκα. Τί δέ ἐστι τοῦτο; Μέγα καὶ τὸ πάντων ὡς εἰπεῖν μέγιστον· πρὸς γὰρ τοῖς ἄλλοις καὶ ἐξουσίαν δύναται παρέχειν κατὰ πνευμάτων πονηρῶν, ὥστε αὐτὰ ἐκβάλλειν καὶ ἀπελεύνειν, καὶ τοὺς δαιμονῶν-

ΟΜΙΛΙΑ 12

ΤΗΝ ΤΕΤΑΡΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

Ἔχει θέμα τό εὐαγγέλιο πού ἀναγινώσκεται κατ' αὐτήν ὅπου γίνεται λόγος καί γιά τήν ἐπιμέλεια τῶν ἐσωτερικῶν λογισμῶν

1 Πολλές φορές ὡμίλησα πρός τήν ἀγάπη σας περί νηστείας καί προσευχῆς, ἰδιαιτέρως μάλιστα αὐτές τίς ἱερές ἡμέρες· ἐναπέθεσα ἀκόμη στίς φιλόθεες ἀκοές καί ψυχές σας ποιά δῶρα προσφέρουν στούς ἐραστάς των καί πόσων ἀγαθῶν πρόξενοι γίνονται σ' αὐτούς πού τίς ἀσκοῦν, πρᾶγμα πού ἐπιβεβαιώνεται γι' αὐτές κυρίως ἀπό τήν φωνή τοῦ Κυρίου πού ἀναγινώσκεται σήμερα στό εὐαγγέλιο. Ποιά δέ εἶναι αὐτά; Εἶναι μεγάλα, τά μεγαλύτερα ὅλων θά ἐλέγαμε· διότι ἐκτός ἀπό τά ἄλλα μποροῦν νά παράσχουν καί ἐξουσία κατά πονηρῶν

τας τῆς αὐτῶν ἐπηρείας ἐλευθεροῦν. Τῶν γὰρ μαθητῶν πρὸς τὸν Κύριον εἰπόντων περὶ τοῦ ἀλάλου καὶ κωφοῦ δαιμονίου, ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό, πρὸς αὐτοὺς ὁ Κύριος ἔφη· «τοῦτο τὸ γένος οὐκ ἐκπορεύεται, εἰμὴ ἐν προσευχῇ καὶ νηστείᾳ».

2 Καὶ τάχα διὰ τοῦτο, μετὰ τὴν ἐπ' ὄρους προσευχὴν καὶ τὴν κατ' αὐτὴν ἐμφάνειαν τῆς θεϊκῆς αὐγῆς, καταβὰς εὐθὺς ἐπὶ τὸν τόπον ἔρχεται ἔνθα ὁ τῷ δαίμονι ἐκείνῳ κάτοχος ἦν. Τοὺς γὰρ ἐκκρίτους τῶν μαθητῶν, φησί, παραλαβὼν ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι καὶ ἔλαμψεν ὡς ὁ ἥλιος, καὶ ἰδοὺ ὤφθησαν αὐτῷ συλλαλοῦντες Μωϋσῆς καὶ Ἠλίας, οἱ μάλιστα σχεδὸν πάντων ἀνθρώπων τὴν προσευχὴν καὶ τὴν νηστείαν ἀσκήσαντες, δεικνύντες καὶ διὰ τῆς ἐν τῇ προσευχῇ παρουσίας αὐτῶν τὸ τῆς προσευχῆς καὶ τῆς νηστείας συνῳδὸν καὶ φιλάλληλον, ὡς καὶ συλλαλεῖν οἷον τῇ προσευχῇ τὴν νηστείαν ὁμιλούσῃ πρὸς Κύριον. Εἰ γὰρ φωνὴ αἵματος παθόντος Ἄβελ βοᾷ πρὸς Κύριον, καθάπερ αὐτὸς πρὸς τὸν Κάϊν φησίν, ὡς διὰ Μωυσέως ἐμάθομεν, πάντως καὶ τὰ τοῦ σώματος μέρη καὶ μέλη πάντα τῇ νηστείᾳ κακοπαθοῦντα βοήσει πρὸς Κύριον καὶ τῇ προσευχῇ συλλαλήσαντα τοῦ νηστεύοντος καὶ οἷον συμπροσευξάμενοι δικαίως εὐπροσδεκτοτέραν ταύτην ἐργάσεται καὶ δικαιώσει τὸν ἑκουσίως ὑφιστάμενον τῆς νηστείας τὸν πόνον. Μετὰ δὴ τὸ προσεύξασθαι καὶ λάμψαι θείως, καταβὰς ἐκ τοῦ ὄρους ὁ Κύριος, ἔρχεται πρὸς τὸν ὄχλον καὶ τοὺς μαθητάς, οἷς προσηνέχθη ὁ τὸ

1. Ματθ. 17,1.

πνευμάτων, ὥστε νά τά ἐκβάλλουν καί νά τά ἀπελαύνουν, καί τούς δαιμονισμένους νά τούς ἐλευθερώνουν ἀπό τήν ἐπήρειά τους. Ὅταν πραγματικά οἱ μαθηταί εἶπαν πρός τόν Κύριο περί τοῦ ἀλάλου καί κωφοῦ δαιμονίου, ὅτι «ἐμεῖς δέν μπορέσαμε νά τό ἐκβάλωμε», εἶπε πρός αὐτούς ὁ Κύριος· «τοῦτο τό γένος δέν ἐκδιώκεται, παρά μέ προσευχή καί νηστεία»[1].

2 Ἴσως γι' αὐτό, μετά τήν προσευχή ἐπάνω στό ὄρος καί τήν κατ' αὐτήν ἐμφάνισι τῆς θεϊκῆς αὐγῆς, κατέβηκε ἀμέσως καί ἦλθε στόν τόπο, ὅπου εὑρισκόταν ὁ κατεχόμενος ἀπό τόν δαίμονα ἐκεῖνον. Λέγει δηλαδή ὅτι, ἀφοῦ παρέλαβε τούς ἐγκρίτους μαθητάς, ἀνέβηκε στό ὄρος νά προσευχηθῆ καί ἔλαμψε σάν ὁ ἥλιος, καί ἰδού ἐφάνηκαν νά συνομιλοῦν μέ αὐτόν ὁ Μωυσῆς καί ὁ Ἠλίας[2], οἱ ἄνδρες πού περισσότερο ἀπό κάθε ἄλλον ἄσκησαν τήν προσευχή καί τή νηστεία, δεικνύοντας καί διά τῆς παρουσίας των στήν προσευχή τήν συμφωνία καί ἐναρμόνισι μεταξύ προσευχῆς καί νηστείας, ὥστε κατά κάποιον τρόπο ἡ νηστεία νά συνομιλῆ μέ τήν προσευχή ὁμιλῶντας πρός τόν Κύριο. Ἐάν ἡ φωνή αἵματος τοῦ φονευθέντος Ἄβελ βοᾶ πρός τόν Κύριο, καθώς λέγει αὐτός πρός τόν Κάιν, ὅπως ἐμάθαμε ἀπό τά λόγια τοῦ Μωυσέως, πάντως καί ὅλα τά μέρη καί μέλη τοῦ σώματος, κακοπαθοῦντα μέ τήν νηστεία, θά βοήσουν πρός τόν Κύριο καί, συνομιλώντας μέ τήν προσευχή τοῦ νηστεύοντος καί περίπου συμπροσευχόμενα, δικαίως θά τήν καταστήσουν εὐπροσδεκτικώτερη καί θά δικαιώσουν αὐτόν πού ὑφίσταται ἑκουσίως τόν κόπο τῆς νηστείας. Μετά λοιπόν τήν προσευχή καί τήν κατά θεῖο τρόπο λάμψι, ἀφοῦ ὁ Κύριος κατέβηκε ἀπό τό ὄρος, ἔρχεται πρός τόν ὄχλο καί τούς μαθητάς, στούς ὁποίους ὡδηγήθηκε ἐκεῖνος ὁ κατειλημμένος ἀπό τό δαιμόνιο,

2. Ματθ. 17,2.

δαιμόνιον ἔχων ἐκεῖνος, ἵν' ὥσπερ ἔδειξεν ἐπ' ὄρους ἐκεῖνο νηστείας καὶ προσευχῆς ὑπάρχον βραβεῖον, οὐ μέγα μόνον, ἀλλὰ καὶ ὑπὲρ τὸ μέγα (καὶ γὰρ ἔδειξεν ἆθλον οὖσαν τούτων τὴν θείαν λαμπρότητα), οὕτω καταβὰς ἐπιδείξει τούτων ἔπαθλον οὖσαν καὶ τὴν κατὰ δαιμόνων ἰσχύν.

3 *Ἀλλ' ἐπεὶ κατὰ τὴν παροῦσαν τῶν ἱερῶν νηστειῶν κυριώνυμον ἡμέραν ἐπ' ἐκκλησίας ἔθος τὰ περὶ τοῦ θαύματος ἀναγινώσκεσθαι τούτου, φέρε τὴν αὐτὸ καταγγέλλουσαν εὐαγγελικὴν ῥῆσιν ἄνωθεν ἐπέλθωμεν ἅπασαν. Ἐλθόντι γοῦν φησι τῷ Ἰησοῦ πρὸς τοὺς μαθητὰς καὶ τοὺς αὐτοῖς συμπαρόντας καὶ ἐρωτήσαντι, τίς ὁ πρὸς ἀλλήλους λόγος, ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου εἶπε· «διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρὸς σὲ ἔχοντα πνεῦμα ἄλαλον, καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτὸν καὶ ἀφρίζει καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ καὶ ξηραίνεται».*

4 *Πῶς οὖν ἤφριζεν οὗτος καὶ ἔτριζε τοὺς ὀδόντας καὶ ἐξηραίνετο; Τοῦ δαιμονῶντος πρῶτον τε καὶ μᾶλλον τῶν ἄλλων μορίων τοῦ σώματος ὁ ἐγκέφαλος πάσχει· τῷ γὰρ ἐν τούτῳ ψυχικῷ πνεύματι ὡς ὀχήματι χρῆται ὁ δαίμων καὶ ἀπὸ τούτου, καθάπερ ἐξ ἀκροπόλεώς τινος, καταδυναστεύει παντὸς τοῦ σώματος. Τοῦ δὲ ἐγκεφάλου πάσχοντος, σύρροιά τις ἐκεῖθεν ἀφίεται φυσώδης ὁμοῦ καὶ φλεγματώδης ἐπὶ τὰ νεῦρα καὶ τοὺς μῦας τοῦ σώματος, τοῦ ψυχικοῦ πνεύματος τὰς διεξόδους ἐμφράττουσα· καὶ κλόνος ἐντεῦθεν καὶ ῥῆξις καὶ κίνησις ἀπροαίρετος πᾶσι τοῖς προαιρετικοῖς μορίοις ἐγγίνεται, μάλιστα δὲ ταῖς γνάθοις, ὡς μάλιστα πλησιαζούσαις τῷ πρωτοπαθήσαντι μορίῳ. Πολλοῦ δὲ τοῦ ὑγροῦ μᾶλλον ἐπὶ τὸ στόμα καταφερομένου, διά τε τὸ χώρημα τῶν πόρων καὶ τὴν πρὸς τὸν ἐγκέφαλον*

ὥστε, ὅπως ἔδειξε ἐπάνω στό ὄρος ὅτι ἐκεῖνο ἦταν βραβεῖο νηστείας καί προσευχῆς, ὄχι μόνο μεγάλο ἀλλά καί ἐπάνω ἀπό τό μεγάλο (πραγματικά ἔδειξε ὅτι ἡ θεία λαμπρότης ὑπῆρξε ἆθλον αὐτῶν), ἔτσι, ἀφοῦ κατεβῆ, θά ἐπιδείξη ὅτι ἔπαθλο τούτων εἶναι καί ἡ ἰσχύς κατά τῶν δαιμόνων.

3 Ἀλλά, ἐπειδή κατά τήν παροῦσα Κυριακή τῶν ἱερῶν νηστειῶν εἶναι συνήθεια ν' ἀναγινώσκεται στήν ἐκκλησία ἡ διήγησις περί τοῦ θαύματος τούτου, ἄς ἐξετάσωμε ἀπό τήν ἀρχή ὅλη τήν εὐαγγελική περικοπή πού τό περιγράφει[3]. Μόλις λοιπόν ἦλθε ὁ Ἰησοῦς πρός τούς μαθητάς καί τούς παρευρισκομένους μέ αὐτούς κι' ἐρώτησε, τί συζητεῖτε, κάποιος ἀπό τό πλῆθος εἶπε· «διδάσκαλε, ἔφερα σέ σένα τόν υἱό μου πού ἔχει πνεῦμα ἄλαλο καί ὅπου τόν καταλάβη, τόν συγκλονίζει καί αὐτός ἀφρίζει καί τρίζει τά δόντια του καί ξηραίνεται»[4].

4 Πῶς λοιπόν ἄφριζε αὐτός κι' ἔτριζε τά δόντια κι' ἐξηραινόταν; Τοῦ δαιμονισμένου πάσχει πρῶτο καί περισσότερο ἀπό ὅλα τά μόρια τοῦ σώματος ὁ ἐγκέφαλος· διότι ὁ δαίμων χρησιμοποιεῖ ὡς ὄχημα τό ψυχικό πνεῦμα πού εὑρίσκεται σ' αὐτόν καί ἀπό αὐτό σάν ἀκρόπολι καταδυναστεύει ὅλο τό σῶμα. Ὅταν δέ πάσχη ὁ ἐγκέφαλος, ἀφήνεται ἀπό ἐκεῖ μιά ροή πρός τά νεῦρα καί τούς μῦς τοῦ σώματος ἀφρώδης καί φλεγματώδης, πού φράσσει τίς διεξόδους τοῦ ψυχικοῦ πνεύματος· καί ἀπό αὐτό προκαλεῖται κλονισμός καί ρῆξις καί ἀκουσία κίνησις σέ ὅλα τά αὐτόβουλα μόρια, μάλιστα δέ στίς γνάθους, πού πλησιάζουν περισσότερο στό μόριο πού ἔπαθε πρῶτο. Καθώς τό ὑγρό ρέει περισσότερο πρός τό στόμα λόγω τῆς χωρητικότητος τῶν

3. Μάρκ. 9,17-31.
4. Μάρκ. 9,17.

ἐγγύτητα, τῆς τε ἀναπνοῆς ἀθρόας διεκπνεῖσθαι μὴ δυναμένης διὰ τὴν τῶν ὀργάνων ἄτακτον συγκίνησιν, ἀλλὰ καὶ τῷ πλήθει τοῦ ὑγροῦ συναναφυρομένης, ὁ ἀφρὸς ἐπιγίνεται τοῖς πάσχουσιν. Οὕτως ἤφριζέ τε καὶ ἔτριζε τοὺς ὀδόντας, δεινῶς προσαρασσομένους καὶ μανικῶς ἐπιθηγομένους ὁ δαίμων ἐκεῖνος. Ἐξηραίνετο δὲ μετὰ ταῦτα ὑπὸ τῆς σφοδροτέρας ἐπηρείας τοῦ δαιμονίου. Καθάπερ γὰρ ὑπὸ τῆς θέρμης τῆς ἡλιακῆς ἀκτῖνος οἱ ἀτμοὶ κινούμενοι, ἂν αὕτη σφοδροτέρα ᾖ, ὑπ' αὐτῆς πάλιν καὶ ἀφανίζονται τελείως διαφορηθέντες, οὕτω καὶ ὑπὸ τῆς τοῦ δαίμονος ἐπηρείας, ἡ τῶν σπλάγχνων ὑγρότης ἐκδιδομένη, ἂν ἐκείνη σφοδροτέρα ᾖ, μετ' οὐ πολὺ δαπανᾶται καὶ ἡ τῆς σαρκὸς ἔμφυτος ἰκμὰς καὶ ὁ δαιμονῶν ἐκεῖνος καταξηραίνεται.

5 *Ὁ δὲ τοῦ δαιμονῶντος πατὴρ προσετίθει πρὸς τὸν Κύριον, λέγων ὅτι εἶπε τοῖς μαθηταῖς, ἵνα αὐτὸ ἐκβάλλωσι καὶ οὐκ ἴσχυσαν· ὁ δὲ Κύριος οὐ πρὸς αὐτὸν μόνον, ἀλλὰ καὶ πρὸς πάντας ἀποτεινόμενος, «ὦ γενεά», φησίν, «ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι, ἕως πότε ἀνέξομαι ὑμῶν;». Δοκεῖ μοι τοὺς τηνικαῦτα παρόντας τῶν Ἰουδαίων ἀφορμῆς λαβομένους τῷ μὴ δυνηθῆναι τοὺς μαθητὰς ἐξελάσαι τὸν δαίμονα, μέτριά τινα βλασφημῆσαι· τί γὰρ ἂν οὐκ εἶπον ἀφορμῆς λαβόμενοι οἵ, καὶ τῶν θαυμάτων τελουμένων, τῆς βλασφημίας οὐκ ἀφιέμενοι; Τοὺς οὖν γογγυσμοὺς καὶ τοὺς ὀνειδισμοὺς τούτων εἰδὼς ὁ Κύριος, πόρρωθεν ἐξελέγχει καὶ καταισχύνει τούτους, οὐ διὰ λόγων μόνων πληκτικωτέρων, ἀλλὰ καὶ δι' ἔργων τε καὶ λόγων φιλανθρωπίας γεμόντων. Προστάττει γὰρ λέγων, φέρετέ μοι αὐτὸν ὧδε, καὶ ἤνεγκαν, καὶ ἰδὸν τὸν Κύριον τὸ δαιμόνιον ἐσπάραξε τὸν ἄνθρωπον, καὶ πεσὼν ἐκυλίετο ἀφρίζων· συνεχωρεῖτο γὰρ φανερὰν ποιῆσαι τὴν ἰδίαν κακίαν.*

πόρων καί τῆς ἐγγύτητος πρός τόν ἐγκέφαλο, ἐπειδή ἐξ αἰτίας τῆς ἄτακτης κινήσεως τῶν ὀργάνων ἡ ἀναπνοή δέν μπορεῖ νά ἐκπνευσθῆ ἀθρόα, ἀλλά καί ἀνακατεύεται μέ τό πλῆθος τοῦ ὑγροῦ, δημιουργεῖται στούς πάσχοντας ἀφρός. Ἔτσι ὁ δαίμων ἐκεῖνος ἄφριζε καί ἔτριζε τά δόντια, πού προσέκρουαν μεταξύ τους φοβερά κι' ἔσφιγγαν μέ μανία. Ἐξηραινόταν δέ ἔπειτα ἀπό τήν σφοδροτέρα ἐπήρεια τοῦ δαιμονίου. Ὅπως οἱ ἀτμοί πού κινοῦνται ἀπό τήν θέρμη τῆς ἡλιακῆς ἀκτῖνος, ἄν αὐτή εἶναι σφοδροτέρα, πάλι ἀφανίζονται ἀπό αὐτήν διασκορπιζόμενοι τελείως, ἔτσι καί ἡ ὑγρότης πού προέρχεται ἀπό τά σπλάγχνα μέ τήν ἐπήρεια τοῦ δαίμονος, ἄν αὐτή εἶναι σφοδροτέρα, σέ λίγο δαπανᾶται καί ἡ ἔμφυτη ὑγρασία τῆς σάρκας κι' ἐκεῖνος ὁ δαιμονισμένος καταξηραίνεται.

Ὁ πατέρας τοῦ δαιμονισμένου προσέθεσε πρός τόν Κύριο, ὅτι εἶπε στούς μαθητάς νά τό ἐκβάλουν καί δέν κατώρθωσαν· ὁ δέ Κύριος, ἀποτεινόμενος ὄχι πρός αὐτόν ἀλλά καί πρός ὅλους, λέγει, «ὦ γενεά ἄπιστη, ἕως πότε θά εἶμαι μέ σᾶς, ἕως πότε θά σᾶς ἀνεχθῶ;». Μοῦ φαίνεται ὅτι οἱ παρόντες τότε Ἰουδαῖοι, λαμβάνοντας ἀφορμή ἀπό τό ὅτι δέν μπόρεσαν νά ἐκβάλουν τόν δαίμονα οἱ μαθηταί, θά ἐβλασφήμησαν κάπως. Τί δέν θά ἔλεγαν, ἀφοῦ εὑρῆκαν ἀφορμή, αὐτοί πού, καί ὅταν ἐτελοῦνταν θαύματα, δέν ἄφηναν τίς βλασφημίες; Γνωρίζοντας λοιπόν ὁ Κύριος τούς γογγυσμούς καί τούς ὀνειδισμούς τούτων, τούς ἐξελέγχει καί τούς καταισχύνει, ὄχι μόνο μέ λόγους ἐπιτιμητικούς, ἀλλά καί μέ πράξεις καί λόγια γεμᾶτα φιλανθρωπία. Πραγματικά προστάσσει, φέρετέ τον ἐδῶ σ' ἐμένα, καί τόν ἔφεραν, καί μόλις τό δαιμόνιο εἶδε τόν Κύριο ἐσπάραξε τόν ἄνθρωπο πού ἔπεσε κι' ἐκυλιόταν ἀφρίζοντας· διότι τοῦ ἐπιτρεπόταν νά καταστήση φανερά τήν κακία του.

6 Ὁ δὲ Κύριος ἐπηρώτα τὸν πατέρα τοῦ παιδός, «πόσος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ». Ταύτην δὲ τὴν ἐρώτησιν ὑπὸ φιλανθρωπίας ποιεῖται ὁ Κύριος, πρὸς πίστιν καὶ τὴν μετὰ πίστεως δέησιν ἐνάγων αὐτόν. Τοσοῦτο γὰρ ἀπεῖχε τοῦ πιστεύειν ὁ ἄνθρωπος οὗτος, ὡς μηδὲ ὑπὲρ τῆς σωτηρίας τοῦ παιδὸς ἱκετεύειν· διὸ οὐδὲ τοὺς μαθητὰς ἱκέτευσεν ὅλως· «Εἶπον», γάρ φησίν, «αὐτοῖς ἵνα αὐτὸ ἐκβάλλωσιν»· οὐ προσέπεσεν, οὐχ ἱκέτευσεν, , οὐκ ἐδεήθη· ἀλλ' οὐδὲ τοῦ Κυρίου φαίνεταί πω δεηθείς. Διὰ τοῦτο ἀφεὶς ὁ Κύριος ἐλεεινῶς πρὸ τῶν ὀφθαλμῶν τούτου τὸν παῖδα κείμενον, αὐτὸς ἐκείνῳ προσδιαλέγεται, τὸν χρόνον τοῦ πάθους ἐρωτῶν καὶ πρὸς τὴν αἴτησιν αὐτὸν ἐκκαλούμενος· ὁ δὲ ἀποκρίνεται, παιδιόθεν αὐτῷ συμβῆναι καὶ πολλάκις καὶ εἰς πῦρ ἐμβαλεῖν καὶ εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν, καὶ ἐπάγει· «ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς».

7 Ὁρᾶτε τὴν ἀπιστίαν τοῦ ἀνδρὸς ὅση; Ὁ γὰρ λέγων «εἰ δύνασαι», πάντως ἔδειξε μὴ πιστεύων αὐτὸν δύνασθαι. Ὁ δὲ Κύριος εἶπε τό, «εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι»· τοῦτο δέ φησιν οὐχ ὡς ἀγνοῶν ἐκείνου τὴν ἀπιστίαν, ἀλλὰ κατὰ μικρὸν ἔτι προβιβάζων αὐτὸν εἰς πίστιν καὶ ἅμα δεικνύς, ὅτι καὶ τὸ μὴ τοὺς μαθητὰς ἐκβαλεῖν τὸν δαίμονα ἡ τούτου ἀπιστία γέγονεν αἰτία. Σκόπει δὲ τὸν εὐαγγελιστήν· οὐ γὰρ εἶπε τὸν Κύριον πρὸς τὸν πατέρα τοῦ παιδὸς εἰπεῖν, εἰ δύνασαι πιστεῦσαι, ὡς ἀεὶ σχεδὸν τὴν πίστιν ἀπαιτοῦντος τοῦ Κυρίου παρὰ τῶν τὰς ἰάσεις ἐπιζητούντων· καὶ τῶν ψυχῶν γὰρ ὑπάρχων δεσπότης καὶ κηδεμὼν ἐσπούδαζε καὶ ταύτας ἰᾶσθαι διὰ τῆς πίστεως· ἀλλ' ὁ τοῦ παιδὸς πατὴρ ἐκεῖνος, ὡς ἤκουσε τῇ αὐτοῦ πίστει τὴν ἴασιν ἀκολουθεῖν, μετὰ δακρύων ἔλεγε· «πιστεύω, Κύριε, βοήθει μου τῇ ἀπιστίᾳ». Βλέπετε προκοπὴν ἠθῶν

6 Ὁ δέ Κύριος ἐρώτησε τόν πατέρα τοῦ παιδιοῦ, «ἀπό πόσον χρόνο τοῦ συνέβηκε τοῦτο;». Αὐτήν τήν ἐρώτησι τήν κάμει ὁ Κύριος, γιά νά τόν ὁδηγήση πρός τήν πίστι καί τήν μέ πίστι παράκλησι. Τόσο ἀπεῖχε ἀπό τήν πίστι ὁ ἄνθρωπος αὐτός, ὥστε νά μή παρακαλῆ οὔτε ὑπέρ τῆς σωτηρίας τοῦ παιδιοῦ. Γι' αὐτό δέν παρακάλεσε καθόλου οὔτε τούς μαθητάς· «τούς εἶπα», λέγει, «νά τόν ἐκβάλουν»· δέν ἐγονάτισε, δέν ἱκέτευσε, δέν παρακάλεσε. Ἀλλά δέν φαίνεται οὔτε τόν Κύριο νά παρακάλεσε ἀκόμη. Γι' αὐτό ὁ Κύριος, ἀφήνοντας τό παιδί πού ἦταν ἐλεεινῶς ξαπλωμένο ἐμπρός στά μάτια του, συζητεῖ μ' ἐκεῖνον, ἐρωτώντας τόν χρόνο τοῦ πάθους καί προκαλώντας τον πρός τήν παράκλησι. Αὐτός δέ ἀποκρίνεται ὅτι τοῦ συμβαίνει ἀπό τήν παιδική ἡλικία καί ὅτι πολλές φορές τόν ἔβαλε στή φωτιά καί στά ὕδατα, γιά νά τόν ἀφανίση, καί προσθέτει· «ἀλλ' ἄν μπορῆς, λυπήσου μας καί βοήθησέ μας».

7 Βλέπετε, πόση εἶναι ἡ ἀπιστία τοῦ ἀνθρώπου; Διότι αὐτός πού λέγει, 'ἄν μπορῆς', φυσικά φανερώνει ὅτι δέν πιστεύει ὅτι μπορεῖ ὁ ἄλλος. Ὁ δέ Κύριος εἶπε, «ἄν μπορῆς νά πιστεύσης, ὅλα εἶναι δυνατά στόν πιστεύοντα»· τό λέγει δέ τοῦτο ὄχι ἀγνοώντας τήν ἀπιστία ἐκείνου, ἀλλά προβιβάζοντάς τον βαθμιαίως στήν πίστι καί συγχρόνως δεικνύοντας ὅτι αἰτία πού δέν ἔβγαλαν οἱ μαθηταί τόν δαίμονα εἶναι ἡ ἀπιστία του. Πρόσεξε δέ τόν εὐαγγελιστή· δέν λέγει ὅτι ὁ Κύριος εἶπε πρός τόν πατέρα τοῦ παιδιοῦ «ἄν μπορῆς νά πιστεύσης», διότι πάντοτε ὁ Κύριος ἀπαιτεῖ τήν πίστι ἀπό τούς ζητοῦντας τίς θεραπεῖες· ἀφοῦ ἦταν δεσπότης καί κηδεμών καί τῶν ψυχῶν, ἐφρόντιζε νά θεραπευθοῦν κι' αὐτές διά τῆς πίστεως· ἀλλ' ἐκεῖνος ὁ πατέρας τοῦ παιδιοῦ, μόλις ἄκουσε ὅτι στήν πίστι του ἀκολουθεῖ ἡ ἴασις, ἔλεγε μέ δάκρυα· «πιστεύω, Κύριε, βοήθησε τήν ἀπιστία μου». Βλέπετε ἀρίστη προκοπή ἠθῶν; Διότι ὄχι μόνο ἐπίστευσε περί τῆς

ἀρίστην· οὐ μόνον γὰρ ἐπίστευσε περὶ τῆς τοῦ παιδὸς ἰάσεως, ἀλλ' ὅτι δύναται ὁ Κύριος ἐκνικῆσαι καὶ τὴν αὐτοῦ ἀπιστίαν, εἴπερ ἐθελήσει. Τοῦ δὲ ὄχλου ἐπὶ τοῖς λόγοις τούτοις συντρέχοντος, ἐπετίμησε, φησίν, ὁ Κύριος τῷ πνεύματι τῷ ἀκαθάρτῳ, λέγων αὐτῷ· «τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφόν, ἐγώ σοι ἐπιτάσσω, ἔξελθε ἐξ αὐτοῦ, καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν».

8 Παγχάλεπον τὸ δαιμόνιον τοῦτο δοκεῖ καὶ ἰταμώτατον εἶναι· τό τε γὰρ σφοδρὸν τῆς ἐπιτιμήσεως καὶ ἡ παραγγελία τοῦ μηκέτι εἰσελθεῖν τὴν ἰταμότητα τοῦ δαιμονίου παρίστησι· χωρὶς γὰρ ταύτης ὡς ἔοικε, καὶ ἐκβληθὲν ἐπανέστρεψεν ἄν. Πολλὴν δὲ καὶ χώραν ἔσχεν ἐν τῷ ἀνθρώπῳ καὶ δυσαποσπάστως εἶχε καὶ κωφὸν καὶ ἄλαλον ἦν, ὡς μὴ ἀρκούσης τῆς φύσεως ὑπηρετεῖσθαι τῇ ὑπερβολῇ τῆς ἐκείνου μανίας, διὸ καὶ πασχούσης ἀναισθησίαν σχεδὸν τελείαν, ἐπεὶ «καὶ κράξαν», φησί, «καὶ πολλὰ σπαράξαν αὐτόν, ἐξῆλθε· ὁ δὲ ἄνθρωπος ἐγένετο ὡσεὶ νεκρός, ὥστε πολλοὺς λέγειν ὅτι ἀπέθανεν». Ἡ κραυγὴ δὲ οὐκ ἀντίκειται πρὸς τὸ ἄλαλον εἶναι τὸ δαιμόνιον· ἡ μὲν γὰρ λαλιὰ φωνή ἐστι σημαντικὴ νοήματός τινος, ἡ δὲ κραυγὴ ἄσημός ἐστι φωνή. Ἀφίεται δὲ τὸ δαιμόνιον καὶ σπαράξαι ἐπὶ τοσοῦτον τὸν ἄνθρωπον καὶ ὡσεὶ νεκρὸν διαθεῖναι, ἵνα φανερὰ γένηται πᾶσα ἡ κακία αὐτοῦ. Ὁ μέντοι Κύριος τῆς χειρὸς τοῦ ἀνθρώπου λαβόμενος ἤγειρεν αὐτὸν καὶ ἀνέστη, δεικνὺς ἐντεῦθεν ὅτι πολλὴν ἔχει τὴν ἐνέργειαν· τὸ μὲν γὰρ τῇ χειρὶ λαβέσθαι κτιστῆς ἦν ἐνεργείας τῆς καθ' ἡμᾶς, τὸ δὲ ἀναστῆναι τοῦτον ἀπαθῆ κακῶν τῆς ἀκτίστου καὶ θείας καὶ ζωαρχικῆς ἐνεργείας.

9 Τῶν δὲ μαθητῶν ἐρωτησάντων ἔπειτα κατ' ἰδίαν, «διατί οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;», πρὸς αὐτοὺς εἶπεν, ὅτι τοῦτο τὸ δαιμό-

θεραπείας τοῦ παιδιοῦ, ἀλλ' ὅτι ὁ Κύριος μπορεῖ νά κατανικήση καί τήν ἀπιστία του, ἄν θελήση. Ἐνῶ δέ ὁ ὄχλος ἐπάνω σ' αὐτά τά λόγια συνέρρεε, ἐπετίμησε, λέγει, ὁ Κύριος τό ἀκάθαρτο πνεῦμα, λέγοντάς του· «τό ἄλαλο καί κωφό πνεῦμα, ἐγώ σέ διατάσσω, ἔξελθε ἀπό αὐτόν καί νά μή εἰσέλθης ποτέ πάλι σ' αὐτόν».

8 Τό δαιμόνιο τοῦτο φαίνεται ὅτι εἶναι φοβερώτατο καί θρασύτατο· τήν δέ θρασύτητά του ἀποδεικνύει ἡ σφοδρότης τῆς ἐπιτιμήσεως καί ἡ παραγγελία νά μή εἰσέλθη ἄλλη φορά πλέον· διότι, ὅπως φαίνεται, χωρίς τήν παραγγελία αὐτή μποροῦσε νά ἐπιστρέψη πάλι μετά τήν ἐκβολή. Ἐξ ἄλλου εἶχε κατεξουσιάσει σέ μεγάλη ἔκτασι τόν ἄνθρωπο, ἦταν δυσκολοαπόσπαστο, ἔμενε κωφό καί ἄλαλο, ὥστε νά μή ἐπαρκῆ ἡ φύσις νά ἐξυπηρετῆ τήν ὑπερβολική του μανία, γι' αὐτό καί εἶχε καταντήσει τελείως ἀναίσθητη, διότι λέγει, «ἀφοῦ ἔκραξε καί τόν ἐσπάραξε δυνατά, ἐξῆλθε· ὁ δέ ἄνθρωπος ἔγινε σάν νεκρός, ὥστε πολλοί νά λέγουν ὅτι ἀπέθανε». Ἡ δέ κραυγή δέν ἀντίκειται πρός τό γεγονός ὅτι τό δαιμόνιο ἦταν ἄλαλο· διότι ἡ μέν λαλιά εἶναι φωνή σημαντική κάποιας ἐννοίας, ἡ δέ κραυγή εἶναι ἄσημη φωνή. Ἀφήνεται δέ τό δαιμόνιο νά σπαράξη τόν ἄνθρωπο τόσο πολύ καί νά τόν καταστήση σάν νεκρό, γιά νά φανερωθῆ ὅλη ἡ κακία του. Ὁ Κύριος λοιπόν, πιάνοντας τό χέρι τοῦ ἀνθρώπου, τόν ἀνήγειρε, ὥστε ἐσηκώθηκε, δεικνύοντας ἔτσι ὅτι ἔχει πολλή ἐνέργεια· τό ὅτι τόν ἔπιασε ἀπό τό χέρι ἦταν ἐκδήλωσις τῆς κτιστῆς ἰδικῆς μας ἐνεργείας, τό δέ ὅτι τόν ἀνέστησε ἀπηλλαγμένο ἀπό πάθη ἦταν ἐκδήλωσις τῆς ἄκτιστης καί θείας καί ζωαρχικῆς ἐνεργείας.

9 Ὅταν δέ ἔπειτα οἱ μαθηταί ἐρώτησαν ἰδιαιτέρως, «γιατί ἐμεῖς δέν μπορέσαμε νά τό βγάλωμε;», εἶπε πρός αὐτούς ὅτι

νιον «ἐν οὐδενὶ δύναται ἐξελθεῖν, εἰμὴ ἐν προσευχῇ καὶ νηστείᾳ». Φασὶ μὲν οὖν τινες τὴν προσευχὴν ταύτην καὶ τὴν νηστείαν παρὰ τοῦ πάσχοντος γίνεσθαι δεῖν· οὐκ ἔχει δὲ οὕτως· ὁ γὰρ ἐνεργούμενος ὑπὸ πονηροῦ πνεύματος, καὶ ταῦτα τοιούτου, ὄργανον ὢν ἐκείνου καὶ καταδυναστευόμενος ὑπ' ἐκείνου, πῶς ἂν ἢ προσεύξαιτο ἢ νηστεύσειεν ἑαυτῷ λυσιτελῶς;

10 Δοκεῖ δὲ τῆς ἀκολασίας εἶναι τὸ πάνδεινον δαιμόνιον τοῦτο, ὃ ποτὲ μὲν εἰς πῦρ ρίπτει τὸν ἁλόντα (τοιοῦτοι γάρ εἰσιν οἱ ἁλόκοτοι καὶ δυσέρωτες ἔρωτες), ποτὲ δὲ εἰς ὕδατα καταβαπτίζων αὐτὸν διὰ τῆς ἀδηφαγίας καὶ τῶν ἀμέτρων καὶ πολλῶν πότων καὶ συμποσίων. Ἔστι δὲ καὶ ἐν τοῖς τοιούτοις κωφὸν καὶ ἄλαλον τὸ δαιμόνιον τοῦτο· οὔτε γὰρ ἀκούειν οὔτε λαλεῖν εὐχερῶς ὑπομένει τὰ θεῖα ὁ ταῖς ὑποβολαῖς τοῦ τοιούτου δαιμονίου πειθόμενος. Ἀλλ' ὅμως μὴ τὸ πονηρὸν αὐτὸ πνεῦμα ἐνῳκισμένον τις ἔχων, ἀλλὰ ταῖς ὑποβολαῖς ἐκείνου φερόμενος, ὅταν ἀνακύψῃ πρὸς ἐπιστροφὴν (ἔχει γὰρ ἔτι τὸ αὐτεξούσιον), προσευχῆς δεῖται καὶ νηστείας, ἵνα διὰ μὲν τῆς νηστείας χαλινώσῃ τὸ σῶμα καὶ καταστείλῃ τὰς ἐπαναστάσεις αὐτοῦ, διὰ δὲ τῆς προσευχῆς τὰς ἐν τῇ ψυχῇ προλήψεις καὶ τοὺς ἐρεθίζοντας πρὸς τὸ πάθος ἀργήσῃ καὶ κατευνάσῃ λογισμούς, καὶ οὕτω τοῦ πάθους περιγένηται, τὴν σατανικὴν ἐν προσευχῇ καὶ νηστείᾳ προσβολὴν καὶ ἐπήρειαν ἀπελάσας. Ὅταν δὲ οὐχ ὑπὸ τῆς τοῦ δαίμονος ὑποβολῆς ἐνεργῆται, ἀλλ' αὐτὸν ἐκεῖνον ἔνοικον ἔχῃ, οὔτε κατ' ἀνθρώπους ἔτι πάσχει, οὔτε αὐτός τι δύναται παρ' ἑαυτοῦ πρὸς ἴασιν πράττειν, ἀλλ' ὅπερ ἂν ἐκεῖνος ἔπραξεν, εἴπερ νοῦν ἐλεύθερον εἶχε, τοῦτο παρὰ τῶν ἐλευθέρων, μᾶλλον δὲ καὶ πνεύματι θείῳ κατόχων, πραττόμενον ὑπὲρ αὐτοῦ τὰ μέγιστα συντελέσει πρὸς τὴν τοῦ δαίμονος ἐκβολήν.

τοῦτο τό δαιμόνιο «δέν μπορεῖ νά ἐξέλθη μέ τίποτε ἄλλο, πλήν τῆς προσευχῆς καί τῆς νηστείας». Λέγουν λοιπόν μερικοί ὅτι αὐτή ἡ προσευχή καί ἡ νηστεία πρέπει νά γίνωνται ἀπό τόν πάσχοντα· δέν εἶναι ὅμως σωστό αὐτό, διότι ὁ ἐνεργούμενος ἀπό πονηρό πνεῦμα, καί μάλιστα τόσο φοβερό, ἀφοῦ εἶναι ὄργανο ἐκείνου καί καταδυναστεύεται ἀπό ἐκεῖνο, πῶς θά μποροῦσε νά προσευχηθῆ ἤ νηστεύση ἐπωφελῶς γιά τόν ἑαυτό του;

10 Φαίνεται ὅτι τό δεινότατο τοῦτο δαιμόνιο εἶναι τῆς ἀκολασίας, ἀφοῦ ἄλλοτε μέν ρίπτει τόν κατειλημμένο στή φωτιά (διότι τέτοιοι εἶναι οἱ ἀλλόκοτοι καί ἀναίσθητοι ἔρωτες), ἄλλοτε δέ τόν βυθίζει στά ὕδατα διά τῆς ἀδηφαγίας καί τῶν ἀμέτρων καί ἀφθόνων πότων καί συμποσίων. Εἶναι δέ καί σ' αὐτούς κωφό καί ἄλαλο τό δαιμόνιο τοῦτο, διότι αὐτός πού πείθεται στίς ὑποβολές τοιούτου δαιμονίου δέν ὑποφέρει εὔκολα ν' ἀκούη καί νά λαλῆ τά θεῖα. Ἀλλ' ὅμως ὅταν κανείς δέν ἔχη ἐνοικισμένο τό πονηρό αὐτό πνεῦμα, ἀλλά φέρεται ἀπό τίς ὑποβολές ἐκείνου, ὅταν ἀνασηκωθῆ πρός ἐπιστροφή (διότι ἔχει τό αὐτεξούσιο), χρειάζεται προσευχή καί νηστεία, ὥστε μέ τήν νηστεία μέν νά χαλινώση τό σῶμα καί καταστείλη τίς ἐπαναστάσεις του, διά τῆς προσευχῆς δέ νά ἀδρανοποιήση καί κατευνάση τίς προλήψεις τῆς ψυχῆς καί τούς λογισμούς πού ἐρεθίζουν πρός τό πάθος· κι' ἔτσι, ἀπελαύνοντας μέ προσευχή καί νηστεία τήν σατανική προσβολή καί ἐπήρεια, νά κυριαρχήση τό πάθος. Ὅταν ὅμως δέν ἐνεργῆται ἁπλῶς ἀπό τήν ὑποβολή τοῦ δαίμονος, ἀλλ' ἔχει ἔνοικο τόν ἴδιον τόν δαίμονα, οὔτε κατά τά ἀνθρώπινα πλέον πάσχει οὔτε ὁ ἴδιος μπορεῖ νά πράξη κάτι πρός θεραπεία του, ἀλλ' ὅ,τι θά ἔπραττε ἐκεῖνος, ἄν εἶχε ἐλεύθερο νοῦ, τοῦτο, πραττόμενο ὑπέρ αὐτοῦ ἀπό τούς ἐλευθέρους, καί μάλιστα κατόχους θείου Πνεύματος, θά συντελέση μεγάλως πρός τήν ἐκβολή τοῦ δαίμονος.

11 Ἀλλὰ τὸ μὲν δαίμονας ἀπελαύνειν οὔτε ἀπαιτούμεθα, κἂν ἀπελάσαι δυνηθῶμεν, οὐδὲν ἡμῖν ὄφελος ἀτημέλητον βίον ἔχουσι. «Πολλοί», γάρ, φησίν, «ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; Καὶ ἐρῶ πρὸς αὐτοὺς οὐκ οἶδα ὑμᾶς, ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν». Οὐκοῦν πολλῷ κερδαλεώτερον τὸ τῆς πορνείας πάθος καὶ τῆς ὀργῆς καὶ τοῦ μίσους καὶ τῆς ὑπερηφανείας ἀπελάσαι σπεῦσαι τῆς ψυχῆς τοῦ δαιμόνια ἐκβάλλειν. Οὐκ ἀρκεῖ γὰρ τῆς σωματικῆς ἁμαρτίας ἀπηλλάχθαι μόνης, ἀλλὰ δεῖ καὶ τὴν ἔνδον οἰκουροῦσαν τῆς ψυχῆς καθαίρειν ἐνέργειαν· ἐκ γὰρ τῆς καρδίας ἡμῶν οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι, κλοπαί, πλεονεξίαι καὶ τὰ ἑξῆς (ταῦτα δέ ἐστι τὰ κινοῦντα τὸν ἄνθρωπον), καὶ «ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Τοῦ γὰρ σώματος ἀπρακτοῦντος ἔνι λογιστικῶς τὴν ἁμαρτίαν ἐνεργεῖσθαι· τῆς δὲ ψυχῆς ἔνδον διὰ προσευχῆς καὶ προσοχῆς καὶ μνήμης θανάτου καὶ τῆς κατὰ Θεὸν λύπης καὶ τοῦ πένθους ἀναιρούσης τὴν προσβολὴν τοῦ πονηροῦ, συμμεταλαμβάνει καὶ τὸ σῶμα τῆς ἁγιωσύνης, τὴν ἀπραξίαν τῶν κακῶν κτησάμενον. Καὶ τοῦτό ἐστιν ὅ φησιν ὁ Κύριος, ὅτι οὐχ ὁ τὸ ἔξωθεν τοῦ ποτηρίου καθάρας, οὗτος καὶ τὸ ἔσωθεν ἐκάθηρεν, ἀλλὰ ποιήσατε τὸ ἐντὸς τοῦ ποτηρίου καθαρόν, καὶ οὕτως ἔσται καθαρὸν ὅλον. Πᾶσαν γὰρ σπουδὴν ποιήσας, ἵνα ἡ ἔνδον σου ἐργασία

5. Ματθ. 7,22.
6. Μάρκ. 7,21.

11 Ἀλλά βέβαια δέν μᾶς ζητεῖται ν' ἀπελαύνωμε δαίμονας, καί ἄν μπορέσωμε ν' ἀπελάσωμε, κανένα ὄφελος δέν θά προέλθη γιά μᾶς, ἄν ἔχωμε ἀκατάστατο βίο. Διότι, λέγει, «πολλοί θά μοῦ εἰποῦν ἐκείνη τήν ἡμέρα· Κύριε, δέν ἐπροφητεύσαμε στό ὄνομά σου καί δέν ἐκβάλαμε δαιμόνια στ' ὄνομά σου; Καί θά τούς ἀπαντήσω· δέν σᾶς γνωρίζω, ἀπομακρυνθῆτε ἀπό κοντά μου ὅσοι ἐργάζεσθε τήν ἀνομία»[5]. Ἐπομένως πολύ ἐπωφελέστερο εἶναι νά σπεύσωμε ν' ἀπελάσωμε τό πάθος τῆς πορνείας καί τῆς ὀργῆς, τοῦ μίσους καί τῆς ὑπερηφανείας, ἀπό τό νά ἐκβάλλωμε δαιμόνια. Πραγματικά, δέν ἀρκεῖ μόνο ν' ἀπαλλαγοῦμε ἀπό τή σωματική ἁμαρτία, ἀλλά πρέπει νά καθάρωμε καί τήν ἐνέργεια πού οἰκουρεῖ μέσα στήν ψυχή. Διότι οἱ κακοί διαλογισμοί ἐκπορεύονται ἀπό τήν καρδιά μας, μοιχεῖες, πορνεῖες, φόνοι, κλοπές, πλεονεξίες καί τά παρόμοια (αὐτά δέ εἶναι πού κινοῦν τόν ἄνθρωπο)[6], καί «αὐτός πού κυττάζει γυναῖκα μέ πόθο, ἤδη τήν ἐμοίχευσε στήν καρδιά του»[7]. Ὅταν ἀπρακτῆ τό σῶμα εἶναι δυνατό νά ἐνεργῆται ἡ ἁμαρτία νοερῶς· ὅταν δέ ἡ ψυχή ἀποκρούη ἐσωτερικῶς τήν προσβολή τοῦ πονηροῦ διά προσευχῆς καί προσοχῆς καί μνήμης θανάτου, διά τῆς κατά τόν Θεό λύπης καί τοῦ πένθους, τότε τῆς ἁγιωσύνης συμμετέχει καί τό σῶμα, ἀποκτώντας τήν ἀπραξία στά κακά. Κι' αὐτό εἶναι ἐκεῖνο πού λέγει ὁ Κύριος ὅτι αὐτός πού ἐκαθάρισε τό ἀπ' ἔξω τοῦ ποτηριοῦ, δέν ἐκαθάρισε καί τό ἐσωτερικό, ἀλλά καθαρίσατε τό ἐσωτερικό τοῦ ποτηριοῦ, κι' ἔτσι θά εἶναι καθαρό ὁλόκληρο[8]. Πραγματικά καταβάλλοντας κάθε φροντίδα ὥστε νά εἶναι κατά τό θέλημα τοῦ Θεοῦ ἡ ἐσωτερική σου ἐργασία, θά νικήσης τά ἐξωτερικά πάθη· διότι ἐάν ἡ ρίζα εἶναι ἁγία, καί οἱ κλάδοι θά

7. Ματθ. 5,28.
8. Ματθ. 23,25.

κατὰ Θεὸν ᾖ, νικήσεις τὰ ἔξω πάθη· ἐὰν γὰρ ἡ ρίζα ἁγία, καὶ οἱ κλάδοι, καὶ ἐὰν ἡ ζύμη, καὶ τὸ φύραμα· «πνεύματι», γάρ, φησὶν ὁ Παῦλος, «περιπατεῖτε καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε».

12 *Διὸ καὶ τὴν ἰουδαϊκὴν περιτομὴν οὐκ ἀνεῖλεν ὁ Χριστός, ἀλλ' ἐτελείωσεν· αὐτὸς γάρ ἐστιν ὁ λέγων «οὐκ ἦλθον καταλύσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι». Πῶς οὖν ἐπλήρωσεν αὐτόν; Σφραγὶς ἦν ἐκεῖνος καὶ δεῖγμα καὶ συμβολικὴ διδασκαλία τῆς ἐν τῇ καρδίᾳ τῶν πονηρῶν λογισμῶν περιτομῆς, πρὸς ἣν Ἰουδαῖοι μὴ σπουδάζοντες καὶ παρὰ τῶν προφητῶν ὡς ἀπερίτμητοι τὴν καρδίαν ὠνειδίζοντο καὶ παρὰ τοῦ βλέποντος εἰς τὴν καρδίαν ἐμισοῦντο καὶ εἰς τέλος ἀπόβλητοι γεγόνασιν· ἄνθρωπος γὰρ εἰς πρόσωπον, Θεὸς δὲ εἰς καρδίαν ὁρᾷ, καὶ ἐὰν ρυπαρῶν ᾖ πονηρῶν αὕτη λογισμῶν γέμῃ, τῆς θείας ἀποστροφῆς ἄξιος ὁ ἄνθρωπος γίνεται ἐκεῖνος. Διὸ καὶ πάλιν ὁ ἀπόστολος παραινεῖ χωρὶς ὀργῆς καὶ διαλογισμῶν ἡμᾶς ποιεῖσθαι τὰς εὐχάς.*

13 *Σπουδάζειν δὲ ἡμᾶς ὁ Κύριος διδάσκων εἰς τὴν ἐν πνεύματι τῆς καρδίας περιτομήν, μακαρίζει μὲν τοὺς καθαροὺς τῇ καρδίᾳ καὶ τοὺς πτωχοὺς τῷ πνεύματι, καὶ τῆς μὲν καθαρότητος ταύτης τὴν θεοπτίαν ἔπαθλον εἶναι διατείνεται, τοῖς δὲ πτωχοῖς τὴν τῶν οὐρανῶν βασιλείαν ἐπαγγέλλεται· πτωχοὺς δέ φησι τοὺς ἐν ἐνδείᾳ καὶ εὐτελείᾳ ζῶντας. Οὐχ ἁπλῶς δὲ τοὺς τοιούτους μακαρίζει, ἀλλὰ τοὺς ἐν πνεύματι τοιούτους, τουτέστι τοὺς διὰ τὴν ἔνδον αὐτῶν καὶ ἐν καρ-*

9. Γαλ. 5,16. 10. Ματθ. 5,17.
11. Α΄ Τιμ. 2,8.

εἶναι ἅγιοι, ἐάν εἶναι ἡ ζύμη, θά εἶναι καί τό φύραμα. «Νά περιπατῆτε κατά τό πνεῦμα», λέγει ὁ Παῦλος, «καί νά μή ἐκτελῆτε ἐπιθυμία σαρκός»[9].

12 Γι' αὐτό καί ὁ Χριστός δέν κατήργησε τήν ἰουδαϊκή περιτομή, ἀλλά τήν ἐτελείωσε· διότι αὐτός εἶναι πού λέγει, «δέν ἦλθα νά καταλύσω τόν νόμο, ἀλλά νά τόν συμπληρώσω»[10]. Πῶς λοιπόν τόν συμπλήρωσε; Ὁ νόμος ἐκεῖνος ἦταν σφραγίς καί ὑπόδειγμα καί συμβολική διδαχή περί τῆς περιτομῆς τῶν πονηρῶν λογισμῶν στήν καρδιά. Οἱ Ἰουδαῖοι πού δέν ἐφρόντιζαν γι' αὐτήν ὠνειδίζονταν ἀπό τούς προφῆτες ὡς ἀπερίτμητοι στήν καρδιά, ἐμισοῦνταν ἀπό τόν βλέποντα στήν καρδιά καί στό τέλος ἔγιναν ἀπόβλητοι· διότι ὁ ἄνθρωπος βλέπει στό πρόσωπο, ὁ Θεός στήν καρδιά, κι' ἐάν αὐτή εἶναι γεμάτη ρυπαρούς ἤ πονηρούς λογισμούς, ὁ ἄνθρωπος ἐκεῖνος γίνεται ἄξιος θείας ἀποστροφῆς. Γι' αὐτό πάλι ὁ ἀπόστολος παραινεῖ νά κάμωμε τίς εὐχές χωρίς ὀργή καί διαλογισμούς[11].

13 Ὅταν δέ ὁ Κύριος μᾶς διδάσκη νά φροντίσωμε γιά τήν πνευματική περιτομή τῆς καρδιᾶς, μακαρίζει τούς καθαρούς στήν καρδιά καί τούς πτωχούς στό πνεῦμα καί τῆς μέν καθαρότητος αὐτῆς τονίζει ὅτι ἔπαθλο εἶναι ἡ θεοπτία, στούς πτωχούς δέ ὑπόσχεται τή βασιλεία τῶν οὐρανῶν[12]· πτωχούς δέ λέγει αὐτούς πού ζοῦν σέ ἔνδεια καί εὐτέλεια. Δέν μακαρίζει δέ ἁπλῶς τούς τοιούτους ἀνθρώπους, ἀλλά τούς κατά τό φρόνημα τοιούτους, δηλαδή αὐτούς πού, ἐξ αἰτίας τῆς ἐσωτερικῆς στήν καρδιά ταπεινώσεως καί ἀγαθῆς προαιρέσεως, διαθέτουν ἀναλόγως καί τά ἐξωτερικά. Ἀπαγορεύει δέ ὄχι μόνο τόν φόνο, ἀλλά

12. Ματθ. 5,3·8.

δίᾳ ταπείνωσιν καὶ ἀγαθὴν προαίρεσιν, οὕτω καὶ τὰ ἔξω διαθέντας. Ἀπαγορεύει δὲ οὐ τὸν φόνον μόνον, ἀλλὰ καὶ τὴν ὀργήν, καὶ ἀφιέναι τοῖς εἰς ἡμᾶς πταίουσιν ἀπὸ τῶν καρδιῶν προστάττει καὶ οὐ τὸ παρ' ἡμῶν προσφερόμενον δέχεται δῶρον, ἐὰν μὴ προδιαλλαγῶμεν καὶ τὴν ὀργὴν ἀφῶμεν.

14 *Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν πορνικῶν παθῶν· καὶ αὐτὴν γὰρ τὴν ἐκ περιέργου θέαν καὶ τὴν ἐξ αὐτῆς ἐπιθυμίαν ἐν καρδίᾳ μοιχείαν οὖσαν ἀπεφήνατο· καὶ καθολικώτερον ἔτι περὶ τούτων διαλαμβάνων φησίν, εἰ τὸ φῶς τὸ ἐν σοί, τουτέστιν ὁ νοῦς καὶ ἡ διάνοια, σκότος ἐστί, τῶν ἀλαμπῶν προσβολῶν τῶν ἀρχόντων τοῦ σκότους γέμοντα, πόσῳ μᾶλλον τὸ σκότος, δηλαδὴ τὸ σῶμα καὶ ἡ αἴσθησις, ἅτινα παρ' ἑαυτῶν οὐκ ἔχει φέγγος νοερόν, γεννητικὸν ἀληθείας τε καὶ ἀπαθείας; Ἐὰν δὲ τὸ ἐν σοὶ φῶς καθαρὸν ᾖ, τῶν σαρκικῶν φρονημάτων οὐκ ἐπισκοτούντων, ἔσῃ φωτεινὸς κατὰ ψυχὴν ὅλως, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε. Τοιαύτη ἡ τῆς καρδίας ἐν πνεύματι περιτομή, δι' ἧς ἐπλήρωσεν ὁ Κύριος τὴν κατὰ νόμον ἐν σαρκὶ περιτομήν, ἥτις ἐδόθη τοῖς Ἰουδαίοις ὡς ἐκείνην σημαίνουσα καὶ πρὸς ἐκείνην ἐνάγουσα. Μὴ κτήσασθαι δὲ ταύτην σπουδασάντων, ἡ περιτομή, καθά φησι Παῦλος, αὐτῶν ἀκροβυστία γέγονε καὶ ἀπηλλοτριώθησαν τοῦ μὴ βλέποντος εἰς πρόσωπον Θεοῦ, τουτέστιν εἰς τὰ φανερὰ τῆς σαρκὸς δικαιώματα, ἀλλὰ εἰς τὴν καρδίαν ὁρῶντος, εἰς τὰ ἀφανῆ δηλαδὴ καὶ ἐν ἡμῖν τῶν λογισμῶν κινήματα.*

15 *Προσέχωμεν οὖν καὶ ἡμεῖς, ἀδελφοί, παρακαλῶ, καὶ καθάρωμεν ἀπὸ παντὸς μολυσμοῦ τὰς ἑαυτῶν καρδίας, ἵνα μὴ τοῖς κατα-*

13. Ματθ. 6,23.

καί τήν ὀργή, καί προτάσσει νά συγχωροῦμε ἀπό καρδιά αὐτούς πού μᾶς πταίουν καί δέν δέχεται τό προσφερόμενο ἀπό μᾶς δῶρο, ἄν δέν συνδιαλλαγοῦμε προηγουμένως κι' ἀφήσωμε τήν ὀργή.

14 Τό ἴδιο διδάσκει καί γιά τά πορνικά πάθη· διότι καί αὐτήν τήν ἀπό περιέργεια θέα καί τήν ἀπό αὐτήν ἐπιθυμία ἐδίδαξε ὅτι εἶναι μοιχεία στήν καρδιά· καί ἐξετάζοντας αὐτά τά θέματα γενικώτερα λέγει, ἐάν τό φῶς πού ἔχης μέσα σου, δηλαδή ὁ νοῦς καί ἡ διάνοια, εἶναι σκότος, γεμᾶτα ἀπό τίς ἀφώτιστες προσβολές τῶν ἀρχόντων τοῦ σκότους, πόσο μᾶλλον τό σκότος[13], δηλαδή τό σῶμα καί ἡ αἴσθησις, τά ὁποῖα δέν ἔχουν δικό τους νοερό φέγγος, γεννητικό ἀληθείας καί ἀπαθείας; Ἐάν δέ τό μέσα σου φῶς εἶναι καθαρό, σέ περίπτωσι πού δέν σκοτίζουν τά σαρκικά φρονήματα, θά εἶσαι τελείως φωτεινός κατά τήν ψυχή, ὅπως ὅταν σέ φωτίζη τό λυχνάρι μέ τήν λάμψι του. Τέτοια εἶναι ἡ περιτομή τῆς καρδίας κατά τό πνεῦμα, διά τῆς ὁποίας ὁ Κύριος συμπλήρωσε τήν κατά τόν νόμο περιτομή στήν σάρκα, πού ἐδόθηκε στούς Ἰουδαίους, γιά νά ὑποσημαίνη ἐκείνην καί νά ὁδηγῆ πρός ἐκείνην. Ἐπειδή δέ αὐτοί δέν ἐφρόντισαν νά τήν ἀποκτήσουν, ἡ περιτομή τους, ὅπως λέγει ὁ Παῦλος[14], ἔγινε ἀκροβυστία καί ἀποξενώθηκαν ἀπό τόν Θεό πού δέν βλέπει στό πρόσωπο, δηλαδή στά φανερά δικαιώματα τῆς σαρκός, ἀλλά στήν καρδιά, δηλαδή στά ἀφανῆ καί μέσα μας κινήματα τῶν λογισμῶν.

15 Ἄς προσέχωμε λοιπόν κι' ἐμεῖς, ἀδελφοί, παρακαλῶ, κι' ἄς καθαρίσωμε τίς καρδιές μας ἀπό κάθε μολυσμό, γιά νά μή

14. Ρωμ. 2,25.

κριθεῖσιν ἐκείνοις συμπαραρρυῶμεν· εἰ γὰρ ὁ διὰ Μωσέως λαληθεὶς νόμος «ἐγένετο βέβαιος καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα, τῆς ἡμετέρας ἀμελήσαντες σωτηρίας, ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι παρὰ τοῦ Κυρίου, διὰ τῶν ἀκουσάντων πρὸς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος ἁγίου μερισμοῖς;». Φοβηθῶμεν οὖν τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς· ἐξιλεωσώμεθα τὸν τῶν ἐκδικήσεων Κύριον· ἐνοικήσωμεν ἡμῖν αὐτοῖς τὴν εἰρήνην, τὸ ἁγιασμόν, τὴν ἐν κατανύξει προσευχήν, ὧν χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον· ποθήσωμεν ἐν πληροφορίᾳ πίστεως τὴν ἐπηγγελμένην ἐκείνην θέαν τοῖς καθαροῖς τὴν καρδίαν, καὶ πάντα πράξωμεν, ἵνα ταύτης τύχωμεν, μεθ' ἧς ἐστιν ἡ αἰώνιος ζωή, τὸ ἀκήρατον κάλλος, ὁ ἀδαπάνητος πλοῦτος, ἡ ἀναλλοίωτος καὶ ἀπέραντος τρυφὴ καὶ δόξα καὶ βασιλεία.

16 *Ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν αὐτῷ τῷ βασιλεῖ τῶν αἰώνων Χριστῷ· ᾧ μόνῳ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, εἰς ἀπεράντους αἰῶνας. Ἀμήν.*

συμπαρασυρθοῦμε μ' ἐκείνους πού κατακρίθηκαν. Ἂν ὁ νόμος πού ἐκτέθηκε διά τοῦ Μωυσέως «ἐπιβεβαιώθηκε καί κάθε παράβασις καί παρακοή ἔλαβε δικαία ἀνταπόδοσι, πῶς θά ξεφύγωμε ἐμεῖς πού ἀμελήσαμε γιά τήν σωτηρία μας, ἡ ὁποία ἀρχίζοντας νά διακηρύσσεται ἀπό τόν Κύριο διαβιβάσθηκε πρός ἐμᾶς ἐγκύρως ἀπό ἐκείνους πού ἄκουσαν, ἐνῶ ὁ Θεός συνεπεκύρωνε μέ σημεῖα καί τέρατα καί ποικίλες δυνάμεις καί μέ διαμερισμό τοῦ ἁγίου Πνεύματος;»[15]. Ἄς φοβηθοῦμε λοιπόν τόν διερευνῶντα καρδιά καί νεφρούς· ἄς ἐξιλεώσωμε τόν Κύριο τῶν ἐκδικήσεων· ἄς βάλωμε μέσα μας ἔνοικο τήν εἰρήνη, τόν ἁγιασμό, τήν προσευχή μέ κατάνυξι, χωρίς τά ὁποῖα κανείς δέν θά ἰδῆ τόν Κύριο· ἄς ποθήσωμε γεμᾶτοι πίστι τήν ὑπεσχημένη ἐκείνη στούς καθαρούς στήν καρδιά θέα, καί ἄς πράξωμε τά πάντα, γιά νά ἐπιτύχωμε αὐτήν, μέ τήν ὁποία μαζί εἶναι ἡ αἰωνία ζωή, τό ἄφθαρτο κάλλος, ὁ ἀδαπάνητος πλοῦτος, ἡ ἀναλλοίωτη καί ἀπέραντη τρυφή καί δόξα καί βασιλεία.

16 Αὐτά εἴθε νά ἐπιτύχωμε ὅλοι ἐμεῖς σ' αὐτόν τόν βασιλέα τῶν αἰώνων Χριστό· στόν ὁποῖο μόνο πρέπει κάθε δόξα, τιμή καί προσκύνησις, μαζί μέ τόν ἄναρχο Πατέρα του καί τό πανάγιο καί ἀγαθό καί ζωοποιό Πνεῦμα, στούς ἀπεράντους αἰῶνες. Γένοιτο.

15. Ἑβρ.2,2-4.



ΤΗι ΠΕΜΠΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Ἐν ᾗ καὶ περὶ ἐλεημοσύνης

ΟΜΙΛΙΑ ΙΓ'

ΤΗι ΠΕΜΠΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Ἐν ᾗ καὶ περὶ ἐλεημοσύνης

1 *Εἰσί τινα μέρη θαλάσσης, ἃ κητώδη μεγάλα θηρία τρέφουσιν· οἱ γοῦν ἐν αὐτοῖς πλέοντες κώδωνας ἐκκρεμῶσι τῶν πλοίων, ἵνα διὰ τῆς ἠχοῦς τούτων ἐκπληττόμενα φεύγωσι τὰ θηρία. Καὶ ἡ θάλασσα δὲ τοῦ ἡμετέρου βίου πολλὰ καὶ δεινότερα τρέφει θηρία, τὰ πονηρὰ πάθη λέγω καὶ τοὺς ἐφόρους αὐτῶν πονηροτέρους δαίμονας· ἐπιπλεῖ δὲ τὴν θάλασσαν ταύτην οἷά τις ναῦς ἡ τοῦ Θεοῦ Ἐκκλησία καὶ ἀντὶ κωδώνων ἔχει τοὺς πνευματικοὺς διδασκάλους, ἵνα διὰ τῆς ἱερᾶς ἠχοῦς τῆς τούτων διδασκαλίας τοὺς νοητοὺς ἀποτρέπηται θῆρας. Καὶ τοῦτ' ἄρα τυποῦσα καὶ ἡ τοῦ*

ΟΜΙΛΙΑ 13

ΤΗΝ ΠΕΜΠΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Ὅπου γίνεται λόγος καί περί ἐλεημοσύνης

1 Ὑπάρχουν μερικά θαλάσσια μέρη πού τρέφουν μεγάλα κητώδη θηρία. Ὅσοι λοιπόν πλέουν σ' αὐτά τά μέρη κρεμοῦν κώδωνες στά πλευρά τῶν πλοίων, ὥστε τά θηρία τρομαγμένα ἀπό τόν ἦχο τους νά φεύγουν. Καί τοῦ δικοῦ μας βίου ἡ θάλασσα τρέφει πολλά καί φοβερώτερα θηρία, τά πονηρά πάθη δηλαδή καί τούς ἐφόρους τῶν παθῶν δαίμονες πού εἶναι πονηρότεροι. Ἐπιπλέει σ' αὐτή τή θάλασσα σάν πλοῖο ἡ Ἐκκλησία τοῦ Θεοῦ κι' ἀντί γιά κώδωνες ἔχει τούς πνευματικούς διδασκάλους, ὥστε μέ τόν ἱερό ἦχο τῆς διδασκαλίας

Ἀαρὼν στολὴ κώδωνας εὐήχους εἶχε παρηρτημένους καὶ θέσπισμα ἦν ἀκουστὴν εἶναι τὴν φωνὴν αὐτῶν ἐν τῷ τὸν Ἀαρὼν λειτουργεῖν.

2 Ἡμεῖς δὲ εἰς τὸ πνεῦμα τὸ γράμμα καλῶς μεταφέροντες, ἠχήσωμεν ὑμῖν ἀρτίως πνευματικῶς, καὶ μάλιστα κατὰ τὸν τῆς νηστείας καιρόν, ᾧ φανερὰ καὶ ἀφανῆ θηρία δεινῶς ἐπιτίθενται· φανερὰ μὲν γαστριμαργία καὶ μέθη καὶ τὰ τοιαῦτα· ἕτερα δὲ ἀφανῶς ὑφεδρεύοντα, κενοδοξία καὶ ὑπερηφανία καὶ οἴησις καὶ ὑπόκρισις. Ὁ αὐτὸς δέ ἐστιν ἦχος καὶ φυγαδευτήριον τῶν τοιούτων θηρίων καὶ φυλακτήριον τῶν τὴν νηστείαν ἀσκούντων.

3 Ἔστιν οὖν νηστεία καὶ ἀκρασία ἐναντία ἀλλήλοις, ὡς ἡ ζωὴ καὶ ὁ θάνατος. Καὶ ἡ μὲν νηστεία ἐντολή ἐστι ζωῆς, συνηλικιῶτις οὖσα τῆς ἀνθρωπίνης φύσεως, ἐν τῷ παραδείσῳ ὑπὸ τοῦ Θεοῦ τῷ Ἀδὰμ δοθεῖσα τὴν ἀρχήν, εἰς φυλακὴν τῆς ἐγγενομένης αὐτῷ παρὰ τοῦ αὐτοῦ Θεοῦ ζωῆς τε καὶ θείας χάριτος. Ἡ δὲ ἀκρασία συμβουλή ἐστι θανάτου σώματός τε καὶ ψυχῆς, ὑπὸ τοῦ διαβόλου τῷ Ἀδὰμ ἐν τῷ παραδείσῳ διὰ τῆς Εὔας δοθεῖσα δολίως εἰς ἔκπτωσιν τῆς ζωῆς καὶ ἀπαλλοτρίωσιν τῆς ἐκ Θεοῦ θείας χάριτος· ὁ Θεὸς γὰρ θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων. Τίς οὖν ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν καὶ χάριν εὑρεῖν τὴν ἐν τῷ Θεῷ καὶ παρὰ Θεοῦ; φυγέτω τὴν θανατηφόρον ἀκρασίαν καὶ προσδραμέτω τῇ θεοποιῷ νηστείᾳ καὶ ἐγκρατείᾳ, ἵν' ἐπανέλθῃ χαίρων εἰς τὸν παράδεισον.

4 Μωϋσῆς τεσσαρακονθήμερον, νηστεύων ἐπ' ὄρους, εἰς ὕψος θεοπτίας ἀνέπτη καὶ πλάκας θεοσεβείας ἐδέξατο· ὁ δὲ τῶν Ἑβραίων δῆμος κάτω, μεθύοντες, εἰς ἀσέβειαν κατωλίσθησαν καὶ εἴδωλον ἐχώνευσαν μόσχου τοῦ αἰγυπτίου Ἄπιδος θεοῦ ὅμοιον, καὶ

τούτων ν' ἀπομακρύνη τά νοητά θηρία. Αὐτό προφανῶς προτυπώνοντας ἡ στολή τοῦ Ἀαρών, εἶχε εὐήχους κώδωνες ραμμένους στά ἄκρα της καί σύμφωνα μέ τά θέσμια ἔπρεπε ν' ἀκούεται ἡ φωνή τους, ὅταν ἐλειτουργοῦσε ὁ Ἀαρών.

2 Ἐμεῖς δέ, μεταφέροντας καλῶς τό γράμμα στό πνεῦμα, ἄς ἠχήσωμε τώρα σέ σᾶς πνευματικῶς, καί μάλιστα κατά τόν καιρό τῆς νηστείας, ὁπότε ἐπιτίθενται ἀγρίως φανερά καί ἀφανῆ θηρία· φανερά μέν ἡ γαστριμαργία, ἡ μέθη καί τά παρόμοια, ἄλλα δέ ἀφανῶς ἐνεδρεύοντα, ἡ κενοδοξία καί ἡ ὑπερηφάνεια, ἡ ὑπεροψία καί ἡ ὑπόκρισις. Ὁ ἴδιος δέ ἦχος εἶναι καί φυγαδευτήριο τῶν τοιούτων θηρίων καί φυλακτήριο τῶν ἀσκούντων τή νηστεία.

3 Εἶναι λοιπόν ἡ νηστεία καί ἡ ἀκρασία ἀντίθετα μεταξύ τους, ὅπως ἡ ζωή καί ὁ θάνατος. Ἡ νηστεία εἶναι ἐντολή ζωῆς, πού εἶναι συνομήλικη τῆς ἀνθρωπίνης φύσεως, ἀφοῦ ἐδόθηκε ἀπό τόν Θεό στόν Ἀδάμ κατά τήν ἀρχή στόν παράδεισο, γιά διαφύλαξι τῆς ζωῆς καί τῆς θείας χάριτος πού εἶχε δοθῆ σ' αὐτόν ἀπό τόν Θεό. Ἡ δέ ἀκρασία εἶναι συμβουλή γιά τόν θάνατο σώματος καί ψυχῆς, πού ἐδόθηκε δολίως ἀπό τόν Διάβολο στόν Ἀδάμ διά τῆς Εὔας γιά ἔκπτωσι τῆς ζωῆς καί ἀπαλλοτρίωσι τῆς ἀπό τόν Θεό θείας χάριτος· διότι ὁ Θεός θάνατο δέν ἐδημιούργησε οὔτε εὐχαριστεῖται μέ τήν ἀπώλεια τῶν ζώντων. Ποιός ἄνθρωπος λοιπόν θέλει νά εὕρη ζωή καί χάρι στόν Θεό ἀπό τόν Θεό; Ἄς ἀποφύγη τήν θανατηφόρο ἀκρασία κι' ἄς προστρέξη στή θεοποιό νηστεία καί ἐγκράτεια, γιά νά ἐπανέλθη χαρούμενος στόν παράδεισο.

4 Ὁ Μωυσῆς, νηστεύοντας ἐπάνω στό ὄρος σαράντα ἡμέρες, ἐπέταξε σέ ὕψος θεοπτίας κι' ἐδέχθηκε πλάκες θεοσεβείας· ὁ δέ λαός τῶν Ἑβραίων κάτω μεθώντας, ἐξέπεσαν σέ ἀσέβεια καί ἐχώνευσαν εἴδωλο μόσχου σέ ὁμοίωμα τοῦ αἰγυπτίου θεοῦ

εἰ μὴ Μωϋσῆς ἔστη πρὸς τὸν Θεόν, διὰ τοῦ ἀνηλεοῦς ἐκ τῶν ὁμογενῶν φόνου ἐξιλασάμενος πρότερον, οὐκ ἂν ὅλως ἐφείσατο αὐτῶν ὁ Θεός. Εἰ γοῦν καὶ ἡμεῖς τοῦ ἐλέους τοῦ Θεοῦ χρήζομεν, μὴ μεθυσκώμεθα οἴνῳ, μηδὲ κόρῳ βαρυνόμεθα, ἐν οἷς ἐστιν ἡ ἀσωτία καὶ ἡ ἀσέβεια. Θεόπτης καὶ ὁ Ἠλίας, ἀλλὰ προκαθαρθεὶς καὶ οὗτος διὰ νηστείας. Ἔτυχε καὶ Δανιὴλ θεοπτίας, καὶ τῶν ἀρχαγγέλων ἑνὸς ὁπτασίας, τὴν τῶν μελλόντων γνῶσιν αὐτῷ παρέχοντος, ἀλλὰ πρότερον ἐφ' ἡμέρας ὅλας εἴκοσι διαμείνας ἄσιτος. Πεφόνευται καὶ προφήτης ἕτερος ὑπὸ λέοντος, ἀλλὰ φαγὼν παρὰ γνώμην Θεοῦ. Γινώσκετε πάντες Ἡσαῦ τὸν τοῦ Ἰσαάκ, ὃς ὑπὸ γαστριμαργίας τῶν τε ἄλλων πρωτοτοκίων καὶ τῆς πατρικῆς ἐξέπεσεν εὐχῆς. Φοβηθῶμεν μὴ καὶ ἡμεῖς τῇ γαστριμαργίᾳ ταύτῃ προσέχοντες ἐκπέσωμεν τῆς ἐπηγγελμένης ἐκείνης εὐλογίας καὶ κληροδοσίας τοῦ ἀνωτάτου Πατρός. Οὐδὲ τοὺς τρεῖς παῖδας ἀγνοεῖτε, οἳ, νηστείᾳ προσκείμενοι, τὴν ἐπταπλασίως κατ' αὐτῶν ἐν Βαβυλῶνι κάμινον ἐκκαυθεῖσαν ἀφλέκτοις ποσὶ καὶ σώμασι κατεπάτησαν.

5 *Ἐὰν καὶ ἡμεῖς ἀληθινὴν νηστείαν ἀσκήσωμεν, καὶ τὴν ἐνταῦθα πύρωσιν τῆς σαρκὸς καταπατήσομέν τε καὶ σβέσομεν καὶ τὴν μέλλουσαν κάμινον ἀζήμιοι διαπεράσομεν, ὅταν ἑκάστου τὸ ἔργον τὸ πῦρ δοκιμάσῃ. Τί δεῖ λέγειν τὸν τῶν προφητῶν Κύριον; ὃς σάρκα λαβὼν καὶ δι' ἡμᾶς γενόμενος ἄνθρωπος, ὑποδεικνὺς ἡμῖν τὸν τρόπον τῆς κατὰ τοῦ διαβόλου νίκης, νηστεύων διὰ πάντων ἐνίκησε*

1. Ἐξ. 32,1 ἑξ.
2. Ἐφ. 5,18.
3. Γ' Βασ. 19,8 ἑξ.

Ἄπιδος, καί ἄν δέν ἐστεκόταν μεσίτης πρός τόν Θεό, ἀφοῦ μέ τήν ἀνηλεῆ ἐξόντωσι τῶν ὁμογενῶν του πού προηγήθηκε τόν ἐξιλέωσε, δέν θά τούς ἐλυπόταν καθόλου ὁ Θεός[1]. Ἄν λοιπόν χρειαζώμαστε κι' ἐμεῖς τό ἔλεος τοῦ Θεοῦ, νά μή μεθοῦμε μέ οἶνο, οὔτε νά βαρυνώμαστε ἀπό ὑπερκορεσμό, πράγματα στά ὁποῖα ὑπάρχει ἡ ἀσωτία καί ἡ ἀσέβεια[2]. Θεόπτης ἦταν καί ὁ Ἠλίας, ἀλλά ἀφοῦ καί αὐτός ἐκαθαρίσθηκε προηγουμένως μέ νηστεία[3]. Ἐπέτυχε καί ὁ Δανιήλ θεοπτία καί ὀπτασία ἑνός ἀπό τούς ἀρχαγγέλους, ὁ ὁποῖος τοῦ παρεῖχε γνῶσι τῶν μελλόντων, ἀλλά ἀφοῦ προηγουμένως ἔμεινε ἄσιτος ἐπί εἴκοσι ὁλόκληρες ἡμέρες[4]. Ἄλλος προφήτης ἐφονεύθηκε ἀπό λεοντάρι, ἀλλ' ἀφοῦ ἔφαγε παρά τήν ἐντολή τοῦ Θεοῦ. Γνωρίζετε ὅλοι τόν Ἡσαῦ υἱόν τοῦ Ἰσαάκ, ὁ ὁποῖος λόγω γαστριμαργίας ἐξέπεσε καί ἀπό τά ἄλλα πρωτοτόκια καί ἀπό τήν πατρική εὐλογία[5]. Ἄς φοβηθοῦμε μήπως κι' ἐμεῖς, προσέχοντας σ' αὐτήν τήν γαστριμαργία, ἐκπέσωμε ἀπό τήν ὑπεσχημένη ἐκείνη εὐλογία καί κληροδοσία τοῦ ἀνωτάτου Πατρός. Δέν ἀγνοεῖτε ἐπίσης τούς τρεῖς παῖδες, οἱ ὁποῖοι, παραδεδομένοι στή νηστεία, κατεπάτησαν μέ ἄφλεκτα πόδια καί σώματα τήν κάμινο στή Βαβυλῶνα πού εἶχε ἐκκαυθῆ ἐναντίον τους ἐπταπλασίως.

5 Ἐάν ἐπιδοθοῦμε κι' ἐμεῖς σέ ἀληθινή νηστεία, καί τήν ἐδῶ πύρωσι τῆς σαρκός θά καταπατήσωμε καί θά σβήσωμε, καί τήν μελλοντική κάμινο θά περάσωμε ἄθικτοι, ὅταν τοῦ καθενός τό ἔργο θά δοκιμάση τό πῦρ. Τί χρειάζεται νά ἀναφέρωμε τόν Κύριο τῶν προφητῶν; Αὐτός, ἀφοῦ ἔλαβε σάρκα κι' ἔγινε γιά μᾶς ἄνθρωπος, πού μᾶς ὑποδεικνύει τόν τρόπο τῆς νίκης κατά τοῦ Διαβόλου, νηστεύοντας σέ ὅλα, ἐνίκησε τόν πειρασμό πού ἐκί-

4. Δαν. 10,2 ἑξ.
5. Γεν. 27,36.

τοῦτον, πάντα κατ' αὐτοῦ κινήσαντα πειρασμόν, καὶ πρὸς τοὺς οἰκείους μάθητὰς περὶ τοῦ ἀλάλου καὶ κωφοῦ δαιμονίου ἔλεγε, «τοῦτο τὸ δαιμόνιον οὐκ ἐξέρχεται, εἰμὴ ἐν προσευχῇ καὶ νηστείᾳ».

6 Ἀλλὰ φέρε δείξωμεν ὑμῖν, ἀδελφοί, τίς ἐστιν ἡ θεάρεστος νηστεία καὶ ἀληθής· τοῦτο γὰρ ἐστὲ γινώσκοντες, ὡς οὐκ αὐτὴν δι' ἑαυτὴν τὴν σωματικὴν ἐπαινοῦμεν νηστείαν, ἀλλ' ὡς ἐνεργοῦσαν πρὸς ἕτερα ψυχωφελέστερα· τὴν γὰρ σωματικὴν ἐργασίαν πρὸς ὀλίγον ὠφέλιμον εἶναι, καὶ ὁ θεῖος Παῦλός φησι. Διὸ καὶ οἱ διὰ πείρας λαλοῦντες θεοφόροι πατέρες οὐκ ἀποδέχονται τὰς πολυημέρους νηστείας, ἀλλὰ δοκιμώτερον κρίνουσι τὸ καθ' ἡμέραν ἐσθίειν ἅπαξ καὶ μὴ χορτάζεσθαι· καὶ τοῦτό φασι σύμμετρον καὶ μετὰ λόγου νηστείαν, ὃ καὶ ἡ Γραφὴ λέγει, τὸ μὴ ἀπατᾶσθαι χορτασίᾳ κοιλίας καὶ τῇ τοῦ λαιμοῦ ἡδονῇ, ἀλλὰ τῆς μὲν ὀρέξεως ἐγκειμένης ἔτι τῆς τροφῆς ἀφίεσθαι, τὴν δὲ ποιότητα ταύτης καὶ ποσότητα κατάλληλον εἶναι τῇ δυνάμει καὶ διαθέσει τοῦ τρεφομένου σώματος, πρὸς τὸ καὶ τὴν ὑγείαν αὐτοῦ κατὰ τὸ δυνατὸν συντηρεῖσθαι· τὸ γὰρ καταλλήλως τῇ ἀσθενείᾳ συμμέτρως ἐσθίειν ἀπὸ τῶν ἐνδεδομένων βρωμάτων τὸν ἀσθενῆ, μὴ προστιθέντα τοῖς ἀναγκαίοις τὰ λίαν περιττὰ καὶ λυσιτελῆ, καὶ τὸ τὴν τροφὴν ἐπιζητεῖν ἀλλ' οὐ τὴν τρυφήν, καὶ τὴν πόσιν ἀλλ' οὐ τὴν μέθην, καὶ τὴν σύμμετρον χρῆσιν ἀλλ' οὐ τὴν ἀμετρίαν καὶ τὴν ἀκρασίαν καὶ τὴν παράχρησιν, οὐκ ἀφαιρεῖται τοῦ κεχρημένου τὴν ἁγιότητα.

7 Ἡ μὲν οὖν ἀρχὴ τῆς ἀληθοῦς καὶ θεαρέστου νηστείας τοιαύτη, τὸ δὲ τέλος δι' ὃ νενομοθέτηται καὶ ἐτιμήθη Χριστιανοῖς ἡ τῆς ψυχῆς ἐστι κάθαρσις. Τίς γὰρ ὠφέλεια σωματικῆς ἀπέχεσθαι βρώσεως, τῶν δὲ σαρκικῶν ἡττᾶσθαι φρονημάτων τε καὶ παθῶν; Τί τὸ ὄφε-

νησε τά πάντα ἐναντίον του, καί πρός τούς μαθητάς του ἔλεγε περί τοῦ ἀλάλου καί κωφοῦ δαιμονίου, «τοῦτο τό δαιμόνιο δέν ἐξέρχεται παρά μόνο μέ προσευχή καί νηστεία»[6].

6 Ἀλλά ἐμπρός, ἀδελφοί, ἄς δείξωμε τί εἶναι ἡ θεάρεστη κι' ἀληθινή νηστεία. Νά γνωρίζετε τοῦτο, ὅτι δέν ἐπαινοῦμε αὐτή καθ' ἑαυτήν τή σωματική νηστεία, ἀλλά γιά τήν ἐνέργειά της πρός ἄλλα ψυχωφελέστερα· διότι γιά τή σωματική ἄσκησι, λέγει καί ὁ θεῖος Παῦλος,ὅτι ὀλίγο ὠφελεῖ[7]. Γι' αὐτό καί οἱ θεοφόροι πατέρες πού ὁμιλοῦν ἀπό πεῖρα δέν δέχονται τίς πολυήμερες νηστεῖες, ἀλλά κρίνουν δοκιμώτερο νά τρώγωμε καθημερινῶς μιά φορά καί νά μή χορταίνωμε· καί τοῦτο λέγουν σύμμετρη καί συνετή νηστεία, πρᾶγμα πού λέγει καί ἡ Γραφή, τό νά μή παρασύρεται κανείς ἀπό τήν χορτασιά τῆς κοιλίας καί τήν ἡδονή τοῦ λαιμοῦ, ἀλλά νά ἀφήνη τό φαγητό ἐνῶ ἔχει ἀκόμη ὄρεξι, ἡ δέ ποιότης καί ποσότης της νά εἶναι κατάλληλη πρός τή δύναμι καί διάθεσι τοῦ τρεφομένου σώματος, ὥστε νά συντηρῆται κατά τό δυνατό κι' ἡ ὑγεία του. Πραγματικά τό νά τρώγη ὁ ἀσθενής ἀπό τά ὑπάρχοντα τρόφιμα καταλλήλως πρός τήν ἀσθένεια καί συμμέτρως, χωρίς νά προσθέτη στά ἀναγκαῖα τά πολύ περιττά καί συμφέροντα, καί τό νά ζητῆ κανείς τήν τροφή ἀλλ' ὄχι τήν τρυφή, καί τήν πόσι ἀλλ' ὄχι τή μέθη, καί τήν σύμμετρη χρῆσι ἀλλ' ὄχι τήν ἀμετρία καί τήν ἀκρασία καί τήν κατάχρησι, δέν ἀφαιρεῖ τήν ἁγιότητά του.

7 Τέτοια λοιπόν εἶναι ἡ ἀρχή τῆς ἀληθινῆς καί θεάρεστης νηστείας, ὁ δέ σκοπός γιά τόν ὁποῖο ἐθεσμοθετήθηκε κι' ἐτιμήθηκε ἀπό τούς Χριστιανούς εἶναι ἡ κάθαρσις τῆς ψυχῆς. Διότι ποιά εἶναι ἡ ὠφέλεια, ἄν ἀπέχωμε τῆς σωματικῆς τροφῆς, ἀλλά

6. Μάρκ. 9,21.
7. Α΄ Τιμ. 4,8.

λος οἴνου ἀπέχεσθαι καὶ δίψει πιέζεσθαι, μεθύειν δὲ οὐκ ἀπὸ οἴνου, κατὰ τὸν λέγοντα, «οὐαὶ οἱ μεθύοντες οὐκ ἀπὸ οἴνου», καὶ θυμῷ καὶ βασκανίᾳ τὴν ψυχὴν ταράττεσθαι; Τί τὸ ὄφελος ἁβρᾶς τραπέζης ἀπέχεσθαι, καὶ τὴν ψυχὴν ἀταπείνωτον εἶναι, καὶ τὴν μὲν σάρκα ἠλλοιῶσθαι δι' ἔλαιον, μὴ ταπεινωθῆναι δὲ τὴν ψυχὴν ἐν νηστείᾳ κατὰ τὸν Δαβίδ; Τί τὸ ὄφελος ἀπαλλαγῆναι μὲν τῆς ἐκ τῶν πολλῶν βρωμάτων ἀναθυμιωμένης ὁμίχλης, φροντίσι δὲ καὶ λογισμοῖς ματαίοις ἀχρειοῦσθαι τὸν ἡμέτερον νοῦν καὶ συναχρειοῦσθαι τὰς πρὸς τὸν Θεὸν προσευχάς;

8 Διὰ τοῦτο καλὴ νηστεία ἡ τελουμένη πρὸς μαρασμὸν τῆς ἐπιθυμίας, πρὸς ταπείνωσιν τῆς ψυχῆς, πρὸς μίσους μεταποίησιν, πρὸς θυμοῦ σβέσιν, πρὸς μνησικακίας ἀπάλειψιν, πρὸς διανοίας καὶ προσευχῆς ἐργασίαν καὶ καθαρότητα. Εἰ δὲ εὐπορεῖς, ἔστω σοι καὶ τὸ περιττεῦον τῆς τροφῆς εἰς τὴν τῶν ἀπορούντων παραμυθίαν. Ἐὰν οὕτω νηστεύῃς, οὐ μόνον συμπάσχων ἔσῃ καὶ συννεκρούμενος, ἀλλὰ καὶ συνανιστάμενος καὶ συμβασιλεύων Χριστῷ εἰς αἰῶνας τοὺς ἀπεράντους· σύμφυτος γὰρ γεγονὼς διὰ τῆς τοιαύτης νηστείας τῷ ὁμοίωματι τοῦ θανάτου αὐτοῦ, καὶ τῆς ἀναστάσεως κοινωνὸς ἔσῃ καὶ τῆς ἐν αὐτῷ ζωῆς κληρονόμος. Ὁ νηστεύων, ἐὰν μὲν πειράζηται, νικᾷ τὸν πειράζοντα· ἐὰν δὲν μὴ πειράζηται, συντηρεῖ τὴν εἰρήνην τῆς ψυχῆς καὶ τοῦ σώματος, ὑπωπιάζων κατὰ Παῦλον τὸ σῶμα καὶ δουλαγωγῶν, δειλιῶντα μήπως ἀδόκιμος γένηται· εἰ δὲ Παῦλος δειλιᾷ, πόσῳ μᾶλλον ἡμᾶς προσῆκεν; Ὁ γοῦν νηστεύων

8. Α' Κορ. 9,27.

κυριαρχούμαστε ἀπό σαρκικά φρονήματα καί πάθη; Ποιό εἶναι τό ὄφελος ἄν ἀπέχωμε οἴνου καί πιεζώμαστε ἀπό δίψα, νά μεθοῦμε δέ ὄχι ἀπό οἶνο, σύμφωνα μέ τόν λέγοντα, «ἀλλοίμονο στούς μεθύοντας ὄχι ἀπό οἶνο», καί νά ταρασσώμαστε ψυχικά ἀπό θυμό καί βασκανία; Ποιό εἶναι τό ὄφελος, ἄν ἀπέχωμε ἀπό τρυφηλή τράπεζα, ἀλλά ἔχωμε ἀταπείνωτη τήν ψυχή, καί ἄν ἔχωμε ἀλλοιωμένη τήν σάρκα γιά ἔλαιο, ἀλλά δέν ἔχωμε ταπεινωμένη τήν ψυχή κατά τή νηστεία; Ποιό εἶναι τό ὄφελος, ἄν ἀπαλλαγήκαμε μέν ἀπό τήν ὀμίχλη πού ἀναθυμιᾶται ἀπό τά πολλά φαγητά, ἀλλά ἀχρειώνεται ὁ νοῦς μας μέ φροντίδες καί ματαίους λογισμούς καί ἀχρειώνονται μαζί του οἱ προσευχές πρός τόν Θεό;

8 Γι' αὐτό καλή νηστεία εἶναι αὐτή πού τελεῖται γιά τόν μαρασμό τῆς ἐπιθυμίας, γιά τήν ταπείνωσι τῆς ψυχῆς, γιά τήν μεταποίησι τοῦ μίσους, γιά τό σβήσιμο τοῦ θυμοῦ, γιά τήν ἀπάλειψι τῆς μνησικακίας, γιά τήν καθαρότητα τῆς διανοίας καί τήν ἐπιτέλεσι τῆς προσευχῆς. Ἐάν δέ εἶσαι εὔπορος, τό περίσσευμα τῆς τροφῆς σου νά προσφέρεται γιά τήν παρηγορία τῶν ἀπόρων. Ἐάν νηστεύῃς ἔτσι, ὄχι μόνο θά συμπάσχῃς καί θά συννεκρώνεσαι, ἀλλά καί θά συνανίστασαι καί θά συμβασιλεύῃς μέ τόν Χριστό στούς ἀπεράντους αἰῶνες. Διότι, ἀφοῦ γίνῃς διά τῆς νηστείας αὐτοῦ τοῦ εἴδους σύμφυτος μέ τό ὁμοίωμα τοῦ θανάτου του, θά γίνῃς καί κοινωνός τῆς ἀναστάσεως καί κληρονόμος τῆς ζωῆς σ' αὐτόν. Αὐτός πού νηστεύει, ἐάν μέν πειράζεται, νικᾶ τόν πειράζοντα· ἐάν δέ δέν πειράζεται, συντηρεῖ τήν εἰρήνη τῆς ψυχῆς καί τοῦ σώματος, ταλαιπωρώντας καί δουλαγωγώντας τό σῶμα κατά τόν Παῦλο[8], πού ἐδειλίαζε μήπως φανῇ ἀδόκιμος· ἐάν δέ ὁ Παῦλος δειλιάζῃ, πόσο μᾶλλον πρέπει νά

δουλαγωγεῖ τὸ σῶμα καὶ δόκιμον ποιεῖ τὴν ψυχήν, ὁ δὲ καταπιαίνων τὴν μετ' ὀλίγον φθαρησομένην σάρκα, μὴ ἐσθίων δὲ διὰ τὸ ζῆν, ἀλλὰ μᾶλλον ζῶν ἵν' ἐσθίῃ, καθάπερ τὰ παρ' ἡμῶν ἑτοιμαζόμενα πρὸς σφαγήν, καὶ προστιθεὶς τοῖς ἀναγκαίοις τὰ περιττὰ ἵνα λιπαίνῃ τὸ σῶμα ἢ πρὸς ἐπιθυμίας οὐ καλὰς διεγείρῃ ἢ ἁπλῶς οὕτω πρὸς φιληδονίαν τὴν ἐν τοῖς σώμασιν, οὐδὲν ἄλλο πάντως ἢ τοῖς σκώληξιν ἑτοιμάζει δαψιλεστέραν τροφήν. Καλῶς ἄρα καὶ ὁ προφήτης ψάλλει Δαβίδ, «τίς ὠφέλεια ἐν τῷ αἵματί μου ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;».

9 *Νηστεύων οὖν καὶ μετ' ἐγκρατείας τρεφόμενος, μὴ ἀποτιθέμενος εἰς τὴν αὔριον ἔσο τὰ περιττά, ἀλλ' ὥσπερ ὁ Κύριος πτωχεύσας ἡμᾶς ἐπλούτισεν, οὕτω καὶ σὺ πεινῶν ἑκουσίως, χόρτασον τὸν ἀκουσίως λιμώττοντα, καὶ ἔσται σου ἡ νηστεία καθάπερ περιστερὰ κάρφος ἐλαίας φέρουσα καὶ τῇ ψυχῇ σου τὴν ἐκ τοῦ κατακλυσμοῦ λύσιν εὐαγγελιζομένη. «Ἐὰν γὰρ ἀνέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χειροτονίαν, ὁ μέγας φησὶν Ἡσαΐας, καὶ ῥῆμα γογγυσμοῦ καὶ δῷς πεινῶντι ἄρτον ἐκ ψυχῆς σου καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ ἐν σκότει τὸ φῶς σου καὶ τὸ σκότος σου ὡς μεσημβρία». Εἰ δὲ μὴ τὰ οἰκεῖα διδόναι βούλῃ, κἂν τῶν ἀλλοτρίων ἀπέχου καὶ μὴ κάτεχε παρὰ σεαυτῷ τὰ μὴ σά, καθαρπάζων καὶ πλουτῶν ἔστιν ὅτε καὶ παρὰ τῶν πενεστέρων ἀδίκως, ἵνα μὴ παρ' αὐτοῦ τοῦ προφήτου δικαίως ἀκούσῃς· «οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην*

9. Ψαλμ. 29,11.

δειλιάζωμε ἐμεῖς; Αὐτός πού νηστεύει λοιπόν δουλαγωγεῖ τό σῶμα καί καθιστᾶ δόκιμη τήν ψυχή· ἐνῶ αὐτός πού παχύνει τήν σάρκα πού ἔπειτα ἀπό λίγο θά φθαρῆ, αὐτός δηλαδή πού δέν τρώγει γιά νά ζήση ἀλλά μᾶλλον ζῆ γιά νά τρώγη, ὅπως τά ζῶα πού προετοιμάζονται ἀπό μᾶς γιά σφαγή, καί στά ἀναγκαῖα προσθέτει τά περιττά γιά νά λιπαίνη τό σῶμα ἤ νά τό διεγείρη σέ κακές ἐπιθυμίες ἤ ἁπλῶς ἔτσι γιά φιληδονία σωματική, πάντως δέν κάμει τίποτε ἄλλο παρά ἑτοιμάζει πλουσιωτέρα τροφή στούς σκώληκες. Ἐπομένως καλῶς ψάλλει ὁ προφήτης Δαβίδ, «ποιά εἶναι ἡ ὠφέλεια ἀπό τό αἷμα μου, ὅταν θά κατεβαίνω στή φθορά;»[9].

9 Ὅταν λοιπόν νηστεύης καί τρέφεσαι μ' ἐγκράτεια, νά μή ἀποθηκεύης γι' αὔριο τά περισσεύματα, ἀλλά ὅπως ὁ Κύριος πτωχεύοντας μᾶς ἐπλούτισε, ἔτσι καί σύ πεινώντας ἑκουσίως, χόρτασε τόν ἀκουσίως πεινασμένο· τότε ἡ νηστεία σου θά εἶναι σάν περιστερά πού φέρει κάρφος ἐλαίας κι' εὐαγγελίζεται στήν ψυχή σου τήν σωτηρία ἀπό τόν κατακλυσμό. «Ἐάν ἀφαιρέσης ἀπό τό μέσο σου τόν ζυγό καί τή χειροδικία καί τόν κακόβουλο λόγο», λέγει ὁ μέγας Ἡσαΐας, «καί δώσης στόν πεινασμένο ἄρτο μέ τήν ψυχή σου καί χορτάσης πεινασμένη ψυχή, τότε τό φῶς σου θά λάμψη στό σκότος καί τό σκότος σου θά εἶναι σάν μεσημβρία»[10]. Ἐάν δέ δέν θέλης νά δώσης τά δικά σου, τουλάχιστον ν' ἀπέχης ἀπό τά ξένα καί νά μή κάμης κατοχή στά πράγματα πού δέν εἶναι δικά σου, ἁρπάζοντας καί θησαυρίζοντας καί ἀπό τούς πτωχοτέρους μερικές φορές ἀδίκως, γιά νά μή ἀκούσης ἀπό τόν ἴδιο τόν προφήτη δικαίως τοῦτο· «δέν εἶναι αὐτή ἡ νηστεία πού προτιμῶ ἐγώ», λέγει ὁ Κύριος, «οὔτε ἄν

10. Ἡσ. 58,9.

ἐγώ, λέγει Κύριος, οὐδ' ἂν κάμψῃς ὡς κρῖκον τὸν τράχηλόν σου, ἔσται σοι νηστεία δεκτή, ἀλλὰ λύε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, πᾶσαν συγγραφὴν ἄδικον διάσπα· τότε ραγήσεται πρώϊμον τὸ φῶς σου καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ καὶ πορεύσεται ἔμπροσθεν ἡ δικαιοσύνη σου καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε».

10 *Εἰ μὴ δίδως τοίνυν ἐκ τῶν σῶν πένητι, καὶ ταῦτα περιττῶν ὄντων, κἂν μὴ κτῷ ταῦτα κατὰ τοῦ πένητος· καίτοι ὁ πάντων δεσπότης Χριστὸς τοὺς τῆς ἀριστερᾶς μερίδος εἰς τὸ πῦρ ἀποπέμπων καὶ καταρώμενος, οὐ καταδικάζει τούτους ὡς ἅρπαγας, ἀλλ' ὡς μὴ μεταδόντας τῷ δεομένῳ. Οὐκοῦν οἱ ἅρπαγες καὶ οἱ ἄδικοι οὐδὲ ἀναστήσονται εἰς παράστασιν καὶ κρίσιν, ἀλλ' εἰς καταδίκην εὐθὺς μείζονα καὶ κατάκρισιν, ἐπεὶ κάνταῦθ' ὡς ἔοικεν οὗτοι οὐδέποτε ὅλως ἐκ ψυχῆς τῷ Θεῷ παρέστησαν· «οἱ γὰρ ἐσθίοντες», φησί, «τὸν λαόν μου ἐν βρώσει ἄρτου τὸν Θεὸν οὐκ ἐπεκαλέσαντο». Ὁ πλούσιος οὗ εὐφόρησεν ἡ χώρα καὶ ὁ πορφύραν καὶ βύσσον ἐνδεδυμένος, οὐχ ὡς ἀδικήσαντές τινα, ἀλλ' ὡς μὴ μεταδόντες τῶν ἐκείνοις κτηθέντων δικαίως καταδικάζονται· κοινὰ γὰρ ἐκ κοινῶν ταμείων τῶν τοῦ Θεοῦ κτισμάτων τὰ θησαυρίσματα. Πῶς οὖν οὐ πλεονέκτης ὁ ἐξιδιούμενος τὰ κοινά, κἂν οὐχ ὡς ἐκεῖνος ὁ τὰ φανερῶς ἀλλότρια σφετεριζόμενος; Οὐκοῦν ὁ μὲν ὡς κακὸς δοῦλος ὑποστήσεται, φεῦ, τὴν φρικώδη διχοτομίαν, ὁ δὲ τὰ δεινότερα καὶ φρικωδέστερα πείσεται,*

---

11. Ἡσ. 58,5-8.
12. Ψαλμ.13,5.

κάμψης τόν λαιμό σου σάν κρίκο, θά γίνη δεκτή ἡ νηστεία σου· ἀλλά ν' ἀπαλλαγῆς ἀπό κάθε δεσμό ἀδικίας, νά διαλύσης τούς δεσμούς τῶν βιαίων συναλλαγῶν, νά διασπάσης κάθε ἄδικη ὑποχρέωσι· τότε τό φῶς σου θά ἐκχυθῆ σάν αὐγή κι' ἡ θεραπεία σου θ' ἀναφανῆ γρήγορα, ἡ δικαιοσύνη σου θά εἶναι ἐμπροσθοφυλακή σου καί ἡ δόξα τοῦ Κυρίου θά εἶναι ὀπισθοφυλακή σου»[11].

10 Ἐάν λοιπόν δέν δίδης στόν πτωχό ἀπό τά δικά σου, καί μάλιστα τά περισσεύματα, τουλάχιστον νά μή τ' ἀποκτᾶς σέ βάρος τοῦ πτωχοῦ· ἄν καί ὁ δεσπότης τῶν ὅλων Χριστός ἀποπέμποντας τούς τῆς ἀριστερᾶς μερίδος στό πῦρ καί καταρώμενος αὐτούς, δέν τούς καταδικάζει σάν ἅρπαγες, ἀλλά ὡς μή μεταδίδοντας στούς ἐνδεεῖς. Ἑπομένως οἱ ἅρπαγες καί οἱ ἄδικοι οὔτε θ' ἀναστοῦν γιά παρουσίασι καί κρίσι, ἀλλά ἀμέσως γιά μεγαλύτερη καταδίκη καί κατάκρισι, ἀφοῦ κι' ἐδῶ, ὅπως φαίνεται, αὐτοί ποτέ δέν παρουσιάσθηκαν στόν Θεό ἐντελῶς ἀπό ψυχή· «διότι», λέγει, «ὅσοι τρῶγουν τόν λαό μου σάν ἄρτο δέν ἐπεκαλέσθηκαν τόν Θεό»[12]. Ὁ πλούσιος τοῦ ὁποίου οἱ ἀγροί ἐκαρποφόρησαν ἀφθόνως[13] καί ὁ ἐνδεδυμένος μέ πορφύρα καί βύσσο[14] δικαίως καταδικάζονται, ὄχι διότι ἀδίκησαν κάποιον, ἀλλά διότι δέν μετέδωσαν ἀπό ὅσα δικαίως ἀπέκτησαν αὐτοί· διότι τά θησαυρίσματα εἶναι κοινά ἀπό τά κοινά ταμεῖα τῶν κτισμάτων τοῦ Θεοῦ. Πῶς λοιπόν δέν εἶναι πλεονέκτης αὐτός πού οἰκειοποιεῖται τά κοινά, ἔστω καί ἄν δέν εἶναι σάν ἐκεῖνο πού σφετερίζεται φανερά τά ξένα; Ἑπομένως ὁ μέν πρῶτος θά ὑποστῆ, ἀλλοίμονο, τήν φρικτή διχοτόμησι ὡς κακός δοῦλος, ὁ δέ ἄλλος θά ὑποστῆ τά δεινότερα καί φρικωδέστερα, καί κανένας

13. Λουκᾶ12,16.
14. Λουκᾶ 16,19.

καὶ οὐδέτερος αὐτῶν δυνήσεταί ποτε ταῦτα διαφυγεῖν, ἂν μὴ τοὺς πτωχοὺς δεξιώσωνται, καὶ ὁ μὲν καλῶς οἰκονομήσει τὰ πεπιστευμένα τούτῳ παρὰ Θεοῦ, ὁ δὲ καλῶς σκορπίσει τὰ κακῶς συναχθέντα.

11 *Παῦλος ὁ μέγας, Θεσσαλονικεῦσι γράφων τοῖς ὑμῶν πάντως προγόνοις περὶ τῆς φιλαδελφίας, φησίν, «οὐ χρείαν ἔχετε γράφειν ὑμῖν, αὐτοὶ γὰρ θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους».*

12 *Τοῦ Κυρίου τοίνυν πρός τινας εἰρηκότος, «εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν», φοβηθῶμεν καὶ αὐτοὶ τὸν λόγον τοῦτον, οὐκ ἐνταῦθα μὲν πρὸς ἡμᾶς λεγόμενον, ἀλλ' ἐπὶ τῆς φρικτῆς, ὃ μὴ γένοιτο, ῥηθησόμενον ἡμέρας, ἡνίκα καὶ μᾶλλον ἀπὸ τῆς ὁμοιότητος τῶν πεπραγμένων ἡ συγγένεια κρίνεται· ἡνίκα πάντες οἱ τὴν ἐν Χριστῷ πτωχείαν, εἰ δ' οὖν, ἀλλὰ τοὺς πτωχοὺς γοῦν ἠγαπηκότες, οἱ καταφρονηταὶ τῆς δόξης, οἱ τῆς ἐγκρατείας ἐρασταί, οἱ τῶν εὐαγγελικῶν θεσπισμάτων οὐκ ἀκροαταὶ μόνον ἀλλὰ καὶ ποιηταί, κατὰ τὴν τοῦ κοινοῦ χάριτι Πατρὸς εὐχήν, ὑπερφυῶς ἓν ἔσονται· «δὸς γάρ», φησίν, «αὐτοῖς ἵνα πάντες ἓν ὦσι, καθὼς ἡμεῖς ἕν ἐσμεν»· ἡνίκα φανερῶς ἡ κριτικωτάτη μάχαιρα τοῦ Πνεύματος διχάσει ἄνθρωπον κατὰ τοῦ πατρὸς καὶ θυγατέρα κατὰ τῆς μητρὸς καὶ ἀλλοτρίους ποιήσει τοὺς ἀνομοίους τοῖς τρόποις· εἰ γὰρ ἐνταῦθα, πόσῳ μᾶλλον ἐκεῖ, ὅπου καὶ ὁ πάντα εἰδὼς πρὸς τοὺς μὴ κατ' ἀρετὴν ὡμοιωμένους οὐκ οἶδα ὑμᾶς ἀποφαίνεται; οὐ γὰρ ἔχουσιν ὡς ἔοικε τὴν εἰκόνα τοῦ ἐπουρανίου· οὐκ ἐγένοντο οἰκτίρμονες ὡς ὁ κοινὸς Πατήρ· οὐ κοινὰ τὰ ὄντα τοῖς δεομένοις ἐποιήσαντο,*

---

15. Α' Θεσσ. 4,9.
16. Ἰω. 8,39.

ἀπό τούς δύο δέν θά μπορέση νά τά διαφύγη, ἄν δέν δεξιωθῆ τούς πτωχούς, ὥστε ὁ ἕνας νά διαχειρισθῆ καλῶς τά ἐμπιστευμένα σ' αὐτόν ἀπό τόν Θεό, ὁ δέ ἄλλος νά σκορπίση καλῶς τά κακῶς συναχθέντα.

11 Ὁ μέγας Παῦλος γράφοντας πρός τούς Θεσσαλονικεῖς, τούς προγόνους σας βέβαια, περί φιλαδελφίας, λέγει, «δέν ἔχετε ἀνάγκη νά σᾶς γράφω, διότι εἶσθε θεοδίδακτοι στό ν' ἀγαπᾶτε ἀλλήλους»[15].

12 Ἀφοῦ λοιπόν ὁ Κύριος εἶπε πρός μερικούς, «ἄν ἦσαστε τέκνα τοῦ Ἀβραάμ, θά ἐκτελούσατε τά ἔργα τοῦ Ἀβραάμ»[16], ἄς φοβηθοῦμε κι' ἐμεῖς τόν λόγο τοῦτον, πού δέν λέγεται μέν πρός ἐμᾶς ἐδῶ, ἀλλά θά λεχθῆ, ὅ μή γένοιτο, κατά τή φρικτή ἡμέρα, ὅταν ἡ συγγένεια κρίνεται μᾶλλον ἀπό τήν ὁμοιότητα τῶν πεπραγμένων· ὅταν ὅλοι ὅσοι ἔχουν ἀγαπήσει τήν ἐν Χριστῷ πτωχεία ἤ, ἄν ὄχι, τουλάχιστον τούς πτωχούς, οἱ καταφρονηταί τῆς δόξας, οἱ ἐρασταί τῆς ἐγκρατείας, οἱ ὄχι μόνο ἀκροαταί ἀλλά καί ποιηταί τῶν εὐαγγελικῶν θεσπισμάτων, κατά τήν εὐχή τοῦ κοινοῦ κατά χάριν Πατρός, θά εἶναι ὑπερφυῶς ἕνα· «δῶσε», λέγει, «νά εἶναι ὅλοι αὐτοί ἕνα, ὅπως ἐμεῖς εἴμαστε ἕνα»[17]· ὅταν φανερά ἡ κριτικωτάτη μάχαιρα τοῦ Πνεύματος θά διχάση τόν ἄνθρωπο κατά τοῦ πατρός καί τήν θυγατέρα κατά τῆς μητρός καί θά καταστήση ξένους μεταξύ των τούς ἀνομοίους στούς τρόπους· διότι ἄν τούς ξεχωρίζη ἐδῶ, πόσο περισσότερο ἐκεῖ, ὅπου ὁ παντογνώστης ἀποφαίνεται πρός τούς μή ὡμοιωμένους «δέν σᾶς γνωρίζω»; Διότι δέν ἔχουν, ὅπως ἔπρεπε τήν εἰκόνα τοῦ ἐπουρανίου, δέν ἔγιναν οἰκτίρμονες ὅπως ὁ κοινός Πατήρ, δέν ἔκαμαν τά ὑπάρχοντα κοινά μέ τούς ἐνδεεῖς,

17. Ἰω. 17,22.

καθάπερ ἐκεῖνος τῶν οἰκείων ἀγαθῶν δωρεὰν μετέδωκεν ἅπασιν· οὐ τοῖς πλησίον ἐγένοντο χρηστοί, οὐ τοὺς μακρὰν διὰ τῆς εὐποιΐας πλησίον ἐποίησαν· διὰ ταύτην ἄρα τὴν ἀνομοιότητα οὔτε οἶδεν οὔτε εἰσοικίζει τοὺς τοιούτους ὁ ἀγαθός. Εἰ δὲ οὗτος οὕτως, καὶ οἱ κατ' αὐτὸν κάνταῦθα ζήσαντες κἀκεῖ συμβασιλεύσοντες τὰ αὐτὰ δήπου τοῖς μὴ παραπλησίοις τὴν ἀρετὴν τῶν καθ' αἷμα προσῳκειωμένων ἐροῦσιν.

13 Κἂν εἴπῃ τις, παῖς ἐγὼ σός, πατὴρ αὐτὸς ἦν, ἀδελφὸς ἔγωγε· ἀλλ' ὁ μὲν φεῦ ἀκούσει, ὡς ἀδελφὸς οὐ λυτροῦται· ὁ δέ, πατὴρ οὐδείς, εἰμὴ εἷς ὁ Θεός· ὁ δ' εἰ τέκνον ἧς ἐμόν, μιμητὴς ἂν ἧς ἐμός, νῦν δ' ἐκείνου τοῦ πατρὸς εἶ, οὗ καὶ τῶν ἐπιθυμιῶν ἐργάτης· ἄπιθι τούτῳ συνδιαιωνίσων· ἐγὼ γὰρ οὐκ οἶδά σε· πάντα γὰρ ὅσα τοῦ Θεοῦ ἐμά, σὺ δ' οὐ τοῦ Θεοῦ. Τοὐμὸν καὶ τὸ σὸν ἀπελήλαται τῶν ὧδε, ὃ καὶ εἰς τὸν ἐπιλελοιπότα βίον ἐκεῖνον ἡμεῖς ἐμισήσαμεν· διὸ καὶ τῆς βασιλείας ταύτης κληρονόμοι γεγόναμεν. Ὅπου τοῦτο τὸ κατὰ τοὺς θείους πατέρας ψυχρὸν ῥῆμα, δεσμὸς ἀγάπης ἀπῆν καὶ ὁ Χριστὸς ἀπελήλαται· οὓς τὸ πάθος ἐκράτει τοῦτο καὶ τότε, φιλαυτίαν, φιλαργυρίαν, μισαδελφίαν, καὶ πᾶν εἶδος κακίας αὐτοῖς προύξένει, καὶ νῦν αὐτοὺς καταισχύνει.

14 Φοβηθῶμεν οὖν, ἀδελφοί, τὰ τοιαῦτα, παρακαλῶ· φρικτὰ γὰρ ὄντως. Οἰκονομήσωμεν τὰ καθ' ἡμᾶς, ὡς Θεῷ φίλον· ἀφήσωμεν ἵνα ἀφεθῶμεν, ἐλεήσωμεν ἵνα πολλαπλασίως ἐλεηθῶμεν· εἰς ἑαυτὸν γὰρ ὁ δι' ἡμᾶς ἐσχάτως πτωχεύσας τὴν ἐλεημοσύνην ἀναδεχόμενος, μεγαλόδωρος ὤν, πολυπλασιάζει τὴν ἀμοιβήν· ἢ τοίνυν

ὅπως ἐκεῖνος μετέδωσε δωρεάν ἀπό τά ἀγαθά του σέ ὅλους, δέν ἔγιναν εὐμενεῖς πρός τούς πλησίον, δέν ἔκαμαν πλησίον τούς μακρινούς μέ τήν εὐεργεσία· ἐξ αἰτίας ἄρα τῆς ἀνομοιότητας αὐτῆς οὔτε γνωρίζει οὔτε δέχεται στόν οἶκο τούς τοιούτους ὁ ἀγαθός. Ἐάν δέ αὐτός εἰπῆ ἔτσι, τά ἴδια περίπου θά εἰποῦν καί ὅσοι ἔζησαν κατά τό παράδειγμά του ἐδῶ καί θά συμβασιλεύσουν ἐκεῖ μαζί του πρός τούς ἐξ αἵματος συγγενεῖς των πού δέν εἶναι παραπλήσιοι στήν ἀρετή μέ αὐτούς.

13 Καί ἄν εἰπῆ κάποιος, ἐγώ εἶμαι παιδί σου, ἐγώ ἤμουν πατέρας σου, ἐγώ ἀδελφός σου· τότε ὁ μέν τελευταῖος θ' ἀκούση ὅτι κανείς δέν εἶναι πατέρας πλήν ἑνός, τοῦ Θεοῦ, ὁ δέ πρῶτος θ' ἀκούση, ἄν ἤσουν δικό μου τέκνο, θά ἤσουν μιμητής μου, τώρα δέ εἶσαι ἐκείνου τοῦ πατρός τέκνο, τοῦ ὁποίου καί τῶν ἐπιθυμιῶν ἤσουν ἐργάτης· φύγε γιά νά μείνης αἰωνίως μέ αὐτόν, διότι ἐγώ δέν σέ γνωρίζω· διότι ὅλα ὅσα εἶναι τοῦ Θεοῦ εἶναι δικά μου, ἐσύ δέ δέν εἶσαι τοῦ Θεοῦ. Τό δικό μου καί τό δικό σου ἔχει ἐκδιωχθῆ τώρα πλέον, ἀφοῦ ἐμεῖς τό ἐμισήσαμε καί στόν ἐκλείψαντα ἐκεῖνον βίον· γι' αὐτό κι' ἐγίναμε κληρονόμοι τῆς βασιλείας αὐτῆς. Ὅπου ὑπῆρχε αὐτός ὁ κατά τούς θείους πατέρες ψυχρός λόγος, τό δικό μου καί τό δικό σου, ἀπουσίαζε ὁ δεσμός τῆς ἀγάπης καί ὁ Χριστός εἶχε ἐκδιωχθῆ· σ' αὐτούς πού τούς κυριαρχοῦσε τότε τό πάθος τοῦτο, προξενοῦσε φιλαυτία, φιλαργυρία, μισαδελφία καί κάθε εἶδος κακίας· τό ἴδιο πάθος τούς καταισχύνει καί τώρα.

14 Ἄς φοβηθοῦμε λοιπόν, ἀδελφοί, αὐτά τά πράγματα, παρακαλῶ· διότι πραγματικά εἶναι φρικτά. Ἄς ρυθμίσωμε τή διαγωγή μας, ὅπως ἀρέσει στό Θεό· ἄς ἀφήσωμε γιά νά ἀφεθοῦμε, ἄς ἐλεήσωμε γιά νά ἐλεηθοῦμε πολλαπλασίως· διότι αὐτός γιά χάρι μας ἐπτώχευσε τελευταῖα, ἀναδεχόμενος στόν

ἔστω τις κατ' ἐκεῖνον πτωχός, καὶ σὺν ἐκείνῳ ζήσεται, ἢ κοινωνείτω τοῖς δι' ἐκεῖνον πτωχοῖς, καὶ διὰ τούτων σωθήσεται. Κτησώμεθα σπλάγχνα οἰκτιρμῶν· δῶμεν οἴκοθεν τεκμήριον τῆς πρὸς τὸν ἀδελφὸν ἀγάπης καὶ τῆς πρὸς τὸν κοινὸν Πατέρα καὶ δεσπότην εὐνοίας. Καιρὸν δὲ τῶν νηστίμων τούτων ἡμερῶν εὐπροσδεκτότερον οὐχ εὑρήσει τις πρὸς τὰ τοιαῦτα· τῇ γὰρ νηστείᾳ συνάψας, τὸν ἔλεον, πᾶν ἁμάρτημα ἀπαλείψει καὶ μετὰ παρρησίας τὰ σωτήρια προσκυνήσει πάθη καὶ τῇ ἀναστάσει τοῦ Χριστοῦ συνευφρανθήσεται καὶ τῆς αἰωνίας ἀπολυτρώσεως τεύξεται.

15 *Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ἑαυτό του τήν ἐλεημοσύνη, ἀπό μεγαλοδωρία πολλαπλασιάζει τήν ἀμοιβή· πρέπει λοιπόν κανείς ἤ νά εἶναι κατά τό παράδειγμά του πτωχός, καί θά ζήση μαζί μ' ἐκεῖνον, ἤ νά ἔχη τά ἀγαθά κοινά μέ τούς γιά ἐκεῖνον πτωχούς, καί δι' αὐτῶν θά σωθῆ. Ἄς ἀποκτήσωμε εὐσπλαγχνία· ἄς δώσωμε αὐτοβούλως δεῖγμα τῆς πρός τόν ἀδελφό ἀγάπης καί τῆς πρός τόν κοινό Πατέρα καί δεσπότη ἀφοσιώσεως. Καταλληλότερο δέ γι' αὐτά καιρό δέν θά εὕρη κανείς ἀπό τίς νηστήσιμες αὐτές ἡμέρες· διότι, ἄν συνάψη μέ τήν νηστεία τήν συμπάθεια, θ' ἀπαλείψη κάθε ἁμάρτημα, θά προσκυνήση μέ παρρησία τά σωτήρια πάθη, θά συνευφρανθῆ μέ τήν ἀνάστασι τοῦ Χριστοῦ καί θά ἐπιτύχη τήν αἰώνια ἀπολύτρωσι.

15 Αὐτήν εἴθε ὅλοι ἐμεῖς νά ἐπιτύχωμε ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν στόν ὁποῖο πρέπει κάθε δόξα, τιμή καί προσκύνησις μαζί μέ τόν ἄναρχο Πατέρα του καί τό πανάγιο καί ἀγαθό καί ζωοποιό Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Γένοιτο.



ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ ΠΑΝΥΠΕΡΑΓΝΟΥ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ

ΟΜΙΛΙΑ ΙΔ'

ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ ΠΑΝΥΠΕΡΑΓΝΟΥ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ

1 

ψαλμῳδὸς προφήτης ἀπαριθμούμενος τὰ τῆς κτίσεως εἴδη καὶ τὴν ἐν αὐτοῖς σοφίαν τοῦ Θεοῦ καθορῶν, τοῦ θαύματος ὅλος γεγονώς, μεταξὺ γράφων ἐξεβόησεν· «ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας». Ἐμοὶ δὲ νῦν, τίς ἐφαρμόσει λόγος πρὸς ὕμνον ἐξαγγέλειν πειρωμένῳ πρὸς δύναμιν τὴν διὰ σαρκὸς ἐπιφάνειαν τοῦ τὰ πάντα κτίσαντος Λόγου; Εἰ γὰρ θαύματος γέμει τὰ ὄντα καὶ τὸ ἐκ μὴ ὄντων ταῦτα προελθεῖν εἰς τὰ ὄντα θεῖον καὶ πολυύμνητον, πόσῳ θαυμασιώτερον καὶ θειότερον καὶ παρ' ἡμῶν ὑμνεῖσθαι ἀναγκαιότερον τὸ γενέσθαι τι τῶν ὄντων

ΟΜΙΛΙΑ 14

ΣΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟ ΤΗΣ ΠΑΝΥΠΕΡΑΓΝΗΣ ΔΕΣΠΟΙΝΑΣ ΜΑΣ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΗΣ ΜΑΡΙΑΣ

1

ψαλμωδός προφήτης, ἀπαριθμώντας τά εἴδη τῆς δημιουργίας καί καθορώντας τήν ἀποτεθειμένη σ' αὐτά σοφία τοῦ Θεοῦ, γεμᾶτος θαυμασμό ὁλόκληρος, ἐκεῖ πού ἔγραφε ἀνεφώνησε· «πόσο μεγαλοπρεπῆ εἶναι τά ἔργα σου, Κύριε, ὅλα τά ἔπλασες μέ σοφία!»[1]. Σ' ἐμένα τώρα, πού ἐπιχειρῶ νά ἐξαγγείλω κατά δύναμι τήν σαρκική ἐπιφάνεια τοῦ Λόγου πού ἔκτισε τά πάντα, ποιός λόγος θά μοῦ ἀρκέση γιά ἐξύμνησι; Ἐάν πραγματικά τά ὄντα εἶναι γεμᾶτα θαῦμα καί τό ὅτι αὐτά προῆλθαν στήν ὕπαρξι ἀπό μή ὄντα εἶναι θεῖο καί πολυύ-

1. Ψαλμ. 103, 24.

Θεόν, καὶ οὐχ ἁπλῶς Θεόν, ἀλλὰ τὸν ὄντως ὄντα Θεόν, καὶ ταῦτα τὴν μηδὲ φυλάξαι δυνηθεῖσαν ἢ βουληθεῖσαν τὸ καθὸ γέγονεν ἡμετέραν φύσιν, καὶ διὰ τοῦτο δικαίως εἰς τὰ κατώτατα τῆς γῆς ἀπωσθεῖσαν; Τοσοῦτο γὰρ μέγα καὶ θεῖον, ἀπόρρητόν τε καὶ ἀνενόητον, τὸ τὴν ἡμετέραν φύσιν γενέσθαι ὁμόθεον καὶ δι' αὐτῆς ἡμῖν χαρισθῆναι τὴν ἐπὶ τὸ κρεῖττον ἐπάνοδον, ὡς καὶ τοῖς ἁγίοις ἀγγέλοις τε καὶ ἀνθρώποις, καὶ αὐτοῖς τοῖς προφήταις, καίτοι διὰ Πνεύματος ὁρῶσιν, ἀνεπίγνωστον ὄντως μένειν, ἀπὸ τοῦ αἰῶνος ὑπάρχον κεκρυμμένον μυστήριον. Καὶ τί λέγω πρὶν εἰς πέρας ἐλθεῖν; Καὶ γεγονὸς γάρ, οὐχ ὅτι γέγονεν, ἀλλ' ὅπως γέγονε, πάλιν μυστήριον μένει, πιστευόμενον ἀλλ' οὐ γινωσκόμενον, προσκυνούμενον ἀλλ' οὐ πολυπραγμονούμενον, καὶ προσκυνούμενόν τε καὶ πιστευόμενον διὰ μόνου τοῦ Πνεύματος· «οὐδεὶς γὰρ δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι ἁγίῳ»[2], καὶ τὸ Πνεῦμά ἐστι δι' οὗ προσκυνοῦμεν καὶ δι' οὗ προσευχόμεθα, φησὶν ὁ ἀπόστολος.

2 *Ὅτι δὲ μὴ τοῖς ἀνθρώποις μόνον, ἀλλὰ καὶ τοῖς ἀγγέλοις καὶ τοῖς ἀρχαγγέλοις αὐτοῖς ἀπερινόητόν ἐστι τὸ μυστήριον τοῦτο, παρίστηστι σαφῶς καὶ τὸ παρ' ἡμῶν ἑορταζόμενον σήμερον. Εὐηγγελίσατο μὲν γὰρ ὁ ἀρχάγγελος τῇ Παρθένῳ τὴν σύλληψιν· τῆς δὲ μαθεῖν ζητούσης τὸν τρόπον καὶ πρὸς αὐτὸν εἰπούσης, «πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;»[3], μηδαμῶς ἔχων ὁ ἀρχάγγελος ἑρμηνεῦσαι τὸν τρόπον, ἐπὶ τὸν Θεὸν καὶ οὗτος κατέφυγε, «Πνεῦμα λέγων ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει*

2. Α' Κορ. 12,3.
3. Ρωμ. 8,26.

μνητο, πόσο θαυμασιώτερο καί θειότερο εἶναι καί πόσο ἀναγκαιότερο εἶναι νά ὑμνῆται ἀπό μᾶς τό νά γίνη κάποιο ἀπό τά ὄντα θεός, καί ὄχι ἁπλῶς θεός, ἀλλά ὁ ὄντως ὢν Θεός, καί μάλιστα ἡ φύσις μας πού δέν μπόρεσε ἤ δέν θέλησε οὔτε τόν χαρακτῆρα κατά τόν ὁποῖο ἔγινε νά φυλάξη καί γι' αὐτό δικαίως ἀπωθήθηκε στά κατώτατα μέρη τῆς γῆς; Διότι τόσο μεγάλο καί θεῖο, τόσο ἀπόρρητο καί ἀκατανόητο εἶναι τό ὅτι ἡ φύσις μας ἔγινε ὁμόθεος καί ὅτι δι' αὐτῆς μᾶς ἐχαρίσθηκε ἡ ἐπάνοδος στό καλύτερο ὥστε τοῦτο καί στούς ἁγίους ἀγγέλους καί στούς ἀνθρώπους, ἀκόμη καί στούς προφῆτες, ἄν καί αὐτοί βλέπουν διά Πνεύματος, νά μένη στήν πραγματικότητα ἀνεπίγνωστο, μυστήριο πού εἶναι κρυμμένο ἀπό τόν αἰῶνα. Καί γιατί ἀναφέρω μόνο πρίν πραγματοποιηθῆ; Διότι καί ὅταν ἔγινε, πάλι μένει μυστήριο, ὄχι βέβαια ὅτι ἔγινε ἀλλά πῶς ἔγινε· μυστήριο πιστευόμενο ἀλλά μή γινωσκόμενο, προσκυνούμενο, ἀλλά μή πολυπραγμονούμενο, προσκυνούμενο δέ καί πιστευόμενο διά μόνου τοῦ Πνεύματος· «διότι κανείς δέν μπορεῖ νά εἰπῆ Κύριον Ἰησοῦ, παρά στό ἅγιο Πνεῦμα»[2], καί τό Πνεῦμα εἶναι αὐτό διά τοῦ ὁποίου προσκυνοῦμε καί διά τοῦ ὁποίου προσευχόμαστε, λέγει ὁ ἀπόστολος[3].

2 Ὅτι δέ τό μυστήριο τοῦτο εἶναι ἀκατανόητο, ὄχι μόνο στούς ἀνθρώπους, ἀλλά καί στούς ἀγγέλους καί τούς ἀρχαγγέλους, ἀποδεικνύει σαφῶς καί τό γεγονός πού ἑορτάζεται ἀπό ἐμᾶς σήμερα[4]. Ὁ ἀρχάγγελος εὐαγγελίσθηκε στήν Παρθένο τή σύλληψι· ὅταν δέ αὐτή ἀναζητοῦσε τόν τρόπο κι' εἶπε πρός αὐτόν, «πῶς θά μοῦ συμβῆ τοῦτο, ἀφοῦ δέν γνωρίζω ἄνδρα;», μή μπορώντας νά ἑρμηνεύση τόν τρόπο κατά κανένα τρόπο ὁ ἀρχάγγελος, κατέφυγε καί αὐτός πρός τόν Θεό, λέγοντας «Πνεῦμα ἅγιο θά ἔλθη σ' ἐσέ καί δύναμις Ὑψίστου θά σέ

4. Λουκᾶ 1.26-38.

σοι». Ὥσπερ γὰρ εἰ καὶ τὸν Μωϋσῆν ἤρετό τις, πῶς ἐκ γῆς ἄνθρωπος, πῶς ἐκ χώματος ὀστᾶ καὶ νεῦρα καὶ σάρξ, πῶς αἰσθητήρια ἐξ ἀναισθήτου, ἀλλὰ καὶ ἐκ τῆς ἀδαμιαίας πλευρᾶς πῶς πάλιν ἄνθρωπος, πῶς τὸ ὀστοῦν ἐξετάθη καὶ διηρέθη καὶ ἡνώθη καὶ συνεδέθη, πῶς ἐκ τοῦ ὀστοῦ σπλάγχνα καὶ χυμοὶ διάφοροι καὶ τ' ἄλλα πάντα; Ὥσπερ οὖν εἴ τις ταῦτα τὸν Μωϋσῆν ἠρώτα, εἶπεν ἂν οὐδὲν πλέον πλὴν ὅτι ὁ Θεός ἐστιν ὁ χοῦν λαβὼν ἀπὸ τῆς γῆς καὶ ποιήσας τὸν Ἀδάμ, καὶ μίαντῶν τοῦ Ἀδὰμ πλευρῶν λαβὼν καὶ τὴν Εὔαν ἐργασάμενος, καὶ τίς μὲν ὁ ποιήσας εἶπε, τὸν δὲ τρόπον πῶς ἐκεῖνα γέγονεν οὐκ εἶπεν· οὕτω καὶ ὁ Γαβριήλ, ὅτι μὲν τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἡ τοῦ Ὑψίστου δύναμις τὸν ἄσπορον ἐργάσονται τόκον, εἶπε, τὸ δὲ πῶς οὐκ εἶπεν. Εἰ γὰρ περὶ τῆς Ἐλισάβετ προϊὼν μνησθείς, ὅτι συνέλαβεν ἐν γήρᾳ καὶ στείρα οὖσα, πλέον ἔσχεν εἰπεῖν οὐδὲν πλὴν ὅτι οὐκ ἀδυνατήσει τῷ Θεῷ πᾶν ῥῆμα, πῶς ἂν ἐπὶ τῆς ἐν παρθενίᾳ συλλαβούσης καὶ τεκούσης ἔσχεν εἰπεῖν τὸν τρόπον;

3 Ἔχει δὲ ὅμως καὶ πλέον τὸ πρὸς τὴν Παρθένον τοῦ ἀρχαγγέλου λεγόμενον, ἀλλ' εἰς μυστηρίου μείζονος λόγον· «ἐπελεύσεται γάρ», φησί, «Πνεῦμα ἅγιον ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι». Διατί; Ὅτι καὶ τὸ γεννώμενον οὐ προφήτης, οὐδ' ἁπλῶς ἄνθρωπος, ὡς ὁ Ἀδάμ, ἀλλ' υἱὸς ὑψίστου κληθήσεται καὶ σωτὴρ καὶ ῥύστης ἀνθρώπων γένους καὶ βασιλεὺς αἰώνιος. Καθάπερ γὰρ τοὺς ἀπὸ κορυφῆς ὄρους ἐκπεσόντας λίθους καὶ μέχρι τῶν ἐσχάτων τῆς

5. Λουκᾶ 1,35.

ἐπισκιάση». Ὅπως δηλαδή, ἄν κανείς ἐρωτοῦσε τόν Μωυσῆ, πῶς κατασκευάζεται ἀπό γῆ ἄνθρωπος, πῶς ἀπό χῶμα προέρχονται ὀστᾶ καί νεῦρα καί σάρκα, πῶς αἰσθητήρια ἀπό ἀναίσθητη ὕλη, πῶς πάλι ἄνθρωπος ἀπό τήν ἀδαμιαία πλευρά, πῶς τό ὀστοῦν διαπλώθηκε καί διαιρέθηκε, ἑνώθηκε καί συνδέθηκε, πῶς ἀπό τό ὀστοῦν προῆλθαν σπλάγχνα καί χυμοί διάφοροι καί ὅλα τά ἄλλα; Ὅπως λοιπόν, ἄν κάποιος ἐρωτοῦσε αὐτά τόν Μωυσῆ, δέν θά ἔλεγε τίποτε περισσότερο πλήν τοῦ ὅτι ὁ Θεός εἶναι πού ἔλαβε χῶμα ἀπό τή γῆ καί ἔπλασε τόν Ἀδάμ, καί μιά ἀπό τίς πλευρές τοῦ Ἀδάμ καί κατασκεύασε τήν Εὔα, ὥστε θά ἔλεγε μέν ποιός εἶναι ὁ κτίστης, ἀλλά τόν τρόπο κατά τόν ὁποῖο ἔγιναν ἐκεῖνα δέν θά τόν ἔλεγε· ἔτσι καί ὁ Γαβριήλ, ὅτι τόν ἄσπορο τόκο θά κατασκευάσουν τό ἅγιο Πνεῦμα καί ἡ δύναμις τοῦ Ὑψίστου, τό εἶπε, τό πῶς ὅμως, δέν τό εἶπε. Ἄν μάλιστα, ὅταν ἐμνημόνευσε προηγουμένως τήν Ἐλισάβετ, ὅτι συνέλαβε σέ γηρατειά ἐνῶ ἦταν στεῖρα, δέν εἶχε νά εἰπῆ τίποτε παραπάνω πλήν τοῦ ὅτι δέν εἶναι τίποτε ἀδύνατο γιά τόν Θεό, πῶς θά μποροῦσε νά εἰπῆ τόν τρόπο στήν περίπτωσι αὐτῆς πού συνέλαβε κι' ἐγέννησε παρθενικά;

3 Ἔχει ὅμως καί κάτι περισσότερο τό λεγόμενο ἀπό τόν ἀρχάγγελο πρός τήν Παρθένο, πού ἐνέχει μεγαλύτερο μυστήριο· «θά ἔλθη», λέγει, «ἅγιο Πνεῦμα σ' ἐσέ καί δύναμις Ὑψίστου θά σ' ἐπισκιάση»[5]. Γιατί; Διότι καί τό γεννώμενο δέν εἶναι προφήτης οὔτε ἁπλῶς ἄνθρωπος, ὅπως ὁ Ἀδάμ, ἀλλά θά ὀνομασθῆ υἱός τοῦ Ὑψίστου, σωτήρ καί λυτρωτής τοῦ ἀνθρωπίνου γένους καί βασιλεύς αἰώνιος. Ὅπως τούς λίθους πού ἐξέπεσαν ἀπό κορυφή ὄρους καί κινοῦνται ἕως τό τέλος τῆς ὑπωρείας τούς διαδέχονται πολλοί κρημνοί, ἔτσι κι' ἐμᾶς, ἀφοῦ

ὑπωρείας κινουμένους, πολλοὶ διαδέχονται κρυμνοί, οὕτως ἡμᾶς ἀπὸ τῆς ἐν τῷ παραδείσῳ θείας ἐντολῆς καὶ τῆς κατ' αὐτὸν μακαρίας διαίτης ἐκπεσόντας καὶ μέχρις ᾅδου καταφερομένους, πολλὰ διεδέξαντο δεινά. Οὐ γὰρ ἀκάνθας καὶ τριβόλους μόνον αἰσθητὰς ἀνέτειλεν ἡ γῆ κατὰ τὴν εἰς τὸν προπάτορα κατάραν, ἀλλὰ πολλῷ μᾶλλον ταῖς πολυειδέσι τῶν πονηρῶν παθῶν ἀκάνθαις καὶ ταῖς δειναῖς τριβόλοις τῆς ἁμαρτίας ἐνεσπάρημεν. Οὐδὲ τὴν λύπην μόνον ἐκείνην ἔσχε τὸ ἡμέτερον γένος, ἣν ἡ προμήτωρ ἐκληρώσατο διὰ τῆς πρὸς αὐτὴν κατάρας, ἐν λύπαις τίκτειν καταψηφισαμένης, ἀλλὰ καὶ πᾶς ὁ βίος ἡμῶν ὀδύνη καὶ λύπη γέγονε σχεδόν.

4 Ἐπεῖδε μέντοι φιλανθρώπως ἐφ' ἡμᾶς ὁ πλάσας ἡμᾶς Θεὸς διὰ σπλάγχνα ἐλέους αὐτοῦ καὶ κλίνας οὐρανοὺς κατῆλθε, καὶ προσλαβόμενος ἐκ Παρθένου ἁγίας τὴν ἡμῶν φύσιν ἀνεκαίνισε καὶ ἐπανήγαγε, μᾶλλον δὲ ἀνήγαγεν εἰς θεῖον καὶ οὐράνιον ὕψος. Τοῦτο δὴ βουληθεὶς καταπρᾶξαι, μᾶλλον δὲ τὴν προαιώνιον αὐτοῦ βουλὴν εἰς τέλος ἀγαγεῖν σήμερον, πέμπει τὸν ἀρχάγγελον Γαβριήλ, ὡς ὁ εὐαγγελιστής φησι Λουκᾶς, «εἰς Ναζαρὲτ πρὸς Παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ, καὶ τὸ ὄνομα τῆς Παρθένου Μαριάμ».

5 Πρὸς Παρθένον μὲν οὖν τὸν ἀρχάγγελον ὁ Θεὸς πέμπει, καὶ ταύτην μένουσαν παρθένον οἰκείαν ποιεῖται μητέρα διὰ μόνου προσρήματος, ἐπειδήπερ, εἴπερ ἐκ σπέρματος συνελήφθη, οὐκ ἂν ἦν καινὸς ἄνθρωπος, οὐδ' ἀναμάρτητος ἦν καὶ τῶν ἁμαρτόντων σωτήρ· ἡ γὰρ τῆς σαρκὸς πρὸς γένεσιν κίνησις, ἀνυποτάκτως ἔχουσα πρὸς τὸν ἡγεμονεύειν ἐν ἡμῖν παρὰ Θεοῦ τεταγμένον νοῦν, οὐκ ἐκτὸς παντάπασιν ἁμαρτίας ἐστί. Διὸ καὶ ὁ Δαβὶδ ἔλεγεν, «ἐν ἀνομίαις συν-

ἐξεπέσαμε ἀπό τή θεία ἐντολή στόν παράδεισο κατεβήκαμε ἕως τόν ἅδη, πολλά δεινά μᾶς εὑρῆκαν διαδοχικά. Διότι δέν εἶναι μόνο ἡ γῆ πού ἀνέπτυξε ἀγκάθια καί τριβόλια αἰσθητά, κατά τήν κατάρα πρός τόν προπάτορα, ἀλλά ἐσπαρθήκαμε κι' ἐμεῖς μέ τά πολυειδῆ ἀγκάθια τῶν πονηρῶν παθῶν καί τά φοβερά τριβόλια τῆς ἁμαρτίας. Καί δέν ἔλαβε τό γένος μας ἐκείνη μόνο τή λύπη τήν ὁποία ἐκληροδότησε ἡ προμήτωρ διά τῆς πρός αὐτήν κατάρας, πού τήν κατεδίκασε νά γεννᾶ μέ λύπη, ἀλλά καί ὅλος ὁ βίος μας ἔγινε σχεδόν ὀδύνη καί λύπη.

4 Ὁ Θεός ὅμως πού μᾶς ἔπλασε ἀπό εὐσπλαγχνία ἐπέβλεψε πρός ἐμᾶς φιλανθρώπως καί ἀφοῦ ἔκλινε τούς οὐρανούς κατέβηκε καί παίρνοντας ἀπό τήν ἁγία Παρθένο τή φύσι μας τήν ἀνακαίνισε καί τήν ἐπανέφερε, μᾶλλον δέ τήν ἀνεβίβασε σέ θεῖο καί οὐράνιο ὕψος. Θέλοντας λοιπόν νά πραγματοποιήση αὐτό, μᾶλλον δέ νά φέρη σέ πέρας τήν προαιώνια βουλή του σήμερα, στέλλει τόν ἀρχάγγελο Γαβριήλ, ὅπως λέγει ὁ εὐαγγελιστής Λουκᾶς, «στή Ναζαρέτ πρός Παρθένο μνηστευμένη μέ ἄνδρα, τοῦ ὁποίου τό ὄνομα ἦταν Ἰωσήφ, ἀπό τό γένος καί τήν πατριά τοῦ Δαβίδ, καί τό ὄνομα τῆς Παρθένου ἦταν Μαριάμ»[6].

5 Στέλλει λοιπόν ὁ Θεός τόν ἀρχάγγελο πρός Παρθένο καί τήν καθιστᾶ μητέρα του μέ μόνη τήν προσφώνησι ἄν καί μένει παρθένος, ἐπειδή βέβαια, ἄν συλλαμβανόταν ἀπό σπέρμα, δέν θά ἦταν νέος ἄνθρωπος οὔτε θά ἦταν ἀναμάρτητος καί σωτήρ τῶν ἁμαρτωλῶν· διότι ἡ κίνησις τῆς σαρκός γιά γέννησι, ἀφοῦ μένει ἀνυπότακτη πρός τόν νοῦ πού εἶναι ταγμένος νά ἡγεμονεύη τῶν λειτουργιῶν μας, δέν εὑρίσκεται ἐντελῶς ἔξω ἀπό τήν ἁμαρτία. Γι' αὐτό καί ὁ Δαβίδ ἔλεγε, «μέ ἀνομίες συνελήφθηκα

6. Λουκᾶ 1,27.

ελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου». Εἰ γοῦν ἐκ σπέρματος ἦν ἡ τοῦ Θεοῦ σύλληψις, οὐκ ἂν ἦν καινὸς ἄνθρωπος, οὐδὲ τῆς καινῆς καὶ μηδαμῶς παλαιουμένης ζωῆς ἀρχηγός· τοῦ γὰρ παλαιοῦ κόμματος ὢν καὶ κληρονόμος ἐκείνου τοῦ πταίσματος, οὐκ ἂν ἠδυνήθη τὸ πλήρωμα ἐν ἑαυτῷ φέρειν τῆς ἀκηράτου θεότητος καὶ πηγὴν ποιῆσαι τὴν σάρκα αὐτοῦ ἁγιασμοῦ ἀνεξάντλητον· ὡς καὶ τῶν προπατόρων ἐκείνων τὸν μολυσμὸν ἀποπλῦναι περιουσίᾳ δυνάμεως καὶ τοῖς ἑξῆς ἀρκεῖν πρὸς ἁγιασμὸν ἅπασι. Διὰ τοῦτο οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ἦλθε καὶ ἔσωσεν ἡμᾶς, συλληφθεὶς καὶ σαρκωθεὶς ἐν μήτρᾳ Παρθένου καὶ μείνας ἀναλλοιώτως Θεός.

6 *Ἔδει δὲ καὶ μάρτυρα τὴν Παρθένον ἔχειν τῆς ἀσπόρου συλλήψεως καὶ συλλήπτορα πρὸς τὰ κατ' οἰκονομίαν τελεσθησόμενα. Τίνα ταῦτα; Τὴν ἐπὶ Βηθλεὲμ ἄνοδον, ἔνθα καὶ ὁ παρὰ τῶν οὐρανίων ἀγγέλων καταγγελόμενός τε καὶ δοξαζόμενος τόκος· τὴν εἰς τὸ ἱερὸν ἔλευσιν, ἔνθα παρὰ Συμεὼν καὶ τῆς Ἄννης ζωῆς καὶ θανάτου Κύριος μαρτυρεῖται τὸ βρέφος· τὴν εἰς Αἴγυπτον ἐξ Ἡρῴδου φυγὴν καὶ τὴν ἐξ Αἰγύπτου κατὰ τὰς ἱερὰς προρρήσεις ἐπάνοδον καὶ τ' ἄλλα ὅσα νῦν καταλέγειν οὐκ εὐχερές. Διὰ ταῦτα μνήστωρ ὁ Ἰωσὴφ παρελήφθη καὶ ὁ ἄγγελος ἐπέμφθη πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα Ἰωσήφ. Τὸ δὲ ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ ἐπ' ἀμφοτέρων νοήσεις· ἄμφω γὰρ ἥ τε Παρθένος καὶ ὁ Ἰωσὴφ εἰς Δαβὶδ τὸ γένος ἀνέφερον.*

7 *«Καὶ τὸ ὄνομα», φησί, «τῆς Παρθένου Μαριάμ· τοῦτο δὲ ἑρ-*

καί μέ ἁμαρτίες μ' ἐκυοφόρησε ἡ μητέρα μου»[7]. Ἐάν λοιπόν ἡ σύλληψις τοῦ Θεοῦ ἦταν ἀπό σπέρμα, δέν θά ἦταν νέος ἄνθρωπος οὔτε ἀρχηγός τῆς νέας καί μή παλαιουμένης καθόλου ζωῆς. Ἄν ἦταν τῆς παλαιᾶς μερίδος καί κληρονόμος ἐκείνου τοῦ πταίσματος, δέν θά μποροῦσε νά φέρη στόν ἑαυτό του τό πλήρωμα τῆς ἄφθαρτης θεότητος καί νά κάμη τήν σάρκα του ἀνεξάντλητη ἁγιασμοῦ, ὥστε καί τῶν προπατόρων ἐκείνων ν' ἀποπλύνη τόν μολυσμό μέ περίσσεια δυνάμεως καί στούς ἐπιγόνους ὅλους νά ἐπαρκῆ γι' ἁγιασμό. Γι' αὐτό δέν ἦλθε ἄγγελος οὔτε ἄνθρωπος, ἀλλ' ὁ ἴδιος ὁ Κύριος ἦλθε καί μᾶς ἔσωσε, πού συνελήφθηκε καί ἐσαρκώθηκε σέ μήτρα Παρθένου κι' ἔμεινε ἀναλλοιώτως Θεός.

6 Ἔπρεπε δέ νά ἔχη καί μάρτυρα τῆς ἄσπορης συλλήψεως τήν Παρθένο καί συνεργό σέ ὅσα ἐπρόκειτο να τελεσθοῦν κατ' οἰκονομία. Ποιά εἶναι αὐτά; Ἡ ἄνοδος στή Βηθλεέμ, ὅπου θά ἐτελεῖτο καί ὁ ἐξαγγελλόμενος καί δοξαζόμενος τοκετός· ἡ προσέλευσις στό ἱερό, ὅπου τό βρέφος μαρτυρεῖται Κύριος ζωῆς καί θανάτου ἀπό τόν Συμεών καί τήν Ἄννα· ἡ φυγή στήν Αἴγυπτο ἐμπρός στόν Ἡρώδη καί ἡ ἐπάνοδος ἀπό τήν Αἴγυπτο κατά τίς ἱερές προφητεῖες καί τά ἄλλα πού δέν εἶναι εὔκολο τώρα νά ἀπαριθμήσω. Γι' αὐτά παρελήφθηκε ὡς μνηστήρ ὁ Ἰωσήφ καί ἐστάλθηκε ὁ ἄγγελος σέ παρθένο μνηστευμένη μέ ἄνδρα ὀνομαζόμενο Ἰώσήφ. Τήν δέ φράσι «ἀπό τόν οἶκο καί τήν πατριά τοῦ Δαβίδ» θά τήν ἐννοήσης καί γιά τούς δύο· διότι τόσο ἡ Παρθένος ὅσο καί ὁ Ἰωσήφ ἀνέφεραν τήν γενεά τους στόν Δαβίδ.

7 Καί τό ὄνομα, λέγει, τῆς Παρθένου ἦταν Μαριάμ, πού

7. Ψαλμ. 50,7.

μηνεύεται Κυρία. Παρίστησι δὲ καὶ τὸ ἀξίωμα τῆς Παρθένου καὶ τὸ βέβαιον τῆς παρθενίας, καὶ τὸ ἐξηλλαγμένον αὐτῆς τοῦ βίου καὶ διὰ πάντων ἠκριβωμένον καὶ ὡς εἰπεῖν παναμώμητον· κυρίως γὰρ οὖσα φερωνύμως παρθένος, πᾶσαν εἶχε τὴν τῆς ἁγνείας παντελῆ παγκτησίαν, παρθένος οὖσα καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν καὶ τὰς τῆς ψυχῆς δυνάμεις καὶ τὰς τοῦ σώματος αἰσθήσεις πάσας μολυσμοῦ παντὸς ὑπερανῳκισμένας πλουτοῦσα καὶ τοσοῦτο κυρίως τε καὶ βεβαίως καὶ ὡς εἰπεῖν κεκυρωμένως καὶ τοῖς πᾶσιν ἀσύλως τὸν ἅπαντα χρόνον, ὥσπερ ἡ κεκλεισμένη πύλη τὰ ἐντεθησαυρισμένα καὶ τὸ ἐσφραγισμένον βιβλίον ὀφθαλμοῖς ἄψαυστα τηρεῖ τὰ ἐγγεγραμμένα· ἐπεὶ καὶ περὶ αὐτῆς γέγραπται, «τοῦτό ἐστι τὸ ἐσφραγισμένον βιβλίον, καὶ αὕτη ἡ πύλη κεκλεισμένη ἔσται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς».

8 Ἀλλὰ καὶ Κυρία πάλιν ἕτερον τρόπον ἡ Παρθένος κατὰ τὴν ἀξίαν, ὡς δεσπόζουσα πάντων, ἅ τε τὸν φύσει τοῦ παντὸς δεσπότην ἐν παρθενίᾳ συλλαβοῦσά τε καὶ τεκοῦσα θείως. Ἔτι γε μὴν Κυρία καὶ ὡς ἐλευθέρα μόνον δουλείας καὶ κυριότητος θείας ἐπειλημμένη, ἀλλὰ καὶ ὡς πηγὴ καὶ ῥίζα τῆς τοῦ γένους ἐλευθερίας, καὶ μάλιστα μετὰ τὸν ἀπόρρητον καὶ χαρμόσυνον τόκον· ἡ γὰρ ἀνδρὶ συζυγεῖσα κυριευομένη μᾶλλόν ἐστιν ἢ κυρία, καὶ μάλιστα μετὰ τὸν περίλυπον καὶ κατώδυνον τόκον, κατὰ τὴν πρὸς τὴν Εὔαν ἀρὰν ἐκείνην, «ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει»· ἧς ἀρᾶς ἡ παρθενομήτωρ, ἐλευθεροῦσα τὸ ἀνθρώπινον γένος, τὴν χαρὰν δι' ἀγγέλου καὶ τὴν εὐλογίαν ἀντιλαμβάνει· εἰσελθὼν γάρ, φησίν, ὁ ἄγγελος, εἶπε πρὸς τὴν Παρθένον, «χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν

ἑρμηνεύεται Κυρία. Τοῦτο δεικνύει καί τό ἀξίωμα τῆς Παρθένου καί τό βέβαιο τῆς παρθενίας, καί τό ἀλλοιώτικο καί προσεκτικό καί κατά κάποιον τρόπο παναμώμητο τοῦ βίου της· διότι, ἐπειδή ἦταν κυρίως παρθένος φερωνύμως, εἶχε τήν πλήρη κατοχή τῆς ἁγνείας, ὄντας παρθένος καί στό σῶμα καί στήν ψυχή, καί κατέχοντας τίς ψυχικές δυνάμεις καί ὅλες τίς αἰσθήσεις τοῦ σώματος ὑπεράνω κάθε μολυσμοῦ, καί μάλιστα τόσο κυρίως καί βεβαίως καί ἐγκύρως καί καθ' ὅλα ἱερῶς ὅλον τόν χρόνο, ὅπως ἡ κλεισμένη πύλη διατηρεῖ τούς θησαυρούς καί τό σφραγισμένο βιβλίο διατηρεῖ τά γραπτά ἀνέγγικτα ἀπό τούς ὀφθαλμούς· διότι περί αὐτῆς ἔχει γραφῆ, τοῦτο εἶναι τό σφραγισμένο βιβλίο καί αὐτή ἡ πύλη θά εἶναι κλεισμένη, καί κανείς δέν πρόκειται νά περάση ἀπό αὐτήν[8].

8 Ἀλλά καί μέ ἄλλον τρόπο πάλι εἶναι Κυρία ἡ Παναγία κατ' ἀξία, ὡς δεσπόζουσα τῶν ὅλων, ἐπειδή συνέλαβε σέ παρθενία κι' ἐγέννησε θείως τόν κατά φύσι δεσπότη τοῦ παντός. Ἐπίσης βέβαια εἶναι Κυρία ὄχι μόνο ὡς ἐλευθέρα ἀπό δουλεία καί μέτοχος θείας κυριότητος, ἀλλά καί ὡς πηγή καί ρίζα τῆς ἐλευθερίας τοῦ γένους, καί μάλιστα μετά τήν ἀπόρρητη καί χαρμόσυνη γέννα. Διότι αὐτή πού συζεύχθηκε μέ ἄνδρα εἶναι μᾶλλον κυριευμένη παρά κυρία, καί μάλιστα μετά τήν περίλυπη καί ὀδυνηρή γέννα, κατά τήν ἀρά ἐκείνη πρός τήν Εὔα, «θά γεννήσης τέκνα μέ λύπη, θά ἐξαρτᾶσαι ἀπό τόν ἄνδρα σου καί αὐτός θά σέ αὐθεντεύη»[9]· γιά νά ἐλευθερώση ἀπό αὐτήν τήν ἀρά τό ἀνθρώπινο γένος ἡ παρθενομήτωρ, λαμβάνει τήν χαρά καί τήν εὐλογία διά τοῦ ἀγγέλου· διότι ὁ ἄγγελος, λέγει, ἀφοῦ εἰσῆλθε εἶπε πρός τήν Παρθένο, «Χαῖρε κεχαριτωμένη, ὁ Κύριος εἶναι

8. Ἰεζ. 44,2.
9. Γεν. 3,16.

γυναιξίν». Οὐ τὸ μέλλον ὁ ἀρχάγγελος προκαταγγέλλει πρὸς αὐτὴν λέγων, «ὁ Κύριος μετὰ σοῦ», ἀλλ' ὅπερ ἀοράτως ἑώρα τηνικαῦτα τελούμενον ἐξαγγέλλει. Καὶ χωρίον μὲν ταύτην θείων καὶ ἀνθρωπίνων χαρισμάτων κατανοῶν καὶ διὰ πάντων κεκοσμημένην τῶν χαρισμάτων τοῦ θείου Πνεύματος, κεχαριτωμένην ἐτύμως ἀνηγόρευσεν, ἔνοικον δὲ λαβοῦσαν ἤδη κατιδὼν τὸν ἐν ᾧ τούτων ἁπάντων οἱ θησαυροί, καὶ προκαθορῶν τὴν ἄλυπον κυοφορίαν καὶ τὸν ἄνευ ὠδίνων ἐσόμενον τόκον, προσευηγγελίσατο ταύτῃ χαίρειν καὶ μόνην εὐλογημένην εἶναι καὶ δεδοξασμένην εἰκότως ἐν γυναιξὶ διετείνατο· τῇ γὰρ ὑπερβολῇ τῆς κατὰ τὴν θεομήτορα Παρθένον δόξης οὐκ ἔστι τις ἑτέρα δεδοξασμένη, κἂν ἐδοξάσθη.

9 Ἀλλ' ἡ Παρθένος ἰδοῦσα καὶ φοβηθεῖσα μή τις ἀπατηλὸς ἄγγελος ᾖ, κλέπτων τὰς κατὰ τὴν Εὔαν ἀπερισκέπτους, τὸν ἀσπασμὸν ἀνεξετάστως οὐ παρεδέξατο· καὶ τὴν συνάφειαν, ἣν οὗτος εὐηγγελίζετο, πρὸς Θεὸν μήπω καθαρῶς γνοῦσα, ἐταράχθη, φησίν, ἐπὶ τῷ λόγῳ αὐτοῦ, ἀπρὶξ ὡς εἰπεῖν καὶ κατάκρας τῆς παρθενίας ἀντεχομένη, «καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος». Διὰ τοῦτο καὶ ὁ ἀρχάγγελος πάραυτα λύει τὸν θεοφιλῆ τῆς κεχαριτωμένης Παρθένου φόβον, πρὸς αὐτὴν εἰπών· «μὴ φοβοῦ Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ». Τίνα χάριν; ἤτις μόνῳ δυνατὴ τῷ τὰ ἀδύνατα δυναμένῳ καὶ μόνῃ σοὶ τετηρημένη πρὸ τῶν αἰώνων. «Ἰδοὺ γὰρ συλλήψῃ ἐν γαστρί»· σύλληψιν γάρ, φησίν, ἀκούουσα, μηδεμίαν ὑπολογίζου τῆς παρθενίας παρατροπήν, μηδὲ διὰ τοῦτο δυσχέραινε καὶ ταράττου· τοῦτο γὰρ τό, ἰδοὺ συλλήψῃ, τηνικαῦτα πρὸς τὴν παρθένον οὖσαν λεγόμενον, σύνδρομον τηνικαῦτα τῇ παρθενίᾳ τὴν σύλληψιν ὑπεδείκνυ.

μαζί σου, εἶσαι εὐλογημένη ἀνάμεσα στίς γυναῖκες». Ὁ ἀρχάγγελος δέν τῆς προαγγέλλει τό μέλλον λέγοντας, ὁ Κύριος εἶναι μαζί σου, ἀλλά ἐξαγγέλλει ὅ,τι ἔβλεπε τότε ἀοράτως νά τελῆται. Καί ἀντιλαμβανόμενος ὅτι αὐτή εἶναι τόπος θείων καί ἀνθρωπίνων χαρισμάτων καί στολισμένη μέ ὅλα τά χαρίσματα τοῦ θείου Πνεύματος, κυριολεκτικῶς τήν ἀναγόρευσε κεχαριτωμένη, βλέποντας δέ ὅτι ἤδη ἔλαβε ἔνοικο αὐτόν στόν ὁποῖο εὑρίσκονται οἱ θησαυροί ὅλων τούτων καί προορώντας τήν ἀνώδυνη κυοφορία καί τήν γέννα πού θά ἐγινόταν χωρίς ὠδῖνες, τῆς ἀπηύθυνε τό «χαίρειν» κι' ἐβεβαίωσε ὅτι εἶναι ἡ μόνη εὐλογημένη καί εὐλόγως δοξασμένη ἀνάμεσα στίς γυναῖκες· διότι κατά τήν ὑπερβολή τῆς δόξας τῆς Θεομήτορος Παρθένου δέν ὑπάρχει ἄλλη δοξασμένη, κι' ἄν ἐδοξάσθηκε.

9 Ἀλλά ἡ Παρθένος, καθώς εἶδε κι' ἐφοβήθηκε μήπως εἶναι κάποιος ἀπατηλός ἄγγελος, πού παραπλανᾶ τίς ἀπερίσκεπτες κατά τό παράδειγμα τῆς Εὔας, δέν ἐδέχθηκε ἀνεξετάστως τόν χαιρετισμό· καί μή γνωρίζοντας ἀκόμη καθαρῶς τόν σύνδεσμο πρός τόν Θεό πού εὐαγγελιζόταν αὐτός, ἐταράχθηκε, λέγει, μέ τόν λόγο του, ἐπιμένοντας σταθερά στήν παρθενία, «καί διαλογιζόταν τί εἴδους ἀσπασμός εἶναι αὐτός». Γι' αὐτό ὁ ἀρχάγγελος διαλύει ἀμέσως τόν θεοφιλῆ φόβο τῆς χαριτωμένης Παρθένου, λέγοντάς της· «μή φοβῆσαι, Μαρία· διότι ἐπέτυχες τήν χάρι τοῦ Θεοῦ». Ποιά χάρι; Αὐτή πού εἶναι δυνατή μόνο σ' αὐτόν πού δύναται τά ἀδύνατα καί ἐφυλάχθηκε πρό τῶν αἰώνων σέ σένα μόνη. «Ἰδού θά συλλάβῃς τέκνο». Ἀκούοντας δέ σύλληψι, λέγει, μή σκεφθῆς καμμιά ἀφαίρεσι τῆς παρθενίας, μή στενοχωρῆσαι καί μή ταράσσεσαι γι' αὐτό· διότι τοῦτο τό «ἰδού θά συλλάβῃς», λεγόμενο τότε πρός αὐτήν πού ἦταν παρθένος, ὑπεδείκνυε πλέον τή σύλληψι ὡς συνοδοιπόρο μέ τήν παρθενία.

10 *«Ἰδοὺ οὖν συλλήψῃ», φησί, «καὶ τέξῃ υἱόν»· ἔχουσα γὰρ ὥσπερ νῦν ἔχεις καὶ μένουσα τὴν παρθενίαν ἀδιαλώβητος, ἔμβρυον ἕξεις καὶ τέξῃ τὸν τοῦ Ὑψίστου Υἱόν· τοῦτο γὰρ καὶ Ἡσαΐας προορῶν ἐκ πολλῶν ἐτῶν προέλεγεν «ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν», καὶ ὅτι, «προσῆλθον πρὸς τὴν προφῆτιν». Πῶς οὖν ὁ προφήτης προσῆλθε πρὸς τὴν προφῆτιν; ὡς νῦν ὁ ἀρχάγγελος πρὸς αὐτήν· ὃ γὰρ νῦν οὗτος εἶδε, τοῦτο ἐκεῖνος προεῖδέ τε καὶ προεῖπεν. Ὅτι δὲ προφῆτις, προφητικὴν ἔχουσα χάριν, ἡ Παρθένος, ἡ ἐν εὐαγγελίῳ πρὸς Θεὸν ᾠδὴ ταύτης παραστήσει τῷ βουλομένῳ.*

11 *Προσῆλθεν οὖν, φησίν, ὁ Ἡσαΐας πρὸς τὴν προφῆτιν, τῷ προβλεπτικῷ πάντως πνεύματι καὶ ἐν γαστρὶ ἔλαβε, πρὶν ἐλθεῖν τῶν ὠδίνων τὸν πόνον, ἐξέφυγε καὶ ἔτεκεν ἄρσεν· ὁ δὲ ἀρχάγγελος νῦν πρὸς αὐτήν, «τέξῃ», φησίν, «υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν (ὃ ἑρμηνεύεται Σωτήρ)· οὗτος γάρ ἔσται μέγας». Εἶπεν οὖν Ἡσαΐας πάλιν, «θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος». Τούτῳ συνῳδὰ νῦν καὶ ὁ ἀρχάγγελος φησίν, «οὗτος ἔσται μέγας, καὶ υἱὸς Ὑψίστου κληθήσεται». (Πῶς δὲ οὐκ εἶπεν, 'ἔστι μέγας καὶ υἱὸς Ὑψίστου', ἀλλ' «ἔσται καὶ κληθήσεται»; ὡς περὶ τοῦ κατὰ Χριστὸν ἀνθρωπίνου ποιούμενος τὸν λόγον), ἅμα καὶ δηλῶν, ὅτι καὶ γνωσθήσεται τοῖς πᾶσι καὶ ὑπὸ τούτων τοιοῦτος ὑπάρχων κηρυχθήσεται, ὡς καὶ τὸν Παῦλον ὕστερον λέγειν ἔχειν, «ὁ Θεὸς ἐφανερώθη ἐν σαρκί, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ». Ἀλλὰ καὶ «δώσει»,*

---

10. Ἡσ. 7,14.
11. Ἡσ. 8,3.
12. Λουκᾶ 1,46-55.

10 «Ἰδού λοιπόν θά συλλάβης καί θά γεννήσης υἱόν»· δηλαδή παραμένοντας ὅπως εἶσαι σήμερα καί διατηρώντας ἀνέπαφη τήν παρθενία σου, θά συλλάβης ἔμβρυο καί θά γεννήσης τόν υἱόν τοῦ Ὑψίστου. Τοῦτο προβλέποντας καί ὁ Ἡσαΐας πρίν ἀπό πολλά χρόνια, ἔλεγε, «ἰδού ἡ Παρθένος θά κυοφορήση καί θά γεννήση υἱόν»[10], καί «προσῆλθα πρός τήν προφήτιδα»[11]. Πῶς λοιπόν ὁ προφήτης προσῆλθε πρός τήν προφήτιδα; Ὅπως τώρα ὁ ἀρχάγγελος πρός αὐτήν· διότι αὐτό πού εἶδε τώρα αὐτός, τοῦτο προεῖδε καί προεῖπε ἐκεῖνος. Ὅτι δέ ἡ Παρθένος ἦταν προφῆτις, πού εἶχε προφητική χάρι, θά τό δείξη στόν θέλοντα ἡ ὠδή της πού περιέχεται στό εὐαγγέλιο[12].

11 Προσῆλθε λοιπόν, λέγει, ὁ Ἡσαΐας πρός τήν προφήτιδα, ἀσφαλῶς μέ τό προβλεπτικό πνεῦμα καί συνέλαβε τέκνο, πρίν ἔλθη ὁ πόνος τῶν ὠδίνων, ἐξέφυγε καί ἐγέννησε ἀρσενικό τέκνο· ὁ δέ ἀρχάγγελος λέγει τώρα πρός αὐτήν, «θά γεννήσης υἱόν καί θά τόν ὀνομάσης Ἰησοῦν, πού ἑρμηνεύεται Σωτήρ· θά εἶναι δέ μέγας». Εἶπε λοιπόν πάλι ὁ Ἡσαΐας, «θαυμαστός σύμβουλος, Θεός ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατήρ τοῦ μέλλοντος αἰῶνος»[13]. Ὁμοίως μέ αὐτόν τώρα λέγει καί ὁ ἀρχάγγελος, «αὐτός θά εἶναι μέγας καί θά ὀνομασθῆ υἱός Ὑψίστου» (πῶς δέ δέν εἶπε, εἶναι μέγας καί υἱός Ὑψίστου, ἀλλά θά εἶναι καί θά ὀνομασθῆ; Τοῦτο συμβαίνει διότι ὡμιλοῦσε περί τοῦ ἀνθρωπίνου προσλήμματος τοῦ Χριστοῦ), ἐνῶ συγχρόνως δηλώνει ὅτι καί θά γνωσθῆ σέ ὅλους καί ἀπό αὐτούς θά κηρυχθῆ ὅτι εἶναι τέτοιας λογῆς, ὥστε ὕστερα νά μπορῆ καί ὁ Παῦλος νά λέγη, «ὁ Θεός ἐφανερώθηκε σέ σάρκα, ἐκηρύχθηκε στά ἔθνη, ἐπιστεύθηκε στόν κόσμο »[14]. Ἀλλά λέγει ἐπίσης, «θά τοῦ

13. Ἡσ. 9,6.
14. Α΄ Τιμ. 3,16.

φησίν, «αὐτῷ Κύριος τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος»· οὗ δὲ ἡ βασιλεία εἰς αἰῶνας οὖσα πέρας οὐκ ἔχει, ὁ Θεός ἐστιν αὐτός. Ἀλλὰ καὶ πατέρα τὸν Δαβὶδ οὗτος ἔχει, οὐκοῦν καὶ ἄνθρωπός ἐστιν ὁ αὐτός, ὡς εἶναι τὸν τεχθησόμενον Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, υἱόν τε ἀνθρώπου καὶ υἱὸν Θεοῦ, παρὰ Θεοῦ καὶ Πατρὸς ὡς ἄνθρωπος τὴν ἀδιάδοχον βασιλείαν λαμβάνοντα, ὡς εἶδε καὶ προανεκήρυξεν ὁ Δανιήλ· «ἐθεώρουν γάρ», φησίν, «ἕως οὗ θρόνοι ἐτέθησαν καὶ Παλαιὸς Ἡμερῶν ἐκάθισε· καὶ ἰδοὺ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ καὶ μέχρι τοῦ Παλαιοῦ τῶν Ἡμερῶν ἔφθασε, καὶ αὐτῷ ἐδόθη ἡ τιμὴ καὶ ἡ ἐξουσία· καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος , καὶ βασιλεῖ ἑτέρῳ οὐχ ὑπολειφθήσεται».

12 Καθέσει δὲ ἐπὶ τὸν θρόνον Δαβὶδ καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακώβ· ἐπειδή περ ὁ μὲν Ἰακὼβ πατριάρχης τῶν θεοσεβῶν ἐστιν ἁπάντων, ὁ δὲ Δαβὶδ πρῶτος ἁπάντων θεοσεβῶς ὁμοῦ καὶ θεαρέστως εἰς τύπον ἐβασίλευσε Χριστοῦ· ὃς πατριαρχίαν τε καὶ βασιλείαν εἰς μίαν οὐράνιον καὶ αἰώνιον συνήγαγεν ἀρχήν. Ἡ δὲ κεχαριτωμένη Παρθένος τῶν οὕτως ἐξαισίων καὶ θείων ὡς ἤκουσε τοῦ ἀρχαγγέλλου πρὸς αὐτὴν ῥημάτων, ὅτι «ὁ Κύριος μετὰ σοῦ», καὶ ἰδοὺ συλλήψῃ καὶ υἱὸν τέξῃ, τὸν βασιλεύοντα τῶν αἰώνων τοῦ Ὑψίστου Υἱόν, «πῶς ἔσται μοι», φησί, «τοῦτο; ἐπεὶ ἄνδρα οὐ γινώσκω». Εἰ γὰρ καὶ πνευματικὸν ἄγαν καὶ σαρκικῶν παθῶν ὑπεραν-ωκισμένον μοι κομίζεις τὸ εὐαγγέλιον, ἀλλὰ σύλληψίν μοι λέγεις ἐν γαστρὶ καὶ κύησιν καὶ τόκον, καὶ τὸ «ἰδοὺ» προστίθης ἐπὶ τῆς συλλήψεως· «πῶς οὖν ἔσται μοι τοῦτο; ἐπεὶ ἄνδρα», φησίν, «οὐ γινώσκω».

δώση ὁ Κύριος τόν θρόνο τοῦ πατρός του Δαβίδ, καί θά βασιλεύση στό γένος τοῦ Ἰακώβ ἐπί αἰῶνες καί τῆς βασιλείας του δέν θά ὑπάρξη τέλος»· αὐτός δέ, τοῦ ὁποίου ἡ βασιλεία ὡς αἰωνία δέν ἔχει τέλος, εἶναι ὁ ἴδιος ὁ Θεός. Ἀλλ' αὐτός ἔχει καί πατέρα τόν Δαβίδ, ἐπομένως εἶναι ὁ ἴδιος καί ἄνθρωπος, ὥστε αὐτός πού θά γεννηθῆ νά εἶναι συγχρόνως Θεός καί ἄνθρωπος, υἱός ἀνθρώπου καί υἱός Θεοῦ, πού ὡς ἄνθρωπος λαμβάνει τήν ἀδιάδοχη βασιλεία ἀπό τό Θεό Πατέρα, ὅπως εἶδε καί προεξήγγειλε ὁ Δανιήλ· «παρατηροῦσα», λέγει, «ἕως ὅτου ἐτοποθετήθηκαν θρόνοι κι' ἐκάθησε ὁ Παλαιός τῶν ἡμερῶν· καί ἰδού κάποιος ὡς υἱός ἀνθρώπου ἐρχόταν ἐπάνω στίς νεφέλες τοῦ οὐρανοῦ καί ἔφθασε μέχρι τῶν Παλαιοῦ τῶν ἡμερῶν, κι' ἐδόθηκε σ' αὐτόν ἡ τιμή καί ἡ ἐξουσία· καί ἡ βασιλεία του εἶναι βασιλεία αἰώνιος καί δέν θά δοθῆ σέ ἄλλον βασιλέα»[15].

12 Θά καθήση δέ στόν θρόνο τοῦ Δαβίδ καί θά βασιλεύση στό γένος τοῦ Ἰακώβ· ἐπειδή βέβαια ὁ μέν Ἰακώβ εἶναι πατριάρχης ὅλων τῶν θεοσεβῶν, ὁ δέ Δαβίδ εἶναι ὁ πρῶτος ἀπό ὅλους πού ἐβασίλευσε θεοσεβῶς μαζί καί θεαρέστως σέ τόπο τοῦ Χριστοῦ, ὁ ὁποῖος συνήνωσε σέ μιά ἀρχή οὐράνια καί αἰώνια τήν πατριαρχία καί τήν βασιλεία. Ἡ δέ χαριτωμένη Παρθένος, μόλις ἤκουσε ἀπό τόν ἀρχάγγελο τά τόσο ἐξαίσια καί θεῖα λόγια, ὅτι ὁ Κύριος εἶναι μαζί σου, καί ἰδού θά συλλάβης καί θά γεννήσης υἱό, λέγει, «πῶς θά μοῦ συμβῆ τοῦτο; Διότι δέν ἔχω σχέσεις μέ ἄνδρα». Διότι ἄν καί μοῦ μεταφέρεις πολύ πνευματικό καί ἀνώτερο σαρκικῶν παθῶν μήνυμα, ἀπό τό ἄλλο μέρος μοῦ ἀναφέρεις σύλληψι στήν γαστέρα καί κυοφορία καί τοκετό, προσθέτεις δέ γιά τή σύλληψι καί τό ἰδού· πῶς λοιπόν θά μοῦ συμβῆ τοῦτο; Διότι, λέγει, δέν ἔχω σχέσεις μέ ἄνδρα.

15. Δαν.

13 Τοῦτό δέ φησιν ἡ Παρθένος οὐκ ἀπιστοῦσα, μαθεῖν δὲ τὸ πρᾶγμα κατὰ τὸ δυνατὸν ὡς ἔχει ζητοῦσα· διὰ τοῦτο καὶ ὁ ἀρχάγγελος πρὸς αὐτήν, «Πνεῦμα», φησίν, «ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ». Ἁγία μὲν γὰρ εἶ σύ, φησί, καὶ κεχαριτωμένη, Παρθένε· Πνεῦμα δὲ πάλιν ἅγιον ἐπελεύσεται ἐπὶ σέ, δι' ἁγιασμοῦ προσθήκης ὑψηλοτέρας ἑτοιμάζον καὶ προκαταρτίζον τὴν ἐν σοὶ θεουργίαν· καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, συνεπιρρωννῦσά τε ἅμα καὶ διὰ τῆς ἐν σοὶ ἐπισκιάσεως καὶ συναφείας ἑαυτῇ μορφοῦσα τὴν ἀνθρωπότητα, ὡς εἶναι τὸ γεννώμενον ἅγιον, Υἱὸν Θεοῦ καὶ δύναμιν Ὑψίστου μεμορφωμένην κατ' ἄνθρωπον· ἰδοὺ γὰρ καὶ Ἐλισάβετ ἡ συγγενής σου στείρα τὸν ἅπαντα διανύσασα βίον, νῦν ἐν γήρᾳ, Θεοῦ βουληθέντος, παραδόξως κυοφορεῖ, ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα.

14 Τί οὖν ἡ κεχαριτωμένη πρὸς ταῦτα Παρθένος; καὶ τὴν σύνεσιν θεία καὶ ἀπαράμιλλος; Πάλιν πρὸς τὸν Θεὸν τρέχει καὶ δι' εὐχῆς πρὸς αὐτὸν ἀνατείνεται, πρὸς τὸν ἀρχάγγελον λέγουσα· εἰ Πνεῦμα καθὰ φῂς ἅγιον ἐπελεύσεται ἐπ' ἐμέ, τὴν ἐμὴν φύσιν ἔτι καθαῖρον καὶ ἐνισχύον δέξασθαί με τὸ σωτήριον κύημα, εἰ δύναμις Ὑψίστου ἐπισκιάσει μοι, μορφοῦσα κατ' ἄνθρωπον ἐν ἐμοὶ τὸν ἐν μορφῇ Θεοῦ ὄντα καὶ δημιουργοῦσα λοχείαν ἄσπορον, εἰ τὸ γεννώμενον ἅγιον καὶ Υἱὸς Θεοῦ καὶ Θεὸς καὶ βασιλεὺς αἰώνιος, οὐ γὰρ ἀδυνατεῖ παρὰ τῷ Θεῷ πᾶν ῥῆμα, «ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμα σου». Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος, λιπὼν ἐν τῇ γαστρὶ ταύτης σώματι συνημμένον τὸν τοῦ παντὸς ποιητὴν καὶ διὰ τῆς ἐν αὐτῇ ταύτης συναφείας, ᾗ διηκόνησε, προξενήσας τῷ κόσμῳ τὴν σωτηρίαν. Οὕτω δὲ καὶ Ἡσαΐας δι' ὧν ἤδη καὶ μακαρίως ἠξιώθη

13 Λέγει δέ τοῦτο ἡ Παρθένος, ὄχι ἀπό ἀπιστία, ἀλλ' ἐπειδή ἐζητοῦσε νά μάθη κατά τό δυνατό πῶς ἔχει τό πρᾶγμα· γι' αὐτό καί ὁ ἀρχάγγελος λέγει πρός αὐτή, «Πνεῦμα ἅγιο θά ἔλθη σ' ἐσένα καί δύναμις τοῦ Ὑψίστου θά σ' ἐπισκιάση· γι' αὐτό καί τό ἅγιο πού θά γεννηθῆ θά ὀνομασθῆ Υἱός Θεοῦ». Ἁγία βέβαια εἶσαι ἐσύ, λέγει, καί χαριτωμένη, Παρθένε· Πνεῦμα δέ πάλι ἅγιο θά ἔλθη σ' ἐσένα, πού θά ἑτοιμάση καί καταρτίση τήν θεουργία μέσα σου μέ ὑψηλοτέρα προσθήκη ἁγιασμοῦ· καί θά σέ ἐπισκιάση δύναμις Ὑψίστου, ἡ ὁποία συγχρόνως θά σέ ἐνδυμαμώνη καί διά τῆς ἐπισκιάσεως σ' ἐσένα καί τῆς συναφείας μέ τόν ἑαυτό της θά μορφώνη τήν ἀνθρωπότητα, ὥστε τό γεννώμενο νά εἶναι ἅγιο, Υἱός Θεοῦ καί δύναμις Ὑψίστου μορφωμένη κατά ἄνθρωπο. Διότι ἐξ ἄλλου ἰδού καί ἡ Ἐλισάβετ ἡ συγγενής σου, πού ἐπέρασε ὅλον τόν βίο της στείρα, τώρα μέ τήν βούλησι τοῦ Θεοῦ σέ γηρατειά παραδόξως κυοφορεῖ, διότι κανένα πρᾶγμα δέν εἶναι ἀδύνατο γιά τόν Θεό.

14 Τί πράττει λοιπόν πρός αὐτά ἡ χαριτωμένη Παρθένος, ἡ θεία κατά τήν σύνεσι καί ἀπαράμιλλη; Πάλι τρέχει πρός τόν Θεό καί ἀπευθύνεται πρός αὐτόν μέ εὐχή λέγοντας πρός τόν ἀρχάγγελο· ἄν, ὅπως λέγεις, ἔλθη σ' ἐμένα ἅγιο Πνεῦμα, γιά νά μέ καθαρίση περισσότερο καί νά μέ δυναμώση νά δεχθῶ τό σωτήριο ἔμβρυο, ἄν μ' ἐπισκιάση δύναμις τοῦ Ὑψίστου πού θά μορφώση μέσα μου κατά τόν ἄνθρωπο αὐτόν πού φέρει τήν μορφή τοῦ Θεοῦ καί θά δημιουργήση ἄσπορη λοχεία, ἄν τό γεννώμενο θά εἶναι ἅγιο καί Υἱός Θεοῦ καί Θεός καί βασιλεύς αἰώνιος, βέβαια τίποτε δέν εἶναι ἀδύνατο γιά τόν Θεό, «ἰδού ἐγώ ἡ δούλη τοῦ Κυρίου, ἄς γίνη σύμφωνα μέ τό λόγο σου». Κι' ἔφυγε ἀπό ἐκεῖ ὁ ἄγγελος, ἀφοῦ ἄφησε στήν γαστέρα της τόν ποιητή τοῦ σύμπαντος συνημμένο μέ σῶμα καί ἀφοῦ μέ τήν συνάφεια αὐτή, πού ἐξυπηρέτησε, προξένησε τήν σωτηρία τοῦ

παθεῖν ἐναργῶς προϋπέγραψεν. Οὐ γὰρ ἀμέσως ἑώρακε τὸν Σεραφεὶμ ἐκ τοῦ κατ' οὐρανὸν νοητοῦ θυσιαστηρίου τὸν ἄνθρακα λαβόντα· διὰ γὰρ τῆς λαβίδος τοῦτον ἔλαβεν ὁ Σεραφείμ, δι' ἧς καὶ τῶν αὐτοῦ χειλέων ἥψατο, τὴν κάθαρσιν διδούς. Τοῦτο δ' ἦν τὸ τῆς λαβίδος ἐκείνῳ τῷ μεγάλῳ θεάματι ταὐτόν, ὃ Μωσῆς ἑώρακε, βάτον ἐκ πυρὸς ἡμμένην καὶ μὴ κατακαιομένην.

15 Τίς δ' οὐκ οἶδεν, ὡς ἡ παρθενομήτωρ ἐκείνη τε ἡ βάτος καὶ αὕτη ἡ λαβίς ἐστιν, ἐν ἑαυτῇ τὸ θεῖον πῦρ ἀπυρπολύτως συλλαβοῦσα, κάνταῦθα διακονήσαντος ἀρχαγγέλου τῇ συλλήψει, καὶ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου δι' αὐτῆς συνάψαντος τῷ ἀνθρωπείῳ γένει καὶ διὰ τῆς ἀπορρήτου ταύτης συναφείας ἡμᾶς περικαθάραντος; Οὐκοῦν ἡ παρθενομήτωρ αὕτη μόνη μεθόριόν ἐστι κτιστῆς καὶ ἀκτίστου φύσεως· καὶ αὐτὴν εἴσονται τοῦ ἀχωρήτου χώραν ὅσοι δὴ γινώσκουσι Θεὸν καὶ αὐτὴν ὑμνήσουσι μετὰ Θεὸν ὅσοι τὸν Θεὸν ὑμνοῦσιν. Αὕτη καὶ τῶν πρὸ αὐτῆς αἰτία καὶ τῶν μετ' αὐτὴν προστάτις καὶ τῶν αἰωνίων ἀγαθῶν πρόξενος. Αὕτη τῶν προφητῶν ὑπόθεσις, τῶν Ἀποστόλων ἀρχή, τῶν μαρτύρων ἑδραίωμα, τῶν διδασκάλων κρηπίς. Αὕτη τῶν ἐπὶ γῆς ἡ δόξα, τῶν κατ' οὐρανὸν ἡ τερπνότης, τὸ πάσης κτίσεως ἐγκαλλώπισμα. Αὕτη καταρχὴ καὶ πηγὴ καὶ ρίζα τῆς ἀποκειμένης ἡμῖν ἐν οὐρανοῖς ἐλπίδος.

16 Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ταῖς αὐτῆς ὑπὲρ ἡμῶν πρεσβείαις εἰς δόξαν τοῦ πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντος καὶ ἐπ' ἐσχάτων αἰώνων ἐξ αὐτῆς σαρκωθέντος Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κόσμου. Ἔτσι καί ὁ Ἡσαΐας προεικόνισε ἐναργῶς μέ ὅσα ἀξιώθηκε ἤδη μακαρίως νά πάθη. Διότι αὐτός δέν εἶδε τόν Σεραφείμ νά παίρνη ἀμέσως τόν ἄνθρακα ἀπό τό νοητό θυσιαστήριο τοῦ οὐρανοῦ· τοῦτον τόν ἐπῆρε ὁ Σεραφείμ μέ τήν λαβίδα, μέ τήν ὁποία ἔγγισε καί τά χείλη του, δίδοντας τήν κάθαρσι. Αὐτή ἡ ἐμπειρία τῆς λαβίδας ἦταν τό ἴδιο μ' ἐκεῖνο τό μεγάλο θέαμα πού εἶδε ὁ Μωυσῆς, μιά βάτο πού ἦταν ἀναμμένη μέ πῦρ καί δέν κατακαιόταν.

15 Ποιός δέν γνωρίζει ὅτι ἐκείνη ἡ βάτος καί αὐτή ἡ λαβίδα ἦσαν σάν ἡ παρθενομήτωρ, πού συνέλαβε μέσα της τό θεῖο πῦρ ἀπυρπολήτως, ἀφοῦ καί ἐδῶ ἀρχάγγελος ἐμεσίτευε στήν σύλληψι καί συνῆνωνε δι' αὐτῆς τόν αἴροντα τήν ἁμαρτία τοῦ κόσμου μέ τό ἀνθρώπινο γένος καί μέ τήν ἀπόρρητη συνάφεια μᾶς ἐξάγνισε; Ἐπομένως αὐτή ἡ παρθενομήτωρ εἶναι ἡ μόνη μεθόριο κτιστῆς καί ἄκτιστης φύσεως· ὅσοι βέβαια γνωρίζουν τό Θεό θά ἀναγνωρίσουν καί αὐτήν ὡς χώρα τοῦ ἀχωρήτου καί αὐτήν θά ὑμνήσουν μετά τόν Θεό ὅσοι ὑμνοῦν τόν Θεό. Αὐτή εἶναι καί αἰτία τῶν πρίν ἀπό αὐτή καί προστάτις τῶν μετά ἀπό αὐτή καί πρόξενος τῶν αἰωνίων ἀγαθῶν. Αὐτή εἶναι ὑπόθεσις τῶν προφητῶν, ἀρχή τῶν Ἀποστόλων, ἑδραίωμα τῶν μαρτύρων, κρηπῖδα τῶν διδασκάλων. Αὐτή εἶναι ἡ δόξα τῶν ἐπί γῆς, ἡ τερπνότης τῶν οὐρανίων, τό ἐγκαλλώπισμα ὅλης τῆς κτίσεως. Αὐτή εἶναι ἡ καταρχή, ἡ πηγή καί ἡ ρίζα τῆς ἀποθησαυρισμένης γιά μᾶς ἐλπίδος στούς οὐρανούς.

16 Αὐτήν τήν ἐλπίδα εἴθε ν' αποκτήσωμε ὅλοι ἐμεῖς μέ τίς δικές της προσβεῖες γιά μᾶς, σέ δόξα τοῦ πρό αἰώνων γεννηθέντος ἀπό τόν Πατέρα καί σαρκωθέντος κατά τούς τελευταίους αἰῶνες ἀπό αὐτήν Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας. Σ' αὐτόν πρέπει κάθε δόξα, τιμή καί προσκύνησις, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Γένοιτο.


Η ΒΑΪΟΦΟΡΟΣ



ΟΜΙΛΙΑ ΙΕ'

ΕΚΦΩΝΗΘΕΙΣΑ ΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΒΑΙΩΝ

1 

αιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι», διὰ τοῦ Ἡσαΐου εἶπεν ὁ Θεός. Καλὸν οὖν σήμερον τὸ ἀποστολικὸν ἐκεῖνο πρὸς τὴν ὑμετέραν ἀγάπην εἰπεῖν· «ἰδοὺ καιρὸς εὐπρόσδεκτος, ἰδοὺ ἡμέρα σωτηρίας· ἀποθώμαθα οὖν τὰ ἔργα τοῦ σκότους καὶ ἐργαζώμεθα τὰ ἔργα τοῦ φωτός, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν». Ἐγγίζει γὰρ ἡ τῶν σωτηρίων τοῦ Χριστοῦ παθημάτων ἀνάμνησις καὶ τὸ καινὸν καὶ μέγα καὶ πνευματικὸν Πάσχα, τὸ τῆς ἀπαθείας βραβεῖον, τὸ τοῦ μέλλοντος αἰῶνος προοίμιον. Καὶ προκηρύττει τοῦτο Λάζαρος

ΟΜΙΛΙΑ 15

ΕΚΦΩΝΗΘΗΚΕ ΤΗΝ ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΙΩΝ

1 

έ καιρό εὐνοίας σέ ἐπήκουσα καί σέ ἡμέρα σωτηρίας σ' ἐβοήθησα», εἶπε ὁ Θεός διά τοῦ Ἡσαΐα[1]. Καλό λοιπόν εἶναι νά εἰπῶ σήμερα τό ἀποστολικό ἐκεῖνο πρός τήν ἀγάπη σας· «ἰδού καιρός εὐνοίας, ἰδού ἡμέρα σωτηρίας· ἄς ἀπορρίψωμε λοιπόν τά ἔργα τοῦ σκότους καί ἄς ἐκτελέσωμε τά ἔργα τοῦ φωτός, ἄς περιπατήσωμε μέ σεμνότητα, σάν σέ ἡμέρα»[2]. Διότι προσεγγίζει ἡ ἀνάμνησις τῶν σωτηριωδῶν παθημάτων τοῦ Χριστοῦ καί τό νέο καί μέγα καί πνευματικό Πάσχα, τό βραβεῖο τῆς ἀπαθείας, τό προοίμιο τοῦ μέλλοντος αἰῶνος.

1. Ἡσ. 49,8.
2. Β΄ Κορ. 6,2. Ρωμ. 13,12.

ἐκ τῶν ᾅδου κευθμώνων ἐπανελθὼν καὶ φωνῇ καὶ προστάγματι μόνῳ Θεοῦ, τοῦ ζωῆς ἔχοντος καὶ θανάτου τὴν ἐξουσίαν, τετραήμερος ἐκ νεκρῶν ἀναστάς, καὶ προανυμνοῦσι παῖδες καὶ λαὸς ἄκακος ἐπιπνοίᾳ τοῦ θείου Πνεύματος τὸν ἐκ θανάτου λυτρούμενον, τὸν ἐξ ᾅδου ψυχὰς ἀνάγοντα, τὸν ψυχῇ καὶ σώματι ζωὴν ἀΐδιον χαριζόμενον.

2 Εἴ τις οὖν ἐθέλει ζωὴν ἀγαπᾶν ἡμέρας ἰδεῖν ἀγαθάς, παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον· ἐκκλινάτω ἀπὸ κακοῦ καὶ ποιησάτω τὸ ἀγαθόν. Κακὸν οὖν γαστριμαργία καὶ μέθη καὶ ἀσωτία· κακὸν φιλαργυρία, πλεονεξία καὶ ἀδικία· κακὸν κενοδοξία, θρασύτης καὶ ὑπερηφανία. Ἐκκλινάτω οὖν πᾶς ἀπὸ τῶν τοιούτων κακῶν καὶ ἐργαζέσθω τὰ ἀγαθά. Τίνα ταῦτα; τὴν ἐγκράτειαν, τὴν νηστείαν, τὴν σωφροσύνην, τὴν δικαιοσύνην, τὴν ἐλεημοσύνην, τὴν μακροθυμίαν, τὴν ἀγάπην, τὴν ταπείνωσιν, ἵνα μεταλάβωμεν ἀξίως τοῦ τυθέντος ὑπὲρ ἡμῶν ἀμνοῦ τοῦ Θεοῦ καὶ λάβωμεν ἐντεῦθεν τὸν ἀρραβῶνα τῆς ἀφθαρσίας καὶ φυλάξωμεν παρ' ἑαυτοῖς εἰς πληροφορίαν τῆς ἐν οὐρανοῖς ἡμῖν ἐπηγγελμένης κληρονομίας. Ἀλλὰ δυσάνυστον τὸ ἀγαθὸν καὶ αἱ ἀρεταὶ δυσκολώτεραί εἰσι τῶν κακιῶν; Ἐγὼ μὲν οὐχ ὁρῶ τοῦτο· καὶ γὰρ πλείους αὐτόθεν ὑφίσταται πόνους ὁ μέθυσος καὶ ἀκρατὴς τοῦ ἐγκρατοῦς καὶ ὁ ἀκόλαστος τοῦ σωφρονοῦντος καὶ ὁ σπεύδων πλουτεῖν τοῦ ἐν αὐταρκείᾳ ζῶντος καὶ ὁ δόξαν ἑαυτῷ περιθέσθαι ζητῶν τοῦ ἐν ἀφανείᾳ διάγοντος· ἀλλ' ἐπεὶ διὰ τὴν ἡμετέραν ἡδυπάθειαν δυσκολώτεραι ἡμῖν φαίνονται αἱ ἀρεταί, βιασώμεθα ἡμᾶς αὐτούς·

3. Α΄ Πέτρ. 3,10 ἑ. Ψαλμ. 33,13-15.

Καί τό προκηρύσσει ὁ Λάζαρος πού ἐπανῆλθε ἀπό τά βάραθρα τοῦ ἅδη, ἀφοῦ ἀναστήθηκε ἀπό τούς νεκρούς τήν τετάρτη ἡμέρα μέ μόνο τόν λόγο καί τό πρόσταγμα τοῦ Θεοῦ, πού ἔχει τήν ἐξουσία ζωῆς καί θανάτου, καί προανυμνοῦν παιδιά καί πλήθη λαοῦ ἄκακα μέ τήν ἔμπνευσι τοῦ θείου Πνεύματος αὐτόν πού λυτρώνει ἀπό τόν θάνατο, πού ἀνεβάζει τίς ψυχές ἀπό τόν ἅδη, πού χαρίζει ἀΐδια ζωή στήν ψυχή καί τό σῶμα.

2 Ἄν λοιπόν κανείς θέλη ν' ἀγαπᾶ τή ζωή, νά ἰδῆ ἀγαθές ἡμέρες, ἄς φυλάττη τήν γλῶσσα του ἀπό κακό καί τά χείλη του ἄς μή προφέρουν δόλο· ἄς ἐκκλίνη ἀπό τό κακό καί ἄς πράττη τό ἀγαθό[3]. Κακό λοιπόν εἶναι ἡ γαστριμαργία, ἡ μέθη καί ἡ ἀσωτία· κακό εἶναι ἡ φιλαργυρία, ἡ πλεονεξία καί ἡ ἀδικία· κακό εἶναι ἡ κενοδοξία, ἡ θρασύτης καί ἡ ὑπερηφάνεια. Ἄς ἀποφύγη λοιπόν ὁ καθένας τέτοια κακά καί ἄς ἐπιτελῆ τά ἀγαθά. Ποιά εἶναι αὐτά; Ἡ ἐγκράτεια, ἡ νηστεία, ἡ σωφροσύνη, ἡ δικαιοσύνη, ἡ ἐλεημοσύνη, ἡ μακροθυμία, ἡ ἀγάπη, ἡ ταπείνωσις. Ἄς ἐπιτελοῦμε λοιπόν αὐτά, γιά νά μεταλάβωμε ἀξίως τοῦ θυσιασθέντος γιά χάρι μας ἀμνοῦ τοῦ Θεοῦ καί ἄς λάβωμε ἀπό αὐτόν τόν ἀρραβῶνα τῆς ἀφθαρσίας γιά νά τόν φυλάξωμε κοντά μας σ' ἐπιβεβαίωσι τῆς ὑπεσχημένης πρός ἐμᾶς κληρονομίας στούς οὐρανούς. Ἀλλά εἶναι μήπως δυσκατόρθωτο τό ἀγαθό καί οἱ ἀρετές εἶναι δυσκολώτερες ἀπό τίς κακίες; Ἐγώ πάντως δέν τό βλέπω· διότι περισσοτέρους πόνους ὑφίσταται ἀπό ἐδῶ ὁ μέθυσος καί ὁ ἀκρατής ἀπό τόν ἐγκρατῆ, ὁ ἀκόλαστος ἀπό τόν σώφρονα, ὁ ἀγωνιζόμενος νά πλουτήση ἀπό τόν ζῶντα μέ αὐτάρκεια, αὐτός πού ἐπιζητεῖ ν' ἀποκτήση δόξα ἀπό τόν διάγοντα σέ ἀφάνεια· ἀλλ' ἐπειδή λόγω τῆς ἡδυπαθείας μας οἱ ἀρετές μᾶς φαίνονται δυσκολώτερες, ἄς βιάσωμε τούς ἑαυτούς

«βιαστὴ γάρ ἐστι», φησὶν ὁ Κύριος, «ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν».

3 *Σπουδῆς οὖν ἡμῖν πᾶσι χρεία καὶ προσοχῆς, ἐνδόξοις τε καὶ ἀδόξοις, ἄρχουσι καὶ ἀρχομένοις, πλουσίοις καὶ πένησιν, ὥστε τὰ πονηρὰ πάθη ταῦτα τῆς οἰκείας ἀπώσαθαι ψυχῆς καὶ ἀντεισοικίσαι ταύτῃ τὸν τῶν ἀρετῶν κατάλογον. Καὶ ὁ γεωργὸς γὰρ καὶ ὁ σκυτοτόμος καὶ ὁ οἰκοδόμος καὶ ὁ ράπτης καὶ ὁ ὑφαντής, καὶ ἁπλῶς πᾶς ὁ δι' οἰκείων πόνων καὶ ἐκ τῆς τῶν χειρῶν ἐργασίας ποριζόμενος τὸ ζῆν, ἐὰν τὴν ἐπιθυμίαν τοῦ πλούτου καὶ τῆς δόξης καὶ τῆς τρυφῆς ἀπὸ τῆς οἰκείας ἐκβάλωσι ψυχῆς, ὄντως μακάριοι· οὗτοί γάρ εἰσιν οἱ πτωχοί, ὧν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, διὸ καὶ διὰ τοὺς τοιούτους ὁ Κύριος, «μακάριοι», φησίν, «οἱ πτωχοὶ τῷ πνεύματι». Πτωχοὶ δέ εἰσι τῷ πνεύματι οἱ διὰ τὸ ἀκόμπαστον καὶ ἀφιλόδοξον καὶ ἀφιλήδονον τοῦ ἑαυτῶν πνεύματος, ἤτοι τῆς ψυχῆς, ἢ ἑκούσιον καὶ τὴν ἐκτὸς ἔχοντες πτωχείαν ἢ γενναίως ταύτην φέροντες, κἂν ἀκούσιος ᾖ. Οἱ δὲ πλουτοῦντες καὶ εὐπαθοῦντες καὶ τῆς προσκαίρου δόξης ἀπολαύοντες, καὶ ἁπλῶς οἱ τῶν τοιούτων ἐπιθυμηταὶ τυγχάνοντες, δεινοτέροις πάθεσι περιπαρήσονται καὶ εἰς μείζους καὶ πλείους καὶ δυσχερεστέρας ἐμπεσοῦνται παγίδας τοῦ διαβόλου· τὴν γὰρ ἐπιθυμίαν τοῦ πλουτεῖν ὁ πλουτήσας οὐκ ἀποτίθεται, ἀλλ' αὔξει μᾶλλον, πλειόνων ἢ πρότερον ὀρεγόμενος. Οὕτω καὶ ὁ φιλήδονος καὶ ὁ φίλαρχος καὶ ὁ ἄσωτος καὶ ὁ ἀκόλαστος, αὔξουσι μᾶλλον ταύτας, ἀλλ' οὐκ ἀποβάλλονται. Οἱ δὲ ἄρχοντες καὶ οἱ ἔνδοξοι προσλαμβάνουσι καὶ δύναμιν, ὥστε μείζους ἐκτελεῖν ἀδικίας καὶ ἁμαρτίας.*

---

4. Ματθ. 11,12.

μας· διότι ὁ Κύριος λέγει «ἡ βασιλεία τοῦ Θεοῦ εἶναι βιαστή καί οἱ βιασταί τήν ἁρπάζουν»[4].

3 Χρειαζόμαστε λοιπόν ὅλοι προσπάθεια καί προσοχή, ἔνδοξοι καί ἄδοξοι, ἄρχοντες καί ἀρχόμενοι, πλούσιοι καί πτωχοί, ὥστε ν' ἀπομακρύνωμε ἀπό τήν ψυχή μας τά πονηρά αὐτά πάθη καί ἀντί αὐτῶν νά εἰσαγάγωμε σ' αὐτήν ὅλη τή σειρά τῶν ἀρετῶν. Πραγματικά ὁ γεωργός καί ὁ σκυτοτόμος, ὁ οἰκοδόμος καί ὁ ράπτης, ὁ ὑφαντής καί γενικῶς ὁ καθένας πού ἐξασφαλίζει τή ζωή του μέ τούς κόπους καί τήν ἐργασία τῶν χεριῶν του, ἐάν ἀποβάλουν ἀπό τήν ψυχή τους τήν ἐπιθυμία τοῦ πλούτου καί τῆς δόξας καί τῆς τρυφῆς, θά εἶναι μακάριοι· διότι αὐτοί εἶναι οἱ πτωχοί γιά τούς ὁποίους προορίζεται ἡ βασιλεία τῶν οὐρανῶν, καί γι' αὐτούς εἶπε ὁ Κύριος, «μακάριοι εἶναι οἱ πτωχοί κατά τό πνεῦμα»[5]. Πτωχοί δέ κατά τό πνεῦμα εἶναι αὐτοί πού λόγω τοῦ ἀκαυχήτου καί ἀφιλοδόξου καί ἀφιληδόνου τοῦ πνεύματος, δηλαδή τῆς ψυχῆς, ἤ ἔχουν ἐκουσίαν καί τήν ἐξωτερική πτωχεία ἤ τήν βαστάζουν γενναίως, ἔστω καί ἄν εἶναι ἀκουσία. Αὐτοί ὅμως πού πλουτοῦν καί εὐημεροῦν καί ἀπολαύουν τήν πρόσκαιρη δόξα καί γενικῶς ὅσοι εἶναι ἐπιθυμηταί αὐτῶν τῶν καταστάσεων θά περιπέσουν σέ δεινότερα πάθη καί θά ἐμπέσουν σέ μεγαλύτερες, περισσότερες καί δυσχερέστερες παγίδες τοῦ Διαβόλου· διότι αὐτός πού ἐπλούτησε δέν ἀποβάλλει τήν ἐπιθυμία τοῦ πλουτισμοῦ, ἀλλά μᾶλλον τήν αὐξάνει, ὀρεγόμενος περισσότερα ἀπό προηγουμένως. Ἔτσι καί ὁ φιλήδονος καί ὁ φίλαρχος καί ὁ ἄσωτος καί ὁ ἀκόλαστος αὐξάνουν μᾶλλον τίς ἐπιθυμίες των παρά τίς ἀποβάλλουν. Οἱ δέ ἄρχοντες καί οἱ ἀξιωματοῦχοι προσλαμβάνουν καί δύναμι, ὥστε νά ἐκτελοῦν ἀδικίες καί ἁμαρτίες.

5. Ματθ. 5,3.

4 *Διὰ τοῦτο δύσκολόν ἐστιν ἄρχοντα σωθῆναι καὶ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. «Καὶ πῶς», φησί, «δύνασθε πιστεύειν εἰς ἐμέ, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ μὴ ζητοῦντες;». Ἀλλὰ μὴ θορυβείσθω εἴ τις εὔπορος ἢ ἔνδοξος ἢ ἄρχων ἐστί· δύναται γὰρ οὗτος, ἐὰν θέλῃ, τὴν δόξαν τοῦ Θεοῦ ζητεῖν καὶ βιάζεσθαι ἑαυτόν, ὥστε τὴν πρὸς τὰ χείρω ροπὴν ἀνακόπτων μεγάλας ἀρετὰς ἐργάσασθαι καὶ μεγάλας ἀπῶσασθαι κακίας, οὐκ ἀφ' ἑαυτοῦ μόνον, ἀλλὰ καὶ ἀπὸ πολλῶν ἑτέρων τῶν μὴ βουλομένων· καὶ γὰρ δύναται μὴ μόνον δικαιοπραγεῖν καὶ σωφρονεῖν, ἀλλὰ καὶ τοὺς ἀδικεῖν καὶ ἀκολασταίνειν βουλομένους κωλύειν πολυτρόπως, καὶ μὴ μόνον εὐπειθῆ παρέχειν ἑαυτὸν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ καὶ τοῖς κήρυξιν αὐτοῦ, ἀλλὰ καὶ τοὺς ἀπειθεῖν βουλομένους ὑποτάσσειν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ καὶ τοῖς κατὰ Χριστὸν προεστηκόσι ταύτης, μὴ μόνον διὰ τῆς δυνάμεως καὶ ἐξουσίας ἧς ἔλαχε παρὰ Θεοῦ, ἀλλὰ καὶ τὸ τύπος γίνεσθαι τοῖς ὑποδεεστέροις ἐν πᾶσιν ἀγαθοῖς· ἐξομοιοῦται γὰρ τῷ ἄρχοντι τὸ ἀρχόμενον.*

5 *Σπουδῆς οὖν χρεία καὶ βίας καὶ προσοχῆς πᾶσι μέν, οὐκ ἐπίσης δέ· τοῖς γὰρ ἐν δόξῃ καὶ πλούτῳ καὶ ἀρχῇ καθεστῶσι καὶ τοῖς περὶ λόγους καὶ περὶ τὴν κτῆσιν τῆς κατ' αὐτοὺς σοφίας ἐσπουδακόσιν, εἴπερ σωθῆναι βούλοιντο, πλείονος χρεία βίας τε καὶ σπουδῆς, ἐπεὶ καὶ πεφύκασιν εἶναί πως δυσπειθέστεροι. Τοῦτο δὴ καὶ ἀπὸ τῶν χθὲς καὶ σήμερον ἀναγνωσθέντων εὐαγγελίων τοῦ Χριστοῦ γίνεται καταφανές· τοῦ γὰρ ἐπὶ Λαζάρῳ τελεσθέντος θαύματος καὶ Θεὸν εἶναι τὸν ποιήσαντα περιφανῶς παραστήσαντος, ὁ μὲν λαὸς*

4 Γι' αὐτό εἶναι δύσκολο νά σωθῆ ἄρχων καί νά εἰσέλθη στή βασιλεία τοῦ Θεοῦ πλούσιος. «Πῶς», λέγει, «μπορεῖτε νά πιστεύετε σ' ἐμένα λαμβάνοντας δόξα ἀπό τούς ἀνθρώπους καί μή ζητώντας τήν δόξα ἀπό τόν Θεό μόνο»[6]; Ἀλλ' ὅποιος εἶναι εὔπορος ἢ ἀξιωματοῦχος ἢ ἄρχων ἄς μή ταράσσεται· διότι μπορεῖ, ἄν θέλη, νά ζητήση τή δόξα τοῦ Θεοῦ καί νά πιέση τόν ἑαυτό του, ὥστε ἀνακόπτοντας τήν πρός τά χειρότερα ροπή νά ἀναπτύξη μεγάλες ἀρετές καί ν' ἀπωθήση μεγάλες κακίες, ὄχι μόνο ἀπό τόν ἑαυτό του, ἀλλα καί ἀπό πολλούς ἄλλους πού δέν θέλουν. Μπορεῖ πραγματικά ὄχι μόνο νά δικαιοπραγῆ καί νά σωφρονῆ, ἀλλά καί αὐτούς πού θέλουν ν' ἀδικοῦν καί ν' ἀκολασταίνουν νά τούς ἐμποδίζη ποικιλοτρόπως, καί ὄχι μόνο νά παρουσιάζεται ὁ ἴδιος εὐπειθής στό εὐαγγέλιο τοῦ Χριστοῦ καί στούς κήρυκές του, ἀλλά καί τούς θέλοντας ν' ἀπειθοῦν νά τούς φέρη σέ ὑποταγή στήν Ἐκκλησία τοῦ Χριστοῦ καί στούς προϊσταμένους της κατά Χριστόν, ὄχι μόνο διά τῆς δυνάμεως καί ἐξουσίας πού ἔλαβε ἀπό τόν Θεό, ἀλλά καί μέ τό νά γίνεται τύπος στούς ὑποδιεστέρους σέ ὅλα τά ἀγαθά· διότι οἱ ἀρχόμενοι ἐξομοιοῦνται μέ τόν ἄρχοντα.

5 Χρειάζεται λοιπόν προσπάθεια καί βία καί προσοχή σέ ὅλους μέν, ἀλλ' ὄχι ἐξ ἴσου. Σ' αὐτούς πού εὑρίσκονται σέ δόξα, πλοῦτο καί ἐξουσία, καθώς καί στούς ἀσχολουμένους μέ τούς λόγους καί τήν ἀπόκτησι τῆς σοφίας, ἄν θά ἤθελαν νά σωθοῦν, χρειάζεται περισσότερη βία καί προσπάθεια, ἐπειδή ἀπό τήν φύσι τους εἶναι δυσπειθέστεροι. Αὐτό μάλιστα γίνεται καταφανές καί ἀπό τά εὐαγγέλια τοῦ Χριστοῦ πού ἀναγνώσθηκαν χθές καί σήμερα. Πραγματικά, μέ τό θαῦμα πού ἐτελέσθηκε στόν Λάζαρο καί παρέστησε ὁλοφάνερα ὅτι αὐτός πού τό

6. Ἰω. 5,44.

ἀνεπείσθησαν καὶ ἐπίστευσαν, οἱ δὲ τηνικαῦτα ἄρχοντες, οἱ Γραμματεῖς δηλονότι καὶ οἱ Φαρισαῖοι, τοσοῦτον ἀπέσχον τοῦ πεισθῆναι, ὡς καὶ κατ' αὐτοῦ μανῆναι μᾶλλον καὶ ὑπὸ φρενοβλαβείας θανάτῳ παραδοῦναι βουλεύεσθαι, τὸν καὶ δι' ὧν εἶπε καὶ δι' ὧν ἔπραξε ζωῆς καὶ θανάτου Κύριον ἀναφανέντα. Οὐ γὰρ ἔχει τις εἰπεῖν, ὅτι τὸ τοὺς οἰκείους ὀφθαλμοὺς ἄνω τότε τὸν Χριστὸν ἐπάραι καὶ εἰπεῖν, Πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου, ἐμπόδιον αὐτοῖς ἐγένετο πρὸς τὸ ἴσον εἶναι νομίσαι τοῦτον τῷ Πατρί· ἐπιφέρει γὰρ αὐτὸς ἐκεῖ πρὸς τὸν Πατέρα λέγων, «ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ με ἀκούεις, ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας»· ἵνα γὰρ ὁμοῦ τε Θεὸν γνῶσι τοῦτον καὶ ἐκ τοῦ Πατρὸς ὄντα καὶ κατ' οὐδὲν ὑπεναντίον, ἀλλὰ κατὰ γνώμην τοῦ Πατρὸς τὰ θαύματα ἐργαζόμενον, ᾖρε μὲν ἐνώπιον πάντων τοὺς ὀφθαλμοὺς αὐτοῦ πρὸς τὸν Πατέρα, ἐκεῖνα δὲ εἶπε πρὸς αὐτόν, ἅπερ ἴσον ἀποδείκνυσι τὸν ἐπὶ γῆς εἰπόντα τῷ ἀνωτάτῳ καὶ κατ' οὐρανὸν Πατρί· ὥσπερ γὰρ μέλλοντος τὴν ἀρχὴν πλάττεσθαι τοῦ ἀνθρώπου βουλὴ προηγήσατο, οὕτω καὶ νῦν ἐν τῷ Λαζάρῳ, τοῦ ἀνθρώπου μέλλοντος ἀναπλάττεσθαι βουλὴ προηγεῖται. Ἀλλ' ἐκεῖ μὲν τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν ἐν τῷ μέλλειν πλάττεσθαι τὸν ἄνθρωπον εἰπόντος ποιήσωμεν ἄνθρωπον, αὐτὸς ὁ Υἱὸς ἤκουσε τοῦ Πατρὸς καὶ οὕτως ὁ ἄνθρωπος εἰς τὸ εἶναι παρήχθη· ἐνταῦθα δὲ νῦν ἀκούει τοῦ Υἱοῦ εἰπόντος ὁ Πατήρ, καὶ οὕτως ὁ Λάζαρος ἐζωώθη.

6 Ὁρᾶτε τὴν ὁμοτιμίαν καὶ τὴν ὁμοβουλίαν ὅση; Τὸ μὲν γὰρ σχῆμα τῆς προσευχῆς διὰ τὸν περιεστῶτα γέγονεν ὄχλον, τὰ δὲ ῥήματα οὐ προσευχῆς ἦν ἀλλὰ δεσποτείας καὶ αὐτοκρατορίας· «Λάζαρε δεῦρο ἔξω», καὶ εὐθὺς ὁ τετραήμερος νεκρὸς ζῶν αὐτῷ παρέ-

ἔκαμε εἶναι Θεός οἱ μέν ἄνθρωποι τοῦ λαοῦ ἐπείσθηκαν καί ἐπίστευσαν οἱ δέ τότε ἄρχοντες, δηλαδή οἱ Γραμματεῖς καί οἱ Φαρισαῖοι, τόσο ἀμετάπειστοι ἔμειναν, ὥστε νά ἐκμανοῦν περισσότερο ἐναντίον του καί νά θέλουν λόγω φρενοβλαβείας νά τόν παραδώσουν σέ θάνατο, αὐτόν πού καί μέ ὅσα εἶπε καί μέ ὅσα ἔπραξε ἀναφάνηκε κύριος ζωῆς καί θανάτου. Δέν ἔχει δέ νά εἰπῆ κανείς ὅτι τό γεγονός ὅτι τότε ὁ Χριστός ἐσήκωσε ἐπάνω τούς ὀφθαλμούς του καί εἶπε, «Πάτερ, σ' εὐχαριστῶ πού μέ ἄκουσες», ἐστάθηκε ἐμπόδιο γιά τό νά θεωρήσουν ὅτι αὐτός εἶναι ἴσος μέ τόν Πατέρα· διότι αὐτός προσθέτει ἐκεῖ λέγοντας πρός τόν Πατέρα, «ἐγώ δέ ἐγνώριζα ὅτι πάντοτε μέ ἀκούεις, ἀλλά τά εἶπα γιά χάρι τοῦ ὄχλου πού παρευρίσκονταν, γιά νά πιστεύσουν ὅτι ἐσύ μέ ἀπέστειλες»[7]. Γιά νά γνωρίσουν δηλαδή ἀφ' ἑνός μέν ὅτι εἶναι Θεός καί ἔρχεται ἀπό τόν Πατέρα, ἀφ' ἑτέρου δέ ὅτι ἐνεργεῖ τά θαύματα ὄχι ἐναντίον ἀλλά μέ συναίνεσι τοῦ Πατρός, ἐσήκωσε μέν ἐμπρός σέ ὅλους τούς ὀφθαλμούς του πρός τόν Πατέρα, εἶπε δέ πρός αὐτόν ἐκεῖνα πού ἀποδεικνύουν ὅτι αὐτός πού ὡμίλησε ἐπί γῆς εἶναι ἴσος μέ τόν ὑψηλά στούς οὐρανούς Πατέρα. Ἔτσι, ὅπως στήν ἀρχή, ὅπου ἐπρόκειτο νά πλασθῆ ὁ ἄνθρωπος, προηγήθηκε βουλή, ἔτσι καί τώρα στό Λάζαρο, ὅπου ἐπρόκειτο ν' ἀναπλασθῆ ὁ ἄνθρωπος, προηγήθηκε βουλή. Ἀλλά ἐκεῖ, πού ἐπρόκειτο νά πλασθῆ ὁ ἄνθρωπος, εἶπε ὁ Πατήρ πρός τόν Υἱό «ἄς κατασκευάσωμε ἄνθρωπο» καί ὁ Υἱός ἄκουσε, καί ἔτσι ὁ ἄνθρωπος παρήχθηκε στήν ὕπαρξι· ἐδῶ δέ τώρα εἶπε ὁ Υἱός καί ὁ Πατήρ ἄκουσε, καί ἔτσι ἐζωοποιήθηκε ὁ Λάζαρος.

6 Βλέπετε πόση εἶναι ἡ ὁμοτιμία καί ἡ ὁμοβουλία; Διότι ἡ μέν μορφή τῆς προσευχῆς χρησιμοποιήθηκε γιά τόν παρευρισκόμενο ὄχλο, τά δέ λόγια δέν ἦταν λόγια προσευχῆς, ἀλλά δεσποτείας καί ἐξουσίας· «Λάζαρε, ἐλθέ ἔξω», καί ἀμέσως ὁ τετραή-

7. Ἰω. 11,42.

στη· ἆρα προστάγματι ζωοῦντος τοῦτο ἢ δι' εὐχῆς ζωοποιοῦντος; Ἐφώνησε δὲ φωνῇ μεγάλῃ, καὶ τοῦτο διὰ τοὺς περιεστῶτας· ἐδύνατο γὰρ μὴ μετρίᾳ φωνῇ μόνον, ἀλλὰ καὶ βουλήματι μόνῳ τοῦτον ἀναστῆσαι, ὥσπερ καὶ μακρὰν ἀπέχων καὶ τοῦ λίθου ἐπικειμένου· ἀλλὰ καὶ ἐπέστη τῷ τάφῳ καὶ εἶπε τοῖς περιεστῶσι, καὶ ἦραν αὐτοὶ τὸν λίθον καὶ ἤσθοντο τῆς δυσωδίας, καὶ φωνῇ μεγάλῃ ἐφώνησε καὶ ἐκάλεσε καὶ οὕτως ἀνέστησεν αὐτόν, ἵνα καὶ διὰ τῆς οἰκείας ὁράσεως (αὐτοὶ γὰρ ἑώρων ἐφισταμένῳ τῷ τάφῳ) καὶ διὰ τῆς οἰκείας ὀσφρήσεως (αὐτοὶ γὰρ ἤσθοντο τῆς δυσωδίας τοῦ νεκροῦ, τεταρταῖος γὰρ ἦν) καὶ διὰ τῆς ἑαυτῶν ἁφῆς (δι' ἧς αὐτοὶ ταῖς οἰκείαις χρησάμενοι χερσὶ πρῶτον μὲν ἦραν τὸν λίθον ἐκ τοῦ μνημείου, ὕστερον δὲ τὸν ἐπὶ τοῦ σώματος δεσμὸν καὶ τὸ ἐπὶ τῇ ὄψει σουδάριον ἔλυσαν) καὶ διὰ τῶν οἰκείων ὤτων τῆς τοῦ Κυρίου φωνῆς ἐπὶ τὰς πάντων ἀκοὰς φθανούσης, συνῶσι πάντες καὶ πιστεύσωσιν, ὅτι αὐτός ἐστιν ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα, ὁ φέρων πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, ὁ καὶ πάντα τὴν ἀρχὴν ῥήματι μόνῳ ἐκ μὴ ὄντων τὰ ὄντα ποιήσας.

7 Ὁ μὲν οὖν ἄκακος λαὸς οὕτω διὰ πάντων ἐπίστευσαν αὐτῷ, ὡς μὴ μόνον σιγῇ τὴν πίστιν ἔχειν, ἀλλὰ καὶ κήρυκες γενέσθαι δι' ἔργων τε καὶ λόγων τῆς αὐτοῦ θεότητος. Μετὰ γὰρ τὴν τοῦ Λαζάρου τετραήμερον ἔγερσιν, ὀνάριον εὑρὼν ὁ Κύριος, ὃ προητοίμασται παρὰ τῶν μαθητῶν, ὡς ὁ εὐαγγελιστὴς Ματθαῖός φησιν, ἐπ' αὐτοῦ καθίσας, τὰ Ἱεροσόλυμα εἰσῄει κατὰ τὴν προφητείαν Ζαχαρίου προειρηκότος, «μὴ φοβοῦ, θύγατερ Σιών, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι, δίκαιος καὶ σώζων αὐτός, πρᾶος καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον

8. Ἡ περικοπὴ ποὺ ἀναγινώσκεται τὸ Σάββατο τοῦ Λαζάρου εἶναι Ἰω. 11,1-45.

μερος νεκρός παρουσιάσθηκε σ' αὐτόν ζωντανός· ἆραγε τοῦτο ἔγινε μέ πρόσταγμα ἀναζωοῦντος ἤ μέ προσευχή ζωοποιοῦντος; Ἐφώναξε δέ μέ μεγάλη φωνή ἐπίσης γιά τούς παρευρισκομένους· διότι μποροῦσε ὄχι μόνο μέ μετρία φωνή, ἀλλά καί μέ τήν θέλησι μόνο νά τόν ἀναστήση, ὅπως μποροῦσε νά τό κάμη καί ἀπέχοντας μακριά καί μέ τήν πέτρα ἐπάνω στόν τάφο. Ἀλλά καί προσῆλθε στόν τάφο καί εἶπε στούς παρευρισκομένους, πού ἐσήκωσαν οἱ ἴδιοι τήν πέτρα καί αἰσθάνθηκαν τή δυσωδία, κι' ἐφώναξε μέ μεγάλη φωνή καί τόν ἐκάλεσε κι' ἔτσι τόν ἀνέστησε, ὥστε καί μέ τήν ὅρασί τους (διότι τόν ἔβλεπαν ἐπάνω στόν τάφο) καί μέ τήν ὄσφρησί τους (διότι αἰσθάνονταν τή δυσωδία τοῦ νεκροῦ πού ἦταν ἤδη στήν τετάρτη ἡμέρα) καί μέ τήν ἀφή (διότι χρησιμοποιώντας τά χέρια τους κατά πρῶτον ἐσήκωσαν τήν πέτρα ἀπό τό μνημεῖο, ὕστερα ἔλυσαν τό δέσιμο στό σῶμα καί τό σουδάριο στό πρόσωπο) καί μέ τά αὐτιά του (ἀφοῦ ἡ φωνή τοῦ Κυρίου ἔφθανε σέ ὅλων τίς ἀκοές) νά καταλάβουν ὅλοι καί νά πιστεύσουν, ὅτι αὐτός εἶναι πού καλεῖ τά μή ὄντα σέ ὄντα, πού βαστάζει τά πάντα μέ τόν λόγο τῆς δυνάμεώς του, πού καί στήν ἀρχή μέ λόγο μόνο ἐδημιούργησε τά ὄντα ἀπό μή ὄντα[8].

7 Ὁ μέν ἄκακος λαός λοιπόν ἐπίστευσαν σ' αὐτόν μέ ὅλα αὐτά ἔτσι, ὥστε νά μή κρατοῦν τήν πίστι σιωπηρά, ἀλλά νά γίνουν κήρυκες τῆς θεότητός του μέ ἔργα καί λόγια. Διότι μετά τήν τετραήμερη ἔγερσι τοῦ Λαζάρου ὁ Κύριος εὑρῆκε ἕνα γαϊδουράκι, πού προετοιμάσθηκε ἀπό τούς μαθητάς, ὅπως λέγει ὁ εὐαγγελιστής Ματθαῖος[8α], ἐκάθησε σ' αὐτό, εἰσῆλθε στά Ἱεροσόλυμα κατά τήν προφητεία τοῦ Ζαχαρίου πού προεῖπε, «μή φοβῆσαι, θυγατέρα Σιών, ἰδού ἔρχεται ὁ βασιλεύς σου δίκαιος

8α Ματθ. 21,1-11.

καὶ πῶλον ὄνου». Ἐδείκνυ δὲ διὰ τῶν λόγων τούτων ὁ προφήτης, ὅτι ὁ προφητευόμενος οὗτος βασιλεύς, ὃς καὶ μόνος ὄντως τῆς Σιὼν ὑπάρχει βασιλεύς· ὁ βασιλεύς σου γάρ», φησίν, «οὐκ ἔστι φοβερὸς ἀπὸ τῶν ὁρωμένων, οὐδὲ βαρύς τις καὶ κακοποιός, ὑπασπιστὰς καὶ δορυφόρους ἐπαγόμενος, ἢ πεζῶν καὶ ἱππότων ἐπισυρόμενος πλῆθος, πλεονεξίᾳ τε συζῶν, καὶ τέλη καὶ φόρους ἀπαιτῶν καὶ δουλείας καὶ ὑπηρεσίας ἀγενεῖς τε καὶ ἐπιβλαβεῖς· ἀλλὰ τὸ ἐπίσημον αὐτοῦ ταπείνωσίς ἐστι καὶ πτωχεία καὶ εὐτέλεια· ὄνῳ γὰρ ἐποχούμενος εἴσεισιν, ἀνθρώπινον ὄγκον ἐπαγόμενος οὐδένα. Διὰ τοῦτο δίκαιος μόνος οὗτος βασιλεὺς καὶ σώζων ἐν δικαιοσύνῃ καὶ αὐτὸς πρᾶος ὡς ἰδιαιτάτην ἔχων τὴν πραότητα· καὶ γὰρ καὶ αὐτὸς ὁ Κύριος, περὶ ἑαυτοῦ φησι, «μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ».

8 Ὁ μὲν οὖν Λάζαρον ἐκ νεκρῶν ἀναστήσας βασιλεύς, ὄνῳ ἐπικαθήμενος, εἰσῄει τηνικαῦτα τὰ Ἱεροσόλυμα, οἱ δὲ λαοὶ πάντες, εὐθὺς σχεδόν, παῖδες, ἄνδρες, πρεσβῦται, τά τε ἱμάτια ὑποστρωννῦντες καὶ βαΐα λαβόντες ἐκ φοινίκων, ἅπερ ἐστὶ νίκης σύμβολα, ὡς ζωοποιῷ καὶ νικητῇ θανάτου γεγονότι προσυπήντων, προσέπιπτον, προέπεμπον αὐτόν, οὐκ ἐκτὸς μόνον, ἀλλὰ καὶ ἐντὸς τῶν τοῦ ἱεροῦ περιβόλων συμφώνως ᾄδοντες, «ὡσαννὰ τῷ υἱῷ Δαβίδ, ὡσαννὰ ἐν τοῖς ὑψίστοις». Τὸ μὲν «ὡσαννὰ» ὕμνος ἐστὶ πρὸς Θεὸν ἀναπεμπόμενος· ἑρμηνευόμενον γάρ, σῶσον δὴ ἡμᾶς φησί· τὸ δὲ «ἐν τοῖς ὑψίστοις» προσκείμενον δείκνυσιν οὐκ ἐπὶ γῆς αὐτὸν μόνον, οὐδ' ὑπὸ

9. Ζαχ. 9,9. Ματθ. 21,5.

καί σωτήριος, πρᾶος ἐπάνω σέ ὑποζύγιο, σέ πωλάρι ὄνου»[9]. Μέ τά λόγια αὐτά ὁ προφήτης ἐδείκνυε ὅτι αὐτός εἶναι ὁ προφητευόμενος βασιλεύς, πού εἶναι ὁ μόνος πραγματικά βασιλεύς τῆς Σιών· διότι, λέγει, ὁ βασιλεύς σου δέν εἶναι φοβερός στούς παρατηρητάς, οὔτε εἶναι κάποιος βαρύς καί κακοποιός, συνοδευόμενος ἀπό ὑπασπιστάς καί δορυφόρους, ἤ σύροντας πλῆθος πεζῶν καί ἱππέων, ζώντας μέ πλεονεξία καί ἀπαιτώντας τέλη καί φόρους, δουλεῖες καί ὑπηρεσίες ἀγενεῖς καί ἐπιβλαβεῖς· ἀντιθέτως σημαία του εἶναι ἡ ταπείνωσις, ἡ πτωχεία καί ἡ εὐτέλεια, ἐφ' ὅσον εἰσέρχεται ἐπάνω σέ ὄνο χωρίς καμμιά ἔπαρσι. Γι' αὐτό αὐτός εἶναι ὁ μόνος δίκαιος βασιλεύς πού σώζει μέ δικαιοσύνη καί αὐτός εἶναι πρᾶος ἔχοντας ὡς ἰδιότητά του τήν πραότητα· διότι ὁ ἴδιος ὁ Κύριος λέγει γιά τόν ἑαυτό του, «μάθετε ἀπό ἐμένα, ὅτι εἶμαι πρᾶος καί ταπεινός στήν καρδιά»[10].

8 Ὁ μέν βασιλεύς λοιπόν πού ἀνέστησε τόν Λάζαρο εἰσῆλθε τότε στά Ἱεροσόλυμα καθήμενος ἐπάνω σέ ὄνο· ἀμέσως δέ ὅλοι οἱ λαοί, παιδιά, ἄνδρες, γέροντες, στρώνοντας τά ἐνδύματα καί παίρνοντας βαΐα ἀπό φοίνικες, πού εἶναι σύμβολα νίκης, τόν προϋπαντοῦσαν σάν ζωοποιό καί νικητή τοῦ θανάτου, τόν προσκυνοῦσαν, τόν προέπεμπαν, ψάλλοντας μέ μιά φωνή ὄχι μόνο ἔξω, ἀλλά καί μέσα στόν ἱερό περίβολο, «ὡσαννά στόν υἱό τοῦ Δαβίδ, ὡσαννά ἐν τοῖς ὑψίστοις». Τό ὡσαννά λοιπόν εἶναι ὕμνος πού ἀναπέμπεται πρός τόν Θεό καί ἑρμηνευόμενο σημαίνει «σῶσε μας λοιπόν»· ἡ δέ προσθήκη «ἐν τοῖς ὑψίστοις» δεικνύει ὅτι αὐτός δέν ἀνυμνεῖται μόνο ἐπί γῆς οὔτε ἀπό

10. Ματθ. 11,29.

τῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐν τοῖς ὑψίστοις ὑπὸ τῶν οὐρανίων ἀγγέλων ἀνυμνούμενον.

9 Οὐ μόνον δὲ ἀνυμνοῦσιν αὐτὸν οὕτω καὶ θεολογοῦσιν, ἀλλὰ καὶ τῇ κακοβούλῳ καὶ θεομάχῳ γνώμῃ τῶν Γραμματέων καὶ Φαρισαίων καὶ πρὸς τὰς φονικὰς αὐτῶν προφάσεις διὰ τῶν ἑξῆς ἐναντιοῦνται. Οἱ μὲν γὰρ φρενοβλαβῶς ἔλεγον περὶ αὐτοῦ, «οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ἐπειδὴ σημεῖα πολλὰ ποιεῖ, ἐὰν ἀφῶμεν καὶ μὴ θανατώσωμεν αὐτόν, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ρωμαῖοι καὶ ἀροῦσιν ἡμῶν τὴν πόλιν καὶ τὸ ἔθνος». Ὁ δὲ λαός, τί φησιν; «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς ἡμῶν Δαβίδ». Διὰ μὲν οὖν τοῦ λέγειν, «εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου», ὑπεδείκνυον ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς αὐτὸν ὄντα καὶ ἐν τῷ ὀνόματι τοῦ Πατρὸς αὐτὸν ἐλθόντα, ὡς καὶ αὐτὸς ὁ Κύριος περὶ ἑαυτοῦ φησίν, «ὅτι ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω». Διὰ δὲ τοῦ λέγειν, «εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς ἡμῶν Δαβίδ», ὑπεδείκνυον ταύτην εἶναι τὴν βασιλείαν, εἰς ἣν μέλλουσι κατὰ τὴν προφητείαν πιστεύειν καὶ τὰ ἔθνη, καὶ μάλιστα οἱ Ρωμαῖοι. Οὗτος γὰρ ὁ βασιλεύς, οὐ μόνον ἐλπίς ἐστι τοῦ Ἰσραήλ, ἀλλὰ καὶ προσδοκία τῶν ἐθνῶν κατὰ τὴν προφητείαν Ἰακώβ, «δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ», τουτέστι τὸν ὑποκείμενον ἐξ Ἰουδαίων αὐτῷ λαόν, «καὶ τῇ ἕλικι τῆς ἀμπέλου τὸν πῶλον τῆς ὄνου αὐτοῦ». Ἕλιξ δὲ τῆς ἀμπέλου εἰσὶν οἱ τοῦ Κυρίου μαθηταί, πρὸς οὓς ὁ Κύριος ἔλεγεν, «ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα». Τῇ οὖν ἕλικι ταύτῃ συνέδησεν ὁ Κύριος

11. Ἰω. 11,47.
12. Μάρκ. 11,10.
13. Ἰω. 8,42.

τούς ἀνθρώπους μόνο, ἀλλά στά ὕψη ἀπό τούς οὐρανίους ἀγγέλους.

9 Ὄχι δέ μόνο τόν ἀνυμνοῦν καί τόν θεολογοῦν ἔτσι, ἀλλά στή συνέχεια ἐναντιώνονται καί στήν κακόβουλη καί θεομάχο γνώμη τῶν Γραμματέων καί Φαρισαίων καί στίς φονικές προθέσεις των. Αὐτοί μέν ἔλεγαν γι' αὐτόν φρενοβλαβῶς, «αὐτός ὁ ἄνθρωπος δέν εἶναι ἀπό τόν Θεό κι' ἐπειδή πραγματοποιεῖ πολλά θαύματα, ἄν τό ἀφήσωμε χωρίς νά τόν θανατώσωμε, ὅλοι θά πιστεύσουν σ' αὐτόν· καί θά ἔλθουν οἱ Ρωμαῖοι πού θά μᾶς πάρουν τήν πόλι καί τό ἔθνος»[11]. Ὁ δέ λαός τί λέγει; «Εὐλογημένος ὁ ἐρχόμενος στό ὄνομα τοῦ Κυρίου· εὐλογημένη ἡ ἐρχόμενη βασιλεία τοῦ πατρός μας Δαβίδ»[12]. Μέ τήν φράσι «εὐλογημένος ὁ ἐρχόμενος στό ὄνομα τοῦ Κυρίου», ὑπεδείκνυαν ὅτι εἶναι ἀπό τόν Θεό καί Πατέρα καί ὅτι ἦλθε στό ὄνομα τοῦ Πατρός, ὅπως λέγει καί ὁ ἴδιος ὁ Κύριος περί ἑαυτοῦ, «ὅτι ἐγώ ἦλθα στό ὄνομα τοῦ Πατρός μου καί ἀπό τόν Θεό ἐξῆλθα καί σ' αὐτόν πηγαίνω»[13]. Μέ τήν φράσι δέ «εὐλογημένη ἡ βασιλεία τοῦ πατρός μας Δαβίδ», ὑπεδείκνυαν ὅτι αὐτή εἶναι ἡ βασιλεία στήν ὁποία πρόκειται νά πιστεύσουν τά ἔθνη κατά τήν προφητεία, καί μάλιστα οἱ Ρωμαῖοι. Διότι ὁ βασιλεύς αὐτός ὄχι μόνο εἶναι ἐλπίς τοῦ Ἰσραήλ, ἀλλά καί προσδοκία τῶν ἐθνῶν κατά τήν προφητεία τοῦ Ἰακώβ[14], «δένοντας στήν ἄμπελο τήν ὄνο του», δηλαδή τόν ὑποκείμενο σ' αὐτόν λαό ἀπό τούς Ἰουδαίους, «καί στό κλῆμα τό πωλάρι τῆς ὄνου του»[15]. Κλάδος δέ τοῦ κλήματος εἶναι οἱ μαθηταί τοῦ Κυρίου, πρός τούς ὁποίους ἔλεγε, «ἐγώ εἶμαι ἡ ἄμπελος, ἐσεῖς τά κλήματα»[16]. Μέ τό κλῆμα λοιπόν αὐτό συνέδεσε ὁ Κύριος πρός τόν ἑαυτό του τό πωλάρι

14. Γεν. 49,10.
15. Γεν. 49,11.
16. Ἰω. 15,5.

ἑαυτῷ τὸν πῶλον τῆς ὄνου αὐτοῦ, τοὐτέστι τὸν ἐξ ἐθνῶν νέον Ἰσραήλ, οἳ κατὰ χάριν υἱοὶ γεγόνασι τοῦ Ἀβραάμ. Εἰ τοίνυν καὶ τῶν ἐθνῶν ἐλπίς ἐστιν ἡ βασιλεία αὕτη, πῶς, φασίν, εἰς αὐτὴν πιστεύσαντες ἡμεῖς, τοὺς Ρωμαίους φοβηθησόμεθα;

10 Οὕτω μὲν οὖν οἱ μὴ τὰς φρένας ἀλλὰ τῇ κακίᾳ νηπιάζοντες, ἐμπνευσθέντες ὑπὸ τοῦ ἁγίου Πνεύματος, ἀπηρτισμένον καὶ τέλειον ἀνέπεμψαν τῷ Κυρίῳ ὕμνον, μαρτυροῦντες ὅτι τετραήμερον νεκρὸν ὄντα τὸν Λάζαρον ὡς Θεὸς ἐζωοποίησεν. Οἱ δὲ Γραμματεῖς καὶ Φαρισαῖοι τὰ τοιαῦτα θαυμάσια ἰδόντες, καὶ τοὺς τοιούτους παῖδας κράζοντας ἐν τῷ ἱερῷ καὶ λέγοντας, «ὡσαννὰ τῷ υἱῷ Δαβίδ», ἠγανάκτησαν καὶ πρὸς τὸν Κύριον ἔλεγον· οὐκ ἀκούεις τί οὗτοι λέγουσιν; ὅπερ μᾶλλον ἔδει πρὸς αὐτοὺς εἰπεῖν τηνικαῦτα τὸν Κύριον, ὅτι οὐ βλέπετε, οὐδ' ἀκούετε, οὐδὲ συνίετε; Διὸ καὶ αὐτὸς ἐντρέπων αὐτοὺς μεμφομένους, ὡς ἀνεχόμενον τῆς Θεῷ μόνον πρεπούσης ὑμνῳδίας, ναί, φησίν, ἀκούω τῶν παρ' ἐμοῦ σοφιζομένων ἀοράτως καὶ περὶ ἐμοῦ τοιαῦτα φθεγγομένων, εἰ δὲ οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται. Ὑμεῖς δὲ οὐδέποτε ἀνέγνωτε ἐκεῖνο τὸ προφητικόν, ὅτι «ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον»; Καὶ γὰρ καὶ τοῦτο μεγίστου θαύματος ἦν, τὸ τοὺς ἰδιώτας παῖδας καὶ ἀμαθεῖς θεολογεῖν τελείως τὸν δι' ἡμᾶς ἐνανθρωπήσαντα Θεόν, ἀγγελικὸν ἐπὶ στόματος ἀναλαβόντας ὕμνον· ὡς γὰρ οἱ ἄγγελοι ἐπὶ τῇ γεννήσει τοῦ Κυρίου ἔψαλλον «δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς», οὕτω καὶ οὗτοι νῦν ἐπὶ τῇ εἰσόδῳ τούτου, τὸν αὐτὸν ἀναπέμπουσιν ὕμνον, λέγοντες, «ὡσαννὰ τῷ υἱῷ Δαβίδ, ὡσαννὰ ἐν τοῖς ὑψίστοις».

16α. Λουκᾶ 19,40.

17. Ματθ. 21,16. Ψαλμ. 8,3.

τῆς ὄνου του, δηλαδή τό νέο Ἰσραήλ ἀπό τά ἔθνη, τοῦ ὁποίου τά μέλη ἔγιναν κατά χάρι υἱοί τοῦ Ἀβραάμ. Ἐάν λοιπόν ἡ βασιλεία αὐτή εἶναι ἐλπίς καί τῶν ἐθνῶν, πῶς, λέγουν, ἀφοῦ ἐπιστεύσαμε σ' αὐτήν ἐμεῖς, θά φοβηθοῦμε τούς Ρωμαίους;

10 Ἔτσι λοιπόν οἱ νηπιάζοντες ὄχι στά μυαλά ἀλλά στήν κακία, ἐμπνευσθέντες ἀπό τό ἅγιο Πνεῦμα, ἀνέπεμψαν στόν Κύριο πλήρη καί τέλειον ὕμνο, μαρτυρώντας ὅτι ὡς Θεός ἐζωοποίησε τόν Λάζαρο ἐνῶ ἦταν τετραήμερος νεκρός. Οἱ δέ Γραμματεῖς καί Φαρισαῖοι, μόλις εἶδαν τά θαυμάσια αὐτά καί τά παιδιά νά κράζουν στό ἱερό λέγοντας, «αἶνος στόν σωτῆρα μας υἱό τοῦ Δαβίδ», ἀγανάκτησαν κι' ἔλεγαν πρός τόν Κύριο· «δέν ἀκούεις τί λέγουν αὐτά;», πρᾶγμα πού ἔπρεπε μᾶλλον ὁ Κύριος νά εἰπῆ τότε πρός αὐτούς, ὅτι δηλαδή 'δέν βλέπετε καί δέν ἀκούετε καί δέν καταλαβαίνετε;'. Γι' αὐτό ὁ ἴδιος ἀντικρούοντάς τους πού τόν κατηγοροῦσαν ὅτι ἀνέχεται τήν ὑμνωδία πού μόνο στόν Θεό ταιριάζει, λέγει, ναί, ἀκούω αὐτούς πού σοφίζονται ἀπό ἐμέ ἀοράτως καί ἐκφέρουν τέτοιους λόγους γιά μένα, ἐάν δέ σιωπήσουν αὐτοί, θά κράξουν οἱ λίθοι[16α]. Ἐσεῖς ὅμως δέν ἀνεγνώσατε ποτέ ἐκεῖνον τόν προφητικό λόγο, ὅτι ἀπό στόμα νηπίων πού θηλάζουν συντόνισες ὕμνον[17]; Διότι καί τοῦτο ἦταν ἄξιο μεγάλου θαυμασμοῦ, ὅτι τά ἀμόρφωτα καί ἀμαθῆ παιδιά θεολογοῦσαν τελείως τόν Θεό πού ἐνανθρώπησε γιά μᾶς, παίρνοντας στό στόμα τους ἀγγελικό ὕμνο· ὅπως δηλαδή οἱ ἄγγελοι ἔψαλλαν γιά τή γέννησι τοῦ Κυρίου, «δόξα πρός τόν Θεό στά ὕψη καί ἐπί γῆς»[18], ἔτσι καί αὐτά τώρα κατά τήν εἴσοδό του ἀναπέμπουν τόν ἴδιο ὕμνο, λέγοντας, «δόξα στό σωτῆρα μας τόν υἱό τοῦ Δαβίδ, δόξα στό σωτῆρα μας στά οὐράνια»[19].

18. Λουκᾶ 2,14. 19,38.
19. Ματθ. 21,9.

11 Ἀλλὰ νηπιάσωμεν καὶ ἡμεῖς, ἀδελφοί, τῇ κακίᾳ, νέοι τε καὶ πρεσβύται, ἄρχοντες ὁμοῦ καὶ ἀρχόμενοι, ἵνα ἐνδυναμωθῶμεν ὑπὸ τοῦ Θεοῦ καὶ τρόπαιον στήσωμεν καὶ τὰ τῆς νίκης σύμβολα βαστάσωμεν, μὴ κατὰ τῶν πονηρῶν παθῶν μόνον, ἀλλὰ καὶ κατὰ τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν καὶ λόγου χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν· ὁ γὰρ νέος πῶλος, ᾧ δι' ἡμᾶς ἐποχεῖσθαι κατηξίωσεν ὁ Κύριος, εἷς ὤν, τὴν πρὸς αὐτὸν ὑποταγὴν προετύπου τῶν ἐθνῶν, ἐξ ὧν ἡμεῖς ἐσμεν ἅπαντες ἄρχοντες ὁμοῦ καὶ ἀρχόμενοι.

12 Ὡς οὖν ἐν Χριστῷ Ἰησοῦ οὐκ ἔστιν ἄρσεν, οὐ θῆλυ, οὐχ Ἕλλην, οὐκ Ἰουδαῖος, ἀλλ' ἓν εἰσι πάντες κατὰ τὸν θεῖον ἀπόστολον, οὕτως ἐν αὐτῷ οὐκ ἔστιν οὔτε ἄρχων, οὔτε ἀρχόμενος, ἀλλὰ πάντες διὰ τῆς αὐτοῦ χάριτος ἓν ἐσμεν τῇ πίστει τῇ εἰς αὐτὸν καὶ εἰς ἓν σῶμα τελοῦμεν τῆς αὐτοῦ ἐκκλησίας, κεφαλὴν μίαν ἔχοντες αὐτόν· καὶ ἓν πνεῦμα ἐποτίσθημεν διὰ τῆς τοῦ παναγίου Πνεύματος χάριτος καὶ ἓν πάντες βάπτισμα ἐλάβομεν καὶ μία ἐν πᾶσιν ἡ ἐλπὶς καὶ εἷς ἡμῖν Θεός, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ἡμῖν. Ἀγαπῶμεν οὖν ἀλλήλους καὶ ἀνεχώμεθα καὶ κηδώμεθα ἀλλήλων, ἅτε μέλη ὑπάρχοντες ἀλλήλων· τὸ γὰρ σημεῖον τῆς ἡμῶν πρὸς ἐκεῖνον μαθητείας, ὡς αὐτὸς ὁ Κύριος εἶπεν, ἡ ἀγάπη ἐστὶ καὶ ἡ πατρικὴ κληρονομία ἣν ἡμῖν ἀφῆκε μεταβαίνων ἐκ τοῦ κόσμου τούτου ἡ ἀγάπη ἐστὶ καὶ ἡ τελευταία ἣν ἔδωκεν ἡμῖν εὐχὴ πρὸς τὸν οἰκεῖον Πατέρα ἀναβαίνων τὴν πρὸς ἀλλήλους ἀγάπην ἡμῶν ἐπιστηρίζει.

13 Σπεύδωμεν οὖν τῆς πατρικῆς εὐχῆς ἐπιτυχεῖς εἶναι καὶ μὴ

20. Γαλ. 3,28.
21. Ἐφ. 4,6.

11 Ἀλλά ἄς νηπιάσωμε κι' ἐμεῖς ἀδελφοί, κατά τήν κακία, νέοι καί γέροντες, ἄρχοντες μαζί καί ἀρχόμενοι, γιά νά ἐνδυναμωθοῦμε ἀπό τόν Θεό, νά στήσωμε τρόπαιο καί νά βαστάσωμε τά σύμβολα τῆς νίκης, ὄχι μόνο κατά τῶν πονηρῶν παθῶν, ἀλλά καί κατά τῶν ὁρατῶν καί ἀοράτων ἐχθρῶν, ὥστε νά εὑροῦμε τήν χάρι τοῦ λόγου γιά βοήθεια εὔκαιρη. Διότι ὁ νέος πῶλος, ὅπου καταξίωσε ὁ Κύριος νά καθήση γιά χάρι μας, ἄν καί εἶναι ἕνας, προετύπωνε τήν πρός αὐτόν ὑποταγή τῶν ἐθνῶν, ἀπό τά ὁποῖα προερχόμαστε ὅλοι ἐμεῖς, ἄρχοντες μαζί καί ἀρχόμενοι.

12 Ὅπως λοιπόν στόν Ἰησοῦ Χριστό δέν ὑπάρχει ἀρσενικό καί θηλυκό, οὔτε Ἕλλην οὔτε Ἰουδαῖος, ἀλλά ὅλοι εἶναι ἕνα κατά τόν θεῖο ἀπόστολο[20], ἔτσι σ' αὐτόν δέν ὑπάρχει ἄρχων καί ἀρχόμενος, ἀλλά μέ τήν χάρι του εἴμαστε ἕνα κατά τήν πίστι σ' αὐτόν καί ἀνήκομε στό ἕνα σῶμα τῆς Ἐκκλησίας του, ἔχοντας μία κεφαλή, αὐτόν· καί ἕνα πνεῦμα ἐποτισθήκαμε διά τῆς παναγίας χάριτος τοῦ Πνεύματος καί ἕνα βάπτισμα ἐλάβαμε ὅλοι καί μιά εἶναι ἡ ἐλπίς ὅλων καί ἕνας ὁ Θεός μας, ὁ ἐπάνω ἀπό ὅλους καί διά μέσου ὅλων καί μέσα σέ ὅλους μας[21]. Ἄς ἀγαποῦμε λοιπόν ἀλλήλους, ἄς ἀνεχώμαστε καί ἄς φροντίζωμε ὁ ἕνας τόν ἄλλον, ἀφοῦ εἴμαστε μέλη ἀλλήλων· διότι τό σῆμα τῆς μαθητείας μας πρός ἐκεῖνον, ὅπως εἶπε ὁ ἴδιος ὁ Κύριος, εἶναι ἡ ἀγάπη καί ἡ πατρική κληρονομία πού μᾶς ἄφησε ἀναχωρώντας ἀπό αὐτόν τόν κόσμο εἶναι ἡ ἀγάπη καί ἡ τελευταία εὐχή πού μᾶς ἔδωσε ἀνεβαίνοντας πρός τόν Πατέρα ἀναφέρεται στήν πρός ἀλλήλους ἀγάπη μας[22].

13 Ἄς σπεύδωμε λοιπόν νά ἐπιτύχωμε τήν πατρική εὐχή καί

---

22. Ἰω. 13,33 ἑ.

ἀποβαλλώμεθα τὴν παρ' αὐτοῦ κληρονομίαν, μηδὲ τὸ σημεῖον, ὃ ἔδωκεν ἡμῖν αὐτός, ἵνα μὴ καὶ τὴν υἱοθεσίαν καὶ τὴν εὐλογίαν καὶ τὴν πρὸς αὐτὸν μαθητείαν ἀποβαλώμεθα καὶ τότε τῆς ἐπικειμένης ἐκπέσωμεν ἐλπίδος καὶ ἀποκλεισθῶμεν τοῦ πνευματικοῦ νυμφῶνος. Καθάπερ δὲ πρὸ τοῦ σωτηρίου πάθους ἐπὶ τὴν κάτω Ἱερουσαλὴμ τῷ Κυρίῳ εἰσελαύνοντι τὰ ἱμάτια ὑπεστρώννυον οὐχ ὁ λαὸς μόνον, ἀλλὰ καὶ οἱ τῶν ἐθνῶν ὄντως ἄρχοντες, οἱ τοῦ Κυρίου λέγω Ἀπόστολοι, οὕτω καὶ ἡμεῖς ἄρχοντες ὁμοῦ καὶ ἀρχόμενοι, ὑποστρώσωμεν τὰ ἡμῶν αὐτῶν ἔμφυτα ἱμάτια, τὴν ἡμετέραν σάρκα καὶ τὰ κατ' αὐτὴν θελήματα ὑποτάσσοντες τῷ πνεύματι, ἵνα μὴ μόνον καταξιωθῶμεν ἰδεῖν καὶ προσκυνῆσαι καὶ τὸ σωτήριον τοῦ Χριστοῦ πάθος καὶ τὴν ἁγίαν ἀνάστασιν, ἀλλὰ καὶ τῆς πρὸς αὐτὸν κοινωνίας καταπολαύσωμεν· «εἰ γὰρ σύμφυτοι», φησὶν ὁ ἀπόστολος, «γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, δῆλον ὅτι καὶ τῆς ἀναστάσεως ἐσόμεθα».

14 *Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ἄς μή ἀποβάλλωμε τήν ἀπό αὐτόν κληρονομία οὔτε τό σῆμα πού μᾶς ἔδωσε, γιά νά μή ἀποβάλλωμε καί τήν υἱοθεσία καί τήν εὐλογία καί τήν πρός αὐτόν μαθητεία, καί τότε θά ξεπέσωμε ἀπό τήν ἐλπίδα πού μᾶς ἀναμένει καί θά κλεισθοῦμε ἔξω ἀπό τόν πνευματικό νυμφῶνα. Ὅπως δέ πρίν ἀπό τό σωτηριῶδες πάθος, καθώς ὁ Κύριος εἰσερχόταν στήν κάτω Ἱερουσαλήμ, τοῦ ἔστρωναν τά ἱμάτια ὄχι μόνο ὁ λαός, ἀλλά καί οἱ πραγματικοί ἄρχοντες τῶν ἐθνῶν, οἱ Ἀπόστολοι τοῦ Κυρίου δηλαδή, ἔτσι κι' ἐμεῖς ἄρχοντες μαζί καί ἀρχόμενοι, ἄς στρώσωμε τά ἔμφυτα ἱμάτιά μας, ὑποτάσσοντας τήν σάρκα καί τά θελήματά της στό πνεῦμα. Ἔτσι ὄχι μόνο θ' ἀξιωθοῦμε νά ἰδοῦμε καί νά προσκυνήσωμε τό σωτηριῶδες πάθος τοῦ Χριστοῦ καί τήν ἁγία ἀνάστασι, ἀλλά καί ν' ἀπολαύσωμε τήν κοινωνία πρός αὐτόν· «διότι», λέγει ὁ ἀπόστολος, «ἐάν ἐγίναμε σύμφυτοι μέ τό ὁμοίωμα τοῦ θανάτου του, εἶναι φανερό ὅτι θά γίνωμε σύμφυτοι καί τῆς ἀναστάσεως»[23].

14 Αὐτήν τήν ἀνάστασι εἴθε νά ἐπιτύχωμε ὅλοι ἐμεῖς, μέ τήν χάρι καί φιλανθρωπία τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος μας Ἰησοῦ Χριστοῦ, στόν ὁποῖο πρέπει κάθε δόξα, τιμή καί προσκύνησις, μαζί μέ τόν ἄναρχο Πατέρα του καί τό ζωοποιό Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Γένοιτο.

23. Ρωμ. 6,5.



ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΣΑΡΚΑ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΟΙΚΟΝΟΜΙΑΣ, ΚΑΙ ΤΩΝ ΔΙ' ΑΥΤΗΣ ΚΕΧΑΡΙΣΜΕΝΩΝ ΤΟΙΣ ΩΣ ΑΛΗΘΩΣ ΕΙΣ ΑΥΤΟΝ ΠΙΣΤΥΕΟΥΣΙ

Καὶ ὅτι πολυτρόπως ὁ Θεὸς δυνάμενος τῆς τοῦ διαβόλου τυραννίδος λυτρώσασθαι τὸν ἄνθρωπον, εἰκότως ταύτῃ μᾶλλον ἐχρήσατο τῇ οἰκονομίᾳ

ΟΜΙΛΙΑ ΙΣΤ'

ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΣΑΡΚΑ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΟΙΚΟΝΟΜΙΑΣ, ΚΑΙ ΤΩΝ ΔΙ' ΑΥΤΗΣ ΚΕΧΑΡΙΣΜΕΝΩΝ ΤΟΙΣ ΩΣ ΑΛΗΘΩΣ ΕΙΣ ΑΥΤΟΝ ΠΙΣΤΕΥΟΥΣΙ

Καὶ ὅτι πολυτρόπως ὁ Θεὸς δυνάμενος τῆς τοῦ διαβόλου τυραννίδος λυτρώσασθαι τὸν ἄνθρωπον, εἰκότως ταύτῃ μᾶλλον ἐχρήσατο τῇ οἰκονομίᾳ

Ἐξεφωνήθη κατὰ τὸ μέγα Σάββατον

1

τοῦ Θεοῦ προαιώνιος καὶ ἀπερίληπτος καὶ παντοκράτωρ Λόγος καὶ Υἱὸς παντοδύναμος ἐδύνατο πάντως καὶ χωρὶς τῆς οἰκείας ἐνανθρωπήσεως ρύσασθαι τὸν ἄνθρωπον τῆς θνητότητος καὶ τῆς δουλείας τοῦ διαβόλου· πάντα γὰρ φέρει τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ καὶ πάντα ὑπόκειται τῇ τούτου θεϊκῇ ἐξουσίᾳ καὶ πάντα δύναται κατὰ τὸν Ἰώβ, ἀδυνατεῖ δὲ τούτῳ οὐδέν· τῇ γὰρ τοῦ κτίστου ἐξουσίᾳ κτίσματος ἀντιβλέψαι ἰσχὺς οὐ δύναται, καὶ τοῦ

ΟΜΙΛΙΑ 16

ΠΕΡΙ ΤΗΣ ΟΙΚΟΝΟΜΙΑΣ ΤΟΥ ΚΥΡΙΟΥ ΜΑΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΚΑΤΑ ΤΗ ΣΑΡΚΑ ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΧΑΡΙΤΩΝ ΤΗΣ ΣΤΟΥΣ ΑΛΗΘΩΣ ΠΙΣΤΕΥΟΝΤΑΣ Σ' ΑΥΤΟΝ

Καί ὅτι ὁ Θεός, ἄν καί μποροῦσε πολυτρόπως νά λυτρώση τόν ἄνθρωπο ἀπό τήν τυραννία τοῦ Διαβόλου, εὐλόγως προτίμησε αὐτήν τήν οἰκονομία

Ἐκφωνήθηκε κατά τό μέγα Σάββατο

1 Ὁ προαιώνιος καί ἀπερίληπτος καί παντοκράτωρ Λόγος τοῦ Θεοῦ καί παντοδύναμος Υἱός μποροῦσε βεβαίως νά σώση καί χωρίς τήν ἐνανθρώπησί του τόν ἄνθρωπο ἀπό τή θνητότητα καί τή δουλεία τοῦ Διαβόλου· διότι βαστάζει τά πάντα μέ τόν λόγο τῆς δυνάμεώς του καί ὅλα ὑπόκεινται στή θεϊκή ἐξουσία του, ὅλα τά κατορθώνει καί τίποτε δέν εἶναι ἔξω ἀπό τή δύναμί του· ἡ ἰσχύς τοῦ κτίσματος δέν μπορεῖ ν' ἀντιμετωπί-

Παντοκράτορος ἰσχυρότερον οὐδέν. Ἀλλ' ὁ πρὸς τὴν ἡμετέραν φύσιν καὶ ἀσθένειαν ἁρμοδιώτερος καὶ τῷ δρῶντι πρεπωδέστατος τρόπος οὗτος ἦν, ὁ διὰ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου τοῦ Θεοῦ, ὡς καὶ τὸ δίκαιον ἔχων μεθ' ἑαυτοῦ, οὗ χωρὶς οὐδὲν ὑπὸ Θεοῦ τελεῖται· «δίκαιος γὰρ ὁ Θεὸς καὶ δικαιοσύνας ἠγάπησε καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ», κατὰ τὸν ψαλμῳδὸν προφήτην. Ἐπεὶ δὲ καὶ τὴν ἀρχὴν ὁ ἄνθρωπος ἐγκαταλειφθεὶς ὑπὸ Θεοῦ δικαίως, ὃς αὐτὸς πρῶτος ἐγκαταλιπὼν αὐτόν, καὶ τῷ ἀρχεκάκῳ προσδραμὼν ἑκὼν καὶ τ' ἀναντία σὺν δόλῳ συμβουλεύοντι πεισθεὶς δικαίως ἐκείνῳ παρεδόθη, καὶ οὕτω φθόνῳ τοῦ πονηροῦ καὶ συγχωρήσει δικαίᾳ τοῦ ἀγαθοῦ θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν· ὃς ἐξ ὑπερβαλλούσης τοῦ ἀρχεκάκου κακίας καὶ διπλασίων ἐγένετο· οὐχ ὁ φυσικὸς γὰρ μόνος, ἀλλὰ καὶ ὁ ἀΐδιος αὐτοῦ προξενοῦντος τελεῖται.

2 *Ἐπεὶ οὖν σὺν δίκῃ τῇ τοῦ διαβόλου δουλείᾳ καὶ τῇ θνητότητι παρεδόθημεν, ἔδει πάντως καὶ τὴν πρὸς ἐλευθερίαν καὶ ζωὴν ἐπάνοδον τοῦ ἀνθρωπίνου γένους σὺν δίκῃ παρὰ τοῦ Θεοῦ τελεσθῆναι. Μὴ μόνον δὲ ὁ ἄνθρωπος θείᾳ δικαιοσύνῃ τῷ φθονήσαντι παρεδόθη, ἀλλὰ καὶ αὐτὸς ὁ διάβολος τὴν μὲν δικαιοσύνην ἀφ' ἑαυτοῦ ἀπώσατο, γεγονὼς δὲ ἀδίκως τῆς ἐξουσίας καὶ τῆς αὐτοκρατορίας μᾶλλον δὲ τῆς τυραννίδος ἐραστής, τῇ δικαιοσύνῃ μαχόμενος τῇ δυνάμει κατὰ τοῦ ἀνθρώπου ἐχρήσατο. Ἔρρεσε γοῦν τῷ Θεῷ πρῶτον τῇ δικαιοσύνῃ καταβληθῆναι τὸν διάβολον, ἥπερ αὐτὸς διατελεῖ μαχόμενος, ὕστερον δὲ τῇ δυνάμει διὰ τῆς ἀναστάσεως καὶ τῆς μελλού-*

ση τήν ἐξουσία τοῦ κτίστη καί τίποτε δέν εἶναι ἰσχυρότερο ἀπό τόν Παντοκράτορα. Ἀλλά ὁ ἁρμοδιώτερος πρός τήν φύσι καί ἀσθένειά μας τρόπος καί ὁ καταλληλότερος γιά τόν ἐνεργοῦντα ἦταν αὐτός, ὁ διά τῆς ἐνανθρωπήσεως τοῦ Λόγου τοῦ Θεοῦ, διότι ὁ τρόπος αὐτός ἔχει καί τό δίκαιο μέ τό μέρος του, χωρίς τό ὁποῖο τίποτε δέν ἐνεργεῖται ἀπό τόν Θεό. Ἐπειδή πραγματικά στήν ἀρχή ὁ ἄνθρωπος ἐγκαταλείφθηκε δικαίως ἀπό τόν Θεό, ἀφοῦ πρῶτος αὐτός τόν ἐγκατέλειψε, κι' ἔτρεξε ἑκουσίως πρός τόν ἀρχέκακο Διάβολο κι' ἐπείσθηκε σ' αὐτόν πού συμβουλεύει δολίως τά ἀντίθετα, δικαίως παραδόθηκε σ' ἐκεῖνον. Ἔτσι ἀπό φθόνο τοῦ πονηροῦ καί μέ δικαία παραχώρησι τοῦ ἀγαθοῦ εἰσῆλθε στόν κόσμο ὁ θάνατος. Ὁ δέ θάνατος ἀπό τήν ὑπερβολή τῆς κακίας τοῦ ἀρχεκάκου ἔγινε διπλάσιος· διότι δέν πραγματοποιεῖται μόνο ὁ φυσικός, ἀλλά καί ὁ ἀΐδιος μέ τήν ἐνέργεια αὐτοῦ.

2 Ἐπειδή λοιπόν μέ δίκη παραδοθήκαμε στή δουλεία τοῦ Διαβόλου καί τήν θνητότητα, ἔπρεπε ὁπωσδήποτε καί ἡ ἐπάνοδος τοῦ ἀνθρωπίνου γένους πρός την ἐλευθερία καί τή ζωή νά πραγματοποιηθῆ ἀπό τόν Θεό μέ δίκη. Ὄχι μόνο δέ ὁ ἄνθρωπος παραδόθηκε στόν φθονερό ἀπό τή θεία δικαιοσύνη, ἀλλά καί ὁ ἴδιος ὁ Διάβολος ἀπεμάκρυνε ἀπό κοντά του τήν δικαιοσύνη, γενόμενος δέ ἀδίκως ἐραστής τῆς ἐξουσίας καί τῆς αὐταρχίας, μᾶλλον δέ τῆς τυραννίδος, μαχόμενος πρός τήν δικαιοσύνη ἐχρησιμοποίησε τήν δύναμι κατά τοῦ ἀνθρώπου. Ἄρεσε λοιπόν στόν Θεό πρῶτα νά καταβληθῆ ὁ Διάβολος μέ τή δικαιοσύνη πρός τήν ὁποία αὐτός συνεχῶς μάχεται, ὕστερα δέ μέ τή δύναμι διά τῆς ἀναστάσεως καί τῆς μέλλουσας κρίσεως· αὐτή ἄλλωστε εἶναι ἡ ἀρίστη τάξις, νά προηγῆται ἡ δικαιοσύνη τῆς δυνάμεως, καί τοῦτο εἶναι ἀληθῶς ἔργο θείας καί ἀγαθῆς δεσποτείας ἀλλ' ὄχι τυραννίδος.

σης κρίσεως· αὕτη γὰρ ἀρίστη τάξις, προηγεῖσθαι τὴν δικαιοσύνην τῆς δυνάμεως, καὶ τοῦτο θείας ὡς ἀληθῶς καὶ ἀγαθῆς δεσποτείας ἀλλ' οὐ τυραννίδος ἔργον, τῇ δικαιοσύνῃ τὴν δύναμιν ἕπεσθαι.

3 *Καθάπερ γὰρ ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος φθόνῳ καὶ μίσει καθ' ἡμῶν ἐπήρθη, οὕτως ὁ ἀρχηγὸς τῆς ζωῆς ὑπερβολῇ φιλανθρωπίας καὶ ἀγαθότητος ὑπὲρ ἡμῶν ἐκινήθη· καὶ ὡς ἐκεῖνος ἀδικίᾳ καὶ δόλῳ τὴν νίκην ἑαυτῷ καὶ τὴν τοῦ ἀνθρώπου πτῶσιν κατέπραξεν, οὕτως ὁ ἐλευθερωτὴς ἐν δικαιοσύνῃ καὶ σοφίᾳ τὴν ἧτταν εἰς τέλος τοῦ ἀρχεκάκου καὶ τὴν ἀνακαίνισιν τοῦ οἰκείου ἐξείργασται πλάσματος. Παρέλιπεν οὖν ὁ Θεὸς πρότερον ὅπερ ἠδύνατο, ἵν' ὅπερ ἐχρῆν ἐνεργήσῃ πρότερον. Περιφανεστέρα δὲ κάντεῦθεν ἡ δικαιοσύνη γέγονε προκριθεῖσα παρὰ τοῦ δύναμιν ἀήττητον ἔχοντος· διδαχθῆναι δὲ καὶ τοὺς ἀνθρώπους ἔδει τὴν δικαιοσύνην ἐνταῦθα δι' ἔργων ἐν τῷ καιρῷ τῆς θνητότητος ἐπιδείκνυσθαι, ἵν' ἐν τῷ καιρῷ τῆς ἀθανασίας, τὴν δύναμιν λαβόντες, ἀναπόβλητον ἔχωσι.*

4 *Πρὸς δὲ τούτοις ἔδει καὶ ὑπὸ τῆς νικηθείσης φύσεως νικηθῆναι τὸν νικήσαντα καὶ κατασοφισθῆναι τὸν κατασοφισάμενον. Διὰ τοῦτο ἔδει τε καὶ ἀναγκαῖον ἦν ἄνθρωπον γενέσθαι ἁμαρτίας ἄγευστον ἐσόμενον. Τοῦτο δὲ τῶν ἀδυνάτων ἦν· «οὐδεὶς γάρ», ἡ Γραφή φησιν, «ἀναμάρτητος, οὐδ' ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ», καὶ «τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν;», καὶ οὐδεὶς ἀναμάρτητος εἰμὴ εἷς ὁ Θεός». Διὰ ταῦτα ὁ ἐκ Θεοῦ Θεὸς Λόγος, ἐξ ἐκείνου μὲν ἐξ ἀϊδίου ὤν, ἀλλὰ καὶ ἐν ἐκείνῳ, οὐ γὰρ ἔστιν οὐδ' ἐννοῆσαί ποτε Θεὸν ἄλογον, καὶ σὺν ἐκείνῳ εἷς Θεὸς ὑπάρχων (οὐδὲ γὰρ τὸ ἡλιακὸν*

1. Ἰὼβ 14,4-5.
2. Παροιμ. 20,9.

3 Ὅπως δηλαδή ὁ ἀπό τήν ἀρχή ἀνθρωποκτόνος ἐξεγέρθηκε ἀπό φθόνο καί μῖσος ἐναντίον μας, ἔτσι ὁ ἀρχηγός τῆς ζωῆς ἐκινήθηκε ὑπέρ ἡμῶν ἀπό ὑπερβολή φιλανθρωπίας καί ἀγαθότητος· καί ὅπως ἐκεῖνος ἀδίκως ἀγάπησε τήν ἀπώλεια τοῦ πλάσματος τοῦ Θεοῦ, ἔτσι ὁ πλάστης ἐνδίκως ἀγάπησε τή σωτηρία τοῦ πλαστουργήματος· καί ὅπως ἐκεῖνος μέ ἀδικία καί δόλο ἐπέτυχε τή νίκη του καί τήν πτῶσι τοῦ ἀνθρώπου, ἔτσι ὁ ἐλευθερωτής μέ δικαιοσύνη καί σοφία πραγματοποίησε τήν τελική ἧττα τοῦ ἀρχεκάκου καί τήν ἀνακαίνισι τοῦ πλάσματός του. Παρέλειψε λοιπόν ὁ Θεός πρωτύτερα αὐτό πού μποροῦσε, γιά νά ἐνεργήση πρῶτα αὐτό πού ἔπρεπε. Ἀπό αὐτό ἔγινε περιφανεστέρα ἡ δικαιοσύνη, ἀφοῦ προκρίθηκε ἀπό αὐτόν πού ἔχει ἀήττητη δύναμι· ἔπρεπε δέ νά διδαχθοῦν καί οἱ ἄνθρωποι νά ἐπιδεικνύουν τή δικαιοσύνη μέ ἔργα ἐδῶ κατά τόν καιρό τῆς θνητότητος, ὥστε παίρνοντας δύναμι νά τήν διατηροῦν σταθερά τόν καιρό τῆς ἀθανασίας.

4 Ἐπί πλέον ἔπρεπε ὁ νικητής νά νικηθῆ ἀπό τήν νικημένη φύσι καί ὁ ἐξευτελιστής νά ἐξευτελισθῆ. Γι' αὐτό ἔπρεπε καί ἦταν ἀναγκαῖο νά γίνη ἕνας ἄνθρωπος ἄγευστος τῆς ἁμαρτίας. Τοῦτο δέ ἦταν ἀπό τά ἀδύνατα· «διότι κανείς», λέγει ἡ Γραφή, «δέν εἶναι ἀναμάρτητος, οὔτε ἄν ἡ ζωή του διαρκέση μιά ἡμέρα»[1], καί «ποιός θά καυχηθῆ ὅτι ἔχει ἁγνή τήν καρδιά;»[2], καί «κανείς δέν εἶναι ἀναμάρτητος παρά μόνο ἕνας, ὁ Θεός»[3]. Γι' αὐτό ὁ ἀπό τόν Θεό Θεός Λόγος, πού ἀϊδίως ἦταν ἀπό ἐκεῖνον, ἀλλ' ὑπῆρχε καί σ' ἐκεῖνον, διότι δέν εἶναι δυνατό οὔτε νά σκεφθοῦμε ποτέ Θεό ἄλογο, καί μαζί μ' ἐκεῖνον, διότι οὔτε τό

3. Μάρκ. 10,18.

ἀπαύγασμα φῶς ἕτερον παρὰ τὸν ἥλιον, οὐδὲ ἡ τοῦ ἡλίου ἀκτὶς ἕτερός ἐστιν ἥλιος παρὰ τὸν ἕνα)· διὰ ταῦτα τοίνυν ὁ μόνος ἀναμάρτητος Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ υἱὸς ἀνθρώπου γίνεται, κατὰ τὴν θεότητα ἄτρεπτος, κατὰ τὴν ἀνθρωπότητα ἄμεμπτος, «ὅς, μόνος καθάπερ φθάσας Ἡσαΐας προεμαρτύρησεν, ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ», καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὃς μόνος οὐδ' ἐν' ἀνομίαις συνελήφθη, οὐδ' ἐν ἁμαρτίαις ἐκυήθη, καθάπερ ἐν ψαλμοῖς ὁ Δαβὶδ περὶ ἑαυτοῦ, μᾶλλον δὲ παντὸς ἀνθρώπου μαρτυρεῖ. Ἡ γὰρ τῆς σαρκὸς ἐπανάστασις ἀκούσιος οὖσα καὶ ἀντιστρατευομένη φανερῶς τῷ νόμῳ τοῦ νοός, εἰ καὶ παρὰ τῶν σωφρονούντων βίᾳ δουλαγωγεῖται καὶ πρὸς παιδοποιΐαν μόνον ἀνίεται, ἀλλὰ τὴν ἀπ' ἀρχῆς ἐπάγεται καταδίκην, φθορὰ οὖσά τε καὶ λεγομένη καὶ πρὸς φθορὰν πάντως γεννῶσα καὶ τοῦ μὴ συνειδότος τὴν τιμήν, ἣν ἡμῶν ἡ φύσις ἔλαχε παρὰ Θεοῦ, ἀλλὰ τοῖς κτήνεσιν ὁμοιωθέντος, ἐμπαθὴς ὑπάρχουσα κίνησις.

5 Διὰ τοῦτο οὐ μόνον Θεὸς ἐν ἀνθρώποις, ἀλλὰ καὶ ἐκ Παρθένου ἁγίας καὶ μεμολυσμένων λογισμῶν τῶν ἐκ τῆς σαρκὸς ἀνωτέρας κατὰ τοὺς προφήτας γεννᾶται, Παρθένου ἧς τὴν σύλληψιν ἁγίου Πνεύματος ἐπέλευσις, οὐ σαρκὸς ἐπήνεγκεν ὄρεξις, εὐαγγελισμὸς καὶ πίστις Θεοῦ ἐνδημίας, ἀλλ' οὐ συγκατάθεσις καὶ πεῖρα ἐμπαθοῦς ἐπιθυμίας προείληφε· ταύτης γὰρ παντελῶς ἀπωκισμένης, προσευχῇ καὶ θυμηδίᾳ πνευματικῇ «ἰδοὺ γὰρ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμα σου» πρὸς τὸν εὐαγγελιστὴν ἄγγελον ἡ ἄσπιλος

4. Α΄ Πέτρ. 2,22.
5. Ψαλμ.50,7.

ἡλιακό ἀπαύγασμα εἶναι φῶς διαφορετικό ἀπό τόν ἥλιο, οὔτε ἡ ἀκτίς τοῦ ἡλίου εἶναι διαφορετικός ἥλιος ἀπό τόν ἕνα· γι' αὐτό λοιπόν ὁ μόνος ἀναμάρτητος Υἱός καί Λόγος τοῦ Θεοῦ γίνεται υἱός ἀνθρώπου, ἄτρεπτος κατά τήν θεότητα, ἄμεμπτος κατά τήν ἀνθρωπότητα, «ὁ μόνος πού», ὅπως προεμαρτύρησε ὁ Ἡσαΐας, «δέν διέπραξε ἁμαρτίες οὔτε εὑρέθηκε δόλος στό στόμα του»[4], καί ὄχι μόνο αὐτό, ἀλλά καί ὁ μόνος πού δέν συνελήφθηκε», ὅπως μαρτυρεῖ ὁ Δαβίδ στούς ψαλμούς περί τοῦ ἑαυτοῦ του, μᾶλλον δέ περί παντός ἀνθρώπου[5]. Διότι ἡ ἐπανάστασις τῆς σαρκός, πού εἶναι ἀκουσία καί ἀντιστρατεύεται φανερά τόν νόμο τοῦ νοός, ἄν καί ἀπό τούς σώφρονες δουλαγωγεῖται μέ βία καί ἀφήνεται μόνο χάριν παιδοποιίας, πάντως ἐπιφέρει τήν ἀρχική καταδίκη, διότι εἶναι καί λέγεται φθορά καί ὁπωσδήποτε γεννᾶ γιά φθορά, καί εἶναι ἐμπαθής κίνησις τοῦ μή ἔχοντος συνείδησι τῆς τιμῆς πού ἐπῆρε ἡ φύσις ἀπό τόν Θεό, ἀλλά ὁμοιωθέντος μέ τά κτήνη.

5 Γι' αὐτό ὁ Θεός ὄχι μόνο ἦλθε ἀνάμεσα στούς ἀνθρώπους ἀλλά καί κατά τούς προφῆτες γεννᾶται ἀπό Παρθένο ἁγία καί ἀνωτέρα τῶν μολυσμένων ἀπό τήν σάρκα λογισμῶν, Παρθένο τῆς ὁποίας τή σύλληψι ἐπέφερε ἐπέλευσις ἁγίου Πνεύματος καί ὄχι ὄρεξις σαρκός, ὁ εὐαγγελισμός καί ἡ πίστις στήν ἐπιφάνεια τοῦ Θεοῦ καί ὄχι ἡ ἀποδοχή καί δοκιμή τῆς ἐμπαθοῦς ἐπιθυμίας. Πραγματικά, ἐνῶ αὐτή ἡ ἐπιθυμία ἦταν ἐντελῶς ἀποδιωγμένη, ἡ ἄσπιλος Παρθένος εἶπε πρός τόν εὐαγγελιστή ἄγγελο μέ προσευχή καί πνευματική ἀγαλλίασι, «ἰδού ἡ δούλη τοῦ Κυρίου, ἄς μοῦ συμβῆ σύμφωνα μέ τά λόγια σου»[6]· καί ἀφοῦ συνέ-

6. Λουκᾶ 1,33.

Παρθένος ἔφη, συλλαβοῦσά τε γεγέννηκεν, ὡς ἂν ὁ τοῦ διαβόλου νικητῆς, ἄνθρωπος θεάνθρωπος ὤν, τοῦ γένους μόνον, ἀλλ' οὐχὶ καὶ τῆς ἁμαρτίας ἕλκη τὴν ρίζαν· μόνος ἁπάντων οὐκ ἐν ἀνομίαις συλληφθείς, οὐδ' ἐν ἁμαρτίαις κυηθείς, ἡδονῇ δηλαδὴ σαρκὸς καὶ πάθει καὶ ρυπαροῖς λογισμοῖς τῆς ἐκ τῆς παραβάσεως μεμιασμένης φύσεως· ὡς ἂν ᾖ καὶ κατὰ τὸ πρόσλημα τελέως καθαρὸς καὶ ἀμόλυντος καὶ μὴ κατ' αὐτὸ δι' αὐτὸν καθαρσίων δεόμενος, ἀλλὰ δι' ἡμᾶς τὰ πάντα σοφῶς δεχόμενος, καὶ οὕτω νέος ὄντως Ἀδὰμ χρηματίσῃ καὶ διαμείνῃ νέος ὄντως καὶ εὐσθενής, μηδαμῶς παλαιούμενος, καὶ τὸν παλαιὸν Ἀδὰμ ἐν ἑαυτῷ καὶ δι' ἑαυτοῦ ἀνακτίσῃ καὶ εἰς ἀεὶ συντηρήσῃ νέον, δυνατὸς ὢν εἰς ἅπαν ἀποσείσασθαι τὴν παλαίωσιν. Κἀκεῖνος γὰρ ὁ πρῶτος Ἀδὰμ ἀμόλυντος τὴν ἀρχὴν ἐκτίσθη παρὰ Θεοῦ καὶ νέος ἦν, μέχρις ἑκὼν τῷ διαβόλῳ πεισθεὶς καὶ πρὸς τὰς τῆς σαρκὸς ἡδονὰς ἐκτραπεὶς καὶ τῷ μολυσμῷ τῆς ἁμαρτίας ὑποπεσὼν πεπαλαίωται καὶ πρὸς τὸ παρὰ φύσιν ἐξέπεσε.

6 *Διὰ τοῦτο οὐ χειρὶ μόνον ὁ δεσπότης ἀνακαινίζει παραδόξως αὐτόν, ἀλλὰ καὶ κατέχει τοῦτον παρ' ἑαυτῷ, οὐκ ἀναλαβόμενος μόνον καὶ τοῦ πτώματος τὴν ἀνθρωπίνην ἐξάρας φύσιν, ἀλλὰ καὶ περιβαλόμενος ἀφράστως καὶ συναφθεὶς ἀδιαιρέτως ταύτῃ καὶ τεχθεὶς Θεὸς ὁμοῦ καὶ ἄνθρωπος, ἐκ γυναικὸς μέν, ἵνα τὴν παρ' αὐτοῦ πλασθεῖσαν ἀναλάβηται φύσιν, ἐκ παρθένου δὲ ταύτης, ἵνα καινὸν ποιήσῃ τὸν ἄνθρωπον. Εἰ γὰρ ἐκ σπέρματος ἦν, οὐκ ἂν ἦν καινὸς ἄνθρωπος, οὐκ ἂν ἦν τῆς καινῆς καὶ μηδαμῶς παλαιουμένης ζωῆς ἀρχηγός τε καὶ χορηγός, οὐδ' ἂν ἐδυνήθη, τοῦ παλαιοῦ κόμματος ὤν, τὸ πλήρωμα ἐν ἑαυτῷ δέξασθαι τῆς ἀκηράτου θεότητος καὶ*

λαβε ἐγέννησε, ὡσάν ὁ νικητής τοῦ Διαβόλου ἄνθρωπος, ἐπειδή ἦταν θεάνθρωπος, νά ἔσυρε τή ρίζα μόνο τοῦ γένους ἀλλ' ὄχι καί τῆς ἁμαρτίας· διότι ἀπό ὅλους ἦταν ὁ μόνος πού δέν συνελήφθηκε μέ ἀνομίες καί δέν ἐκυοφορήθηκε μέ ἁμαρτίες, δηλαδή μέ ἡδονή σαρκός, μέ πάθος καί μέ ρυπαρούς λογισμούς τῆς μιασμένης ἀπό τήν παράβασι φύσεως. Συνέβηκε λοιπόν αὐτό, ὥστε κατά τό πρόσλημμα νά εἶναι τελείως καθαρός καί ἀμόλυντος καί γι' αὐτό νά μή χρειάζεται καθαρμό γιά τόν ἑαυτό του, ἀλλά νά δέχεται γιά μᾶς τά πάντα σοφῶς, κι' ἔτσι νά καταστῆ πραγματικός νέος Ἀδάμ καί νά παραμείνη πραγματικά νέος καί ρωμαλέος, χωρίς νά παλαιώνεται, καί νά ἀνακτήση μέσα του καί δι' ἑαυτοῦ τόν παλαιό Ἀδάμ καί νά τόν διατηρήση παντοτινά νέο, ἔχοντας τή δύναμι ν' ἀπορρίψη πλήρως τήν παλαίωσι. Κι' ἐκεῖνος ἄλλωστε ὁ πρῶτος Ἀδάμ στήν ἀρχή ἐκτίσθηκε ἀπό τόν Θεό ἀμόλυντος καί ἦταν νέος, ἕως ὅτου, ἐπειδή ἐπείσθηκε ἑκουσίως στόν Διάβολο κι' ἐκτράπηκε πρός τίς ἡδονές τῆς σαρκός κι' ὑπέπεσε στόν μολυσμό τῆς ἁμαρτίας, ἐπαλαιώθηκε κι' ἐξέπεσε πρός τό παρά φύσι.

6 Γι' αὐτό ὁ δεσπότης ὄχι μόνο τόν ἀνεκαίνισε παραδόξως μέ τό χέρι, ἀλλά καί τόν κρατεῖ κοντά του· δέν ἔλαβε μόνο τήν ἀνθρώπινη φύσι καί τήν ἀνύψωσε ἀπό τήν πτῶσι, ἀλλά καί τήν περιέβαλε ἀφράστως καί ἑνώθηκε μέ αὐτήν ἀδιαιρέτως κι' ἐγεννήθηκε Θεός μαζί καί ἄνθρωπος, ἀπό γυναῖκα μέν, γιά ν' ἀναλάβη ἐκείνην τήν ἀπό αὐτόν πλασθεῖσα καί μέ τήν συμβουλή τοῦ πονηροῦ κλαπεῖσα φύσι, ἀπό παρθένο δέ γυναῖκα, γιά νά κάμη νέο τόν ἄνθρωπο. Διότι ἄν ἦταν σπέρμα, δέν θά ἦταν νέος ἄνθρωπος, δέν θά ἦταν ἀρχηγός καί χορηγός τῆς νέας μή παλαιουμένης καθόλου ζωῆς, καί δέν θά μποροῦσε, ἀφοῦ θά ἦταν τῆς παλαιᾶς μερίδος, νά δεχθῆ στόν ἑαυτό του τό πλήρωμα τῆς ἄφθαρτης θεότητος καί νά καταστήση τήν σάρκα ἀνεξάντλητη

πηγὴν ποιῆσαι τὴν σάρκα τοῦ ἁγιασμοῦ ἀνεξάντλητον, ὡς καὶ τῶν προπατόρων ἐκείνων τὸν μολυσμὸν ἀποπλῦναι περιουσία δυνάμεως καὶ τοῖς ἑξῆς ἀρκεῖν πρὸς ἁγιασμὸν ἅπασι. Διὰ τοῦτο οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος οὕτως εὐδόκησε δι' ἔλεος ἡμᾶς σῶσαι καὶ ἀναπλάσαι, μείνας μὲν ἀναλλοιώτως Θεός, προελθὼν δὲ τέλειος καθ' ἡμᾶς ἄνθρωπος.

7 Γεννᾶται τοιγαροῦν ἐκ Παρθένου ἁγίας ὁ μόνος ἐξ αἰῶνος ἀνυπεύθυνος ἄνθρωπος, ὁ μόνος μηδαμόθεν ὢν τῆς τοῦ Θεοῦ ἐγκαταλείψεως ἄξιος. Καὶ πρὶν ἢ γνῶναι τὸ κακὸν ἐκλέγεται τὸ ἀγαθὸν κατὰ τὴν προφητείαν· καὶ βιοῖ βίον παντάπασιν ἀναμάρτητον, μηδὲ κατ' αὐτὸν εὑρεθεὶς σὺν δίκῃ τῆς τοῦ Θεοῦ ἐγκαταλείψεως ἄξιος, ἐπεὶ μηδ' αὐτὸς τὸν Θεόν, ὡς ὁ πρῶτος Ἀδάμ, παραβὰς ἐγκατέλιπε, πάσης ἐντολῆς θείας, παντὸς νόμου θείου πληρωτὴς γενόμενος, κἀντεῦθεν καὶ τῆς τοῦ διαβόλου δουλείας δικαίως ἐλεύθερος. Καὶ οὕτω νικᾶται παρὰ ἀνθρώπου ὁ τὴν ἀρχὴν τὸν ἄνθρωπον νικήσας διάβολος καὶ ὁ τὴν κατ' εἰκόνα Θεοῦ νικήσας φύσιν καὶ διὰ τοῦτο μεγαλαυχῶν καταβάλλεται τῆς ἐπάρσεως, καὶ ὁ ἄνθρωπος ἀναπλάττεται τοῦ κατὰ ψυχὴν καὶ ὄντως θανάτου· θανάτου, ὃν ἀπέθανεν εὐθὺς τοῦ ἀπηγορευμένου ξύλου γευσάμενος· θανάτου, ὃς ἠπείληται πρὸ τῆς παρακοῆς τῷ Ἀδὰμ καὶ τῇ Εὔα ὑπὸ Θεοῦ πρὸς αὐτοὺς εἰπόντος· «ᾗ ἂν ὥρᾳ φάγησθε ἀπὸ τοῦ ξύλου θανάτῳ ἀποθανεῖσθε»· τὸν γὰρ τῆς σαρκὸς θάνατον μετὰ τὴν παρακοὴν κατεκρίθημεν, τηνικαῦτα τοῦ Θεοῦ πρὸς τὸν Ἀδὰμ εἰπόντος, ὅτι «γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ». Καθάπερ γὰρ ἡ τοῦ σώματος παρὰ τῆς ψυχῆς

7. Ἡσ. 7,16.
8. Γεν. 2,17.

πηγή τοῦ ἁγιασμοῦ, ὥστε μέ τήν ἀφθονία δυνάμεως καί τῶν προπατόρων ἐκείνων τόν μολυσμό ν' ἀποπλύνη καί στούς ἑπομένους ὅλους ν' ἀρκῆ πρός ἁγιασμό. Γι' αὐτό, οὔτε ἄγγελος οὔτε ἄνθρωπος, ἀλλ' ὁ ἴδιος ὁ Κύριος εὐδόκησε ἀπό εὐσπλαγχνία νά μᾶς σώση καί νά μᾶς ἀναπλάση, μένοντας ἀναλλοιώτως Θεός, προβαίνοντας ὅμως τέλειος ἄνθρωπος κατά τό εἶδος μας.

7 Γεννᾶται λοιπόν ἀπό ἁγία Παρθένο ὁ μόνος ἀπό τούς αἰῶνες ἀθῶος ἄνθρωπος, ὁ μόνος πού κατά κανένα τρόπο δέν ἦταν ἄξιος νά ἐγκαταλειφθῆ ἀπό τόν Θεό. Καί πρίν γνωρίση τό κακό, ἐκλέγει κατά τήν προφητεία τό ἀγαθό[7] καί ζῆ βίο ἐντελῶς ἀναμάρτητο· δέν εὑρέθηκε στόν βίο ἄξιος τῆς ἐγκαταλείψεως τοῦ Θεοῦ δικαίως, ἐπειδή οὔτε αὐτός ἐγκατέλειψε μέ παράβασι τόν Θεό, ὅπως ὁ πρῶτος Ἀδάμ, ἀφοῦ ἔγινε πληρωτής κάθε θείας ἐντολῆς, κάθε θείου νόμου, καί γι' αὐτό ἔμεινε δικαίως ἐλεύθερος ἀπό τήν δουλεία στόν Διάβολο. Ἔτσι νικᾶται ἀπό ἄνθρωπο ὁ Διάβολος πού στήν ἀρχή ἐνίκησε τόν ἄνθρωπο καί ἐκεῖνος πού ἐνίκησε τήν κατ' εἰκόνα τοῦ Θεοῦ φύσι, πού μεγαλαυχοῦσε γι' αὐτό, καταβάλλεται ἀπό τήν ἔπαρσί του, καί ὁ ἄνθρωπος ἀναπλάττεται ἀπό τόν ψυχικό καί πραγματικό θάνατο· ἀπό τόν θάνατο, στόν ὁποῖο ἀπέθανε εὐθύς μόλις ἐγεύθηκε τό ἀπαγορευμένο ξύλο· ἀπό τόν θάνατο ὁ ὁποῖος ἐδείχθηκε ὡς ἀπειλή πρίν ἀπό τήν παρακοή στόν Ἀδάμ καί τήν Εὔα ἀπό τόν Θεό πού εἶπε πρός αὐτούς· «τήν ὥρα πού θά φάγετε ἀπό τό ξύλο θ' ἀποθάνετε μέ θάνατο»[8]· ἐνῶ στόν θάνατο τῆς σαρκός καταδικασθήκαμε μετά τήν παρακοή, τότε πού ὁ Θεός εἶπε πρός τόν Ἀδάμ, ὅτι «γῆ εἶσαι καί στή γῆ θά μεταβῆς»[9]. Ὅπως δηλαδή ἡ ἐγκατάλειψις τοῦ σώματος ἀπό τήν ψυχή καί ὁ χωρι-

9. Γεν. 3,19.

ἐγκατάλειψις καὶ ὁ ταύτης ἀπ' αὐτοῦ χωρισμὸς θάνατός ἐστι τοῦ σώματος, οὕτω καὶ ἡ τῆς ψυχῆς παρὰ Θεοῦ ἐγκατάλειψις καὶ ὁ ἐξ αὐτῆς τούτου χωρισμὸς θάνατός ἐστι ψυχῆς τρόπον ἕτερον ἀθανάτου μενούσης· αἰσχρὰ μὲν γὰρ γίνεται καὶ ἀχρεία χωρισθεῖσα Θεοῦ καὶ μᾶλλον ἢ τὸ σῶμα τὸ νεκρόν, οὐ διαλύεται δὲ καθάπερ ἐκεῖνο μετὰ τὴν νέκρωσιν, ὅτι μηδ' ἐκ συνθέσεως ἔχει τὴν ὕπαρξιν.

8 Ἴδοι δ' ἄν τις τοῦτο καὶ ἐπὶ τῶν καθάπαξ ἀψύχων σωμάτων· τὰ γὰρ ἐν τούτοις ἁπλούστερα μονιμώτερα. Διὰ τοῦτο ἡ λογικὴ ψυχὴ μὴ μόνον ἀργίαν πάσχει τῆς πρὸς τὸ ἀγαθὸν ἐνεργείας χωρισθεῖσα Θεοῦ, ἀλλὰ καὶ ἐνεργὸς καθ' ἑαυτῆς γίνεται τῇ πρὸς τὰ χείρω ροπῇ, μέχρις ἂν οὕτως ἀνεπιστρόφως ἡ ἀθλία βιοῦσα, νῦν μὲν ἐν τῷ τοῦ σώματος χωρισμῷ, ἐν τῷ καιρῷ δὲ τῆς κρίσεως μετὰ σώματος τῷ ἀλύτῳ καὶ ἀφορήτῳ δεσμῷ παραδοθῇ τῆς αἰωνίου κολάσεως, ἣν ὁ Θεὸς ἡτοίμασε τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Νεκροὶ γὰρ καὶ οὗτοι πάντες, εἰ καὶ τὴν κακίαν εἰσὶν ἐνεργοί, δι' ἣν καὶ δικαίως ἐγκατελείφθησαν ὑπὸ Θεοῦ τῆς ὄντως ζωῆς. Ταύτην τὴν νέκρωσιν πρῶτος ὑποστὰς ὁ Σατάν, ὡς ἐγκαταλειφθεὶς δικαίως ὑπὸ Θεοῦ δι' ἀπείθειαν, κοινωνοὺς ἡμᾶς αὐτῆς προσελάβετο, διὰ τῆς κακοβούλου συμβουλῆς συγκατασπάσας πρὸς τὴν ἀπείθειαν· ἀλλ' ἐλυτρώσατο τὴν ἡμετέραν φύσιν ὁ Χριστὸς ἐκ τῆς νεκρώσεως ταύτης, κατὰ τὸν ἀνθρώπινον βίον ἑαυτοῦ δι' ἔργων ἐπιδειξάμενος πᾶσαν εὐπείθειαν.

9 Ἔδει δὲ πάντως μὴ τὴν ἀνθρωπίνην φύσιν μόνην, ἐν αὐτῷ τὸ εἶναι λαβοῦσαν, ἀλλὰ καὶ τὸ ἀνθρώπινον ἀπαθανατίσαι γένος καὶ ποδηγῆσαι πρὸς τὴν μέθεξιν τῆς ζωῆς ταύτης, τῆς καὶ τῷ σώματι κατὰ καιρὸν προξενούσης τὴν ζωὴν τὴν αἰώνιον, ὡς καὶ ἡ νέκρωσις

σμός της ἀπό αὐτόν εἶναι θάνατος τοῦ σώματος, ἔτσι καί ἡ ἐγκατάλειψις τῆς ψυχῆς ἀπό τόν Θεό καί ὁ χωρισμός τούτου ἀπό αὐτήν εἶναι θάνατος τῆς ψυχῆς, ἄν καί κατ' ἄλλον τρόπο μένει ἀθάνατη· διότι, ἄν χωρισθῆ ἀπό τόν Θεό γίνεται αἰσχρά καί ἀχρεία καί περισσότερο νεκρή ἀπό τό σῶμα, δέν διαλύεται ὅμως ὅπως ἐκεῖνο μετά τήν νέκρωσι, διότι δέν ἔχει τήν ὕπαρξι ἀπό σύνθεσι.

8 Θά μποροῦσε δέ νά τό ἰδῆ κανείς τοῦτο καί στά ἐντελῶς ἄψυχα σώματα· διότι τά ἁπλούστερα μεταξύ αὐτῶν εἶναι μονιμώτερα. Γι' αὐτό ἡ λογική ψυχή ὄχι μόνο παθαίνει ἀργία, ἄν χωρισθῆ ἀπό τήν πρός τό ἀγαθό ἐνέργεια τοῦ Θεοῦ, ἀλλά καί γίνεται ἐνεργός κατά τοῦ ἑαυτοῦ της μέ τήν πρός τά χειρότερα ροπή, ἕως ὅτου ζώντας ἀμετανοήτως ἡ ἀθλία, τώρα μέν σέ χωρισμό ἀπό τό σῶμα, κατά τόν καιρό δέ τῆς κρίσεως μαζί μέ τό σῶμα, παραδοθῆ στόν ἄλυτο καί ἀφόρητο δεσμό τῆς αἰωνίου κολάσεως, τήν ὁποία ὁ Θεός ἑτοίμασε γιά τόν Διάβολο καί τούς ἀγγέλους του. Διότι καί αὐτοί ὅλοι εἶναι νεκροί, ἄν καί εἶναι ἐνεργοί κατά τήν κακία, λόγω τῆς ὁποίας καί δικαίως ἐγκαταλείφθηκαν ἀπό τόν Θεό τῆς πραγματικῆς ζωῆς. Αὐτήν τήν νέκρωσι ὑπέστη πρῶτος ὁ Σατανᾶς, διότι ἐγκαταλείφθηκε δικαίως ἀπό τόν Θεό λόγω ἀπειθείας, ἔπειτα δέ μᾶς προσέλαβε κοινωνούς αὐτῆς, καταρρίπτοντάς μας μαζί του πρός τήν ἀπείθεια διά τῆς κακοβούλου συμβουλῆς· ἀλλά ἐλύτρωσε τήν φύσι μας ὁ Χριστός ἀπό αὐτήν τήν νέκρωσι, ἀφοῦ ἐπέδειξε κάθε εἴδους εὐπείθεια κατά τόν ἀνθρώπινο βίο του μέ ἔργα.

9 Ἔπρεπε δέ ὁπωσδήποτε νά ἀποθανατίση ὄχι μόνο τήν ἀνθρώπινη φύσι, πού ἐπῆρε τήν ὕπαρξι ἐν αὐτῷ, ἀλλά καί τό ἀνθρώπινο γένος καί νά τό ποδηγετήση πρός τήν μέθεξι αὐτῆς τῆς ζωῆς, ἡ ὁποία στόν κατάλληλο χρόνο προξενεῖ καί στό

ἐκείνη τῆς ψυχῆς καὶ τῷ σώματι κατὰ καιρὸν προξενούσης τὴν ζωὴν τὴν αἰώνιον, ὡς καὶ ἡ νέκρωσις ἐκείνη τῆς ψυχῆς καὶ τῷ σώματι τὸν θάνατον προεξένησε. Διὸ καὶ φανερωθῆναι τὴν οἰκονομίαν ταύτην ἀναγκαιότατόν τε ἦν ὁμοῦ καὶ λυσιτελέστατον καὶ προτεθῆναι τὴν αὐτοῦ πολιτείαν εἰς μίμησιν. Ἦν γὰρ ὅτε καὶ τῷ ἀνθρώπῳ καθάπερ καὶ τοῖς ἀγαθοῖς ἀγγέλοις ὁ Θεὸς εἰς μίμησιν προὔκειτο καθορώμενος. Ἐπεὶ δὲ τῆς ἐποψίας ἐκείνης διαπεπτώκαμεν κάτω που ῥίψαντες ἑαυτούς, ἐξ ὑπερβαλλούσης φιλανθρωπίας ἡμῖν συγκαταβαίνει Θεὸς τοῦ ὕψους, μηδαμῶς ἐκστὰς τῆς οἰκείας θεότητος, καὶ συμπολιτευσάμενος ἡμῖν ἑαυτὸν εἰς ὑπόδειγμα τῆς πρὸς ζωὴν ἐπανόδου προτίθησιν.

10 *Οὐ μόνον δέ, ἀλλὰ καὶ διδάσκαλος ἡμῶν γίνεται, λόγῳ τὴν πρὸς τὴν ζωὴν φέρουσαν ὑποδεικνὺς καὶ θαύμασι μεγίστοις τὸν τῆς διδασκαλίας λόγον πιστούμενος. Καὶ δικαιοῦται μὲν οὕτως ἡ ἀνθρωπίνη φύσις, ὡς μὴ παρ' ἑαυτῆς ἔχουσα τὴν πονηρίαν, δικαιοῦται δὲ καὶ ὁ Θεός, ὡς μηδεμιᾶς κακίας αἴτιος καὶ ποιητὴς ὤν. Εἰ μὴ γὰρ ὁ συναΐδιος τοῦ Πατρὸς ἐνηνθρώπησε Λόγος, φύσει ἂν ἔδοξεν εἶναι ἡ ἁμαρτία ἐν τῷ ἀνθρώπῳ, οὐδεὶς γὰρ ἐξ αἰῶνος ἀναμάρτητος ἐγένετο ἄνθρωπος, καὶ συνέβαινεν ἐπὶ τὸν κτίστην ἀναφέρεσθαι τὴν μέμψιν, ὡς οὐκ ἀγαθῶν ὄντα κτίστην, οὐδ' ἀγαθὸν αὐτὸν ὄντα, ἔτι δὲ καὶ κριτὴν ἄδικον, ὡς μὴ δικαίως καταδικάσαντα τὸν ὑπ' αὐτοῦ γεγονότα καταδίκης ἄξιον ἄνθρωπον.*

11 *Διὰ τοῦτο ἀναλαμβάνει τὴν ἀνθρωπίνην φύσιν ὁ Θεός, ἵνα δείξῃ τοσοῦτον ἁμαρτίας οὖσαν ἐκτὸς καὶ τοσοῦτο κεκαθαρμένην, ὡς καὶ ἑνωθῆναι τούτῳ δύνασθαι καθ' ὑπόστασιν καὶ συνδιαιωνίζειν αὐτῷ ἀδιαίρετον· καὶ οὕτως ἔργῳ πᾶσιν ἀνακηρύττεσθαι, ὅτι ὁ Θεὸς ἀγαθός τε καὶ δίκαιος, ἀγαθῶν τε ποιητὴς καὶ δίκης δικαίας*

σῶμα τήν αἰώνια ζωή, ὅπως καί ἡ νέκρωσις ἐκείνη τῆς ψυχῆς προξένησε τόν θάνατο καί στό σῶμα. Γι' αὐτό ἦταν ἀναγκαιότατο καί ὠφελιμώτατο νά ἐκδηλωθῆ αὐτή ἡ οἰκονομία καί νά προβληθῆ ἡ πολιτεία του πρός μίμησι. Ὑπῆρχε ἐποχή πού ὁ Θεός προβαλλόταν γιά νά καθορᾶται πρός μίμησι ἀπό τόν ἄνθρωπο ὅπως καί ἀπό τούς ἀγαθούς ἀγγέλους. Ἐπειδή δέ, ἀφοῦ κατερρίψαμε κάπου κάτω τούς ἑαυτούς μας, ἐξεπέσαμε ἀπό τήν ἐποψία ἐκείνη, συγκατεβαίνει πρός ἐμᾶς ἀπό ὑπερβολική φιλανθρωπία ὁ Θεός ἀπό τό ὕψος, χωρίς νά ἐξέλθη ἀπό τήν θεότητά του, καί συμβιώνοντας μαζί μας προβάλλει τόν ἑαυτό του ὡς ὑπόδειγμα τῆς ἐπανόδου πρός τήν ζωή.

10 Ὄχι μόνο δέ αὐτό, ἀλλά γίνεται καί διδάσκαλός μας, ὑποδεικνύοντας μέ λόγο τόν δρόμο πού ὁδηγεῖ πρός τήν ζωή καί ἐπιβεβαιώνοντας τόν λόγο τῆς διδασκαλίας μέ μεγάλα θαύματα. Καί δικαιώνεται μέν ἔτσι ἡ ἀνθρωπίνη φύσις, ἐφ' ὅσον δέν ἔχει ἀφ' ἑαυτῆς τήν πονηρία, δικαιώνεται δέ καί ὁ Θεός, ἐφ' ὅσον δέν εἶναι αἴτιος καί ποιητής καμμιᾶς κακίας. Πραγματικά ἄν δέν ἐνανθρωποῦσε ὁ συναΐδιος Λόγος τοῦ Πατρός, ἡ ἁμαρτία θά ἐφαινόταν ὅτι ὑπάρχει ἐκ φύσεως στόν ἄνθρωπο, διότι κανείς ἄνθρωπος ἀπό τούς αἰῶνες δέν ἔγινε ἀναμάρτητος· καί θά συνέβαινε νά ἀπευθυνθῆ πρός τόν κτίστη ἡ μομφή, ὅτι δέν εἶναι δημιουργός ἀγαθῶν οὔτε ὁ ἴδιος εἶναι ἀγαθός, ἀλλ' ἀκόμη ὅτι εἶναι κριτής ἄδικος, σάν νά μή κατεδίκασε δικαίως τόν ἄνθρωπο πού ἔγινε ἀπό μόνος του ἄξιος καταδίκης.

11 Γι' αὐτό ἀναλαμβάνει τήν ἀνθρωπίνη φύσι ὁ Θεός, γιά νά δείξη ὅτι τόσο ἔξω ἀπό τήν ἁμαρτία καί τόσο καθαρή εἶναι, ὥστε νά μπορῆ καί νά ἑνωθῆ μέ αὐτόν κατά ὑπόστασι καί νά διαμένη αἰωνίως μέ αὐτόν χωρίς χωρισμό· κι' ἔτσι νά διακηρύσσεται σέ ὅλους ἐμπράκτως ὅτι ὁ Θεός εἶναι ἀγαθός καί δί-

ἔφορος. Τοῦ μὲν γὰρ Σατὰν καὶ τῶν συναποστάντων ἀγγέλων ἐξ οὐρανοῦ πεσόντων, ἦν ἐκ τῶν φυλαττόντων τὴν ἑαυτῶν τάξιν ἀγγέλων κατανοεῖν, ὅτι οὐ φύσει τὸ κακὸν ἐν ἀγγέλοις, φύσει δὲ μᾶλλον τὸ ἀγαθὸν ἐν αὐτοῖς, καὶ φύσις ἐστὶν ἀγαθότητος ὁ κτίσας αὐτούς, παρ' οὗ καὶ ὁ Σατὰν ὑπὸ ζόφον αἰώνιον δίκῃ δικαίᾳ κατεδικάσθη, ὡς δημιουργὸς αὐτὸς ἑαυτῷ τῆς κακίας γενόμενος τῇ ἐκτροπῇ τοῦ καλοῦ. Ἀδὰμ δὲ πεσόντος τῇ τοῦ καλοῦ πρὸς τὸ κακὸν ἐκτροπῇ, οὐδεὶς ὑπελείφθη πρὸς τὸ κακὸν ἄτρεπτος, οὐδὲ μετὰ τὸν Ἀδὰμ ἀνεφάνη.

12 Διὰ τοῦτο νέος Ἀδὰμ ἀνεφάνη Χριστός, ὃς κατὰ τὸν Ἡσαΐαν ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ διενοήσατο, πολλῷ μᾶλλον οὐδὲ ἐλάλησεν· οὐδὲ γὰρ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Οὐκ εἶπεν 'ἐκ τοῦ στόματος', ἀλλ' «ἐν τῷ στόματι», ἵνα καὶ τὸ τῶν λογισμῶν ἄμωμον ὑποσημήνῃ, ὡς καὶ ἀλλαχοῦ φησιν, ὅτι πρὶν ἢ γνῶναι τὸ κακόν, ἐξελέξατο τὸ ἀγαθόν, καὶ οὕτως ἐδικαιώθη ὁ Θεός, ὡς εἴρηται, καὶ ἀνεδείχθη ὄντως ἀγαθὸς καὶ ἀγαθῶν ἔργων ποιητής, ἀναμαρτήτου γεγονότος ἀνθρώπου καὶ ἀναφανείσης ἐν Χριστῷ τῆς ἐνυπηργμένης ὑπ' αὐτοῦ καθαρότητος τῇ ἀνθρωπίνῃ φύσει.

13 Ἐπεὶ οὖν ἔδει φανερωθῆναι καὶ παρρησίᾳ προτεθῆναι τὴν ἀπόρρητον ταύτην οἰκονομίαν, πέμπεται Ἰωάννης ἐκ τῆς ἐρημίας ὁ φερωνύμως Πρόδρομος ὑπὸ τοῦ Θεοῦ, βαπτίζων τοὺς προσιόντας καὶ παραγγέλλων ἑτοίμους εἶναι πιστεύειν εἰς τὸν ἐρχόμενον, ὃν φησι καὶ βαπτίσειν αὐτοὺς ἐν Πνεύματι ἁγίῳ καὶ πυρί, ἀλλὰ καὶ μείζονα ἑαυτοῦ τοσοῦτον εἶναι, ὅσον τὸ Πνεῦμα τὸ

10. Ἡσ. 53,9.

καιος, ποιητής ἀγαθῶν καί ἔφορος δικαίας δίκης. Ὅταν δηλαδή ἔπεσαν ἀπό τόν οὐρανό ὁ Σατανᾶς καί οἱ συναποστάτες ἄγγελοι, οἱ ἄγγελοι, πού διετήρησαν τή θέσι τους, μποροῦσαν νά ἐννοήσουν ὅτι τό κακό στούς ἀγγέλους δέν εἶναι ἀπό τήν φύσι, ἀλλά μᾶλλον τό ἀγαθό εἶναι ἐκ φύσεως σ' αὐτούς, καί φύσις ἀγαθότητος εἶναι ὁ κτίστης των, ἀπό τόν ὁποῖο καί ὁ Σατανᾶς καταδικάσθηκε μέ δικαία κρίσι ὑπό τόν αἰώνιο ζόφο, διότι μέ τήν ἐκτροπή ἀπό τό καλό ἔγινε αὐτός ὁ ἴδιος στόν ἑαυτό του δημιουργός τῆς κακίας. Ὅταν δέ ἔπεσε ὁ Ἀδάμ μέ τήν ἐκτροπή ἀπό τό καλό πρός τό κακό, κανένας δέν ἔμεινε ἄτρεπτος πρός τό κακό, οὔτε ἐφάνηκε μέ τόν Ἀδάμ.

12 Γι' αὐτό ἀναφάνηκε νέος Ἀδάμ ὁ Χριστός, ὁ ὁποῖος κατά τόν Ἡσαΐα δέν διέπραξε ἁμαρτία οὔτε διανοήθηκε, πολύ περισσότερο οὔτε ἐλάλησε· διότι δέν εὑρέθηκε δόλος στό στόμα του[10]. Δέν εἶπε ἐκ τοῦ στόματος, ἀλλά ἐν τῷ στόματι, ὥστε καί τό ἄψογο τῶν λογισμῶν νά ὑποσημάνη, ὅπως καί ἀλλοῦ λέγει, κι' ἔτσι ἐδικαιώθηκε ὁ Θεός, ὅπως ἔχει λεχθῆ, κι' ἀναδείχθηκε πραγματικά ἀγαθός καί ποιητής ἀγαθῶν ἔργων, ἀφοῦ ἔγινε ἕνας ἄνθρωπος ἀναμάρτητος καί ἀναφάνηκε στό Χριστό ἡ καθαρότης πού ἐγκαινίασε αὐτός στήν ἀνθρωπίνη φύσι.

13 Ὅταν λοιπόν ἔπρεπε νά φανερωθῆ καί νά προβληθῆ παρρησία ἡ ἀπόρρητη αὐτή οἰκονομία, στέλλεται ἀπό τήν ἐρημία ὁ Ἰωάννης ἀπό τόν Θεό, ὁ φερωνύμως Πρόδρομος, πού ἐβάπτιζε τούς πλησιάζοντας καί παρήγγελλε νά εἶναι ἕτοιμοι νά πιστεύσουν στόν ἐρχόμενο, ὁ ὁποῖος λέγει, θά τούς βαπτίση μέ Πνεῦμα ἅγιο καί πῦρ[11], ἀλλά καί θά εἶναι τόσο μεγαλύτερος ἀπό αὐτόν, ὅσο τό Πνεῦμα τό ἅγιο ὑπερέχει τοῦ ὕδατος· διότι μαρτυ-

11. Ματθ. 3,11.

ἅγιον ὑπερέχει τοῦ ὕδατος· δεσπότην γὰρ εἶναι τοῦτον μαρτυρεῖ καὶ τοῦ παντὸς ποιητὴν καὶ ἐξουσιαστὴν τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων· καὶ τούτου λογικὸν γεώργιον τοὺς ἀνθρώπους εἶναι πάντας καὶ τοῦ τοιούτου γεωργίου τὸ πτύον, τὰς λειτουργικὰς δυνάμεις δηλαδή, ἐν τῇ χειρὶ καὶ τῇ ἐξουσίᾳ ἔχειν ἑαυτοῦ τὸν ἐρχόμενον. Οὐ μόνον δὲ δι' ἑαυτοῦ τοιοῦτον εἶναι μαρτυρεῖ τὸν ἐρχόμενον ὁ τοῦ Κυρίου Πρόδρομος, ἀλλὰ καὶ τὸν Ἡσαΐαν ὑποφαίνει προανακηρύξαντα Κύριον αὐτόν, ἑαυτὸν δὲ ὑπηρέτην πεμφθέντα εἰς τὸ προκηρύξαι τὴν ἐκείνου ἔλευσιν καὶ προτρέψασθαι τοὺς πειθομένους ἑτοιμασθῆναι πρὸς ὑποδοχήν, λέγων· «ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου».

14 Μαρτυρεῖ δὲ τοῦτον, ὅτι καὶ πρὸ τοῦ συλληφθῆναι αὐτὸν καὶ γενέσθαι ἦν· «ἔμπροσθεν γάρ μου γέγονε», φησίν, «ὅτι πρῶτος μου ἦν», καίτοι ἡ σύλληψις αὐτοῦ καὶ ἡ γέννησις ὕστερον μετὰ τὴν Ἰωάννου ἦν. Εἰ οὖν πρῶτος, οὐ κατὰ σάρκα δὲ ἦν, πρὸ τῆς σαρκὸς οὐκοῦν ἦν. Προϊὼν δὲ καὶ ἀμνὸν τοῦ Θεοῦ εἶναι τοῦτον μαρτυρεῖ, τὴν ἁμαρτίαν αἴροντα τοῦ κόσμου, προκαταγγέλλων τὴν ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν αὐτοῦ θυσίαν καὶ σφαγήν· ἀλλὰ καὶ αὐτὸν εἶναι μαρτυρεῖ τὸν Ὕψιστον καὶ ἐξ οὐρανοῦ τοῦτον καταβῆναι καὶ ἀπειροδύναμον εἶναι, ὡς οὐκ ἐκ μέτρου λαβόντα τὸ Πνεῦμα παρὰ τοῦ Πατρός. Καὶ τοῖς μὲν εἰς αὐτὸν πιστεύουσιν ἐπαγγέλλεται ζωὴν αἰώνιον, τοῖς δὲ ἀπειθοῦσιν ἀπειλεῖ τὴν τοῦ Θεοῦ ἀναπόδραστον ὀργήν· ἀποκρίνεται γὰρ περὶ αὐτοῦ, παρὰ τῶν οἰκείων μαθητῶν ἐρωτηθείς, ὅτι «ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι», καὶ δεικνὺς τίνος ἕνεκεν ἐκείνου μὴ μόνον αὐτός, ἀλλὰ καὶ τὰ πάντα ἐλάττω, κα-

12. Λουκᾶ 3,4.
13. Ἰω. 1,15.

ρεῖ ὅτι αὐτός εἶναι δεσπότης καί ποιητής τοῦ σύμπαντος καί ἐξουσιαστής τῶν ἀγγέλων καί τῶν ἀνθρώπων· καί αὐτοῦ λογικός ἀγρός εἶναι ὅλοι οἱ ἄνθρωποι καί τοῦ ἀγροῦ αὐτοῦ τό φτυάρι, δηλαδή τίς λειτουργικές δυνάμεις, ἔχει στό χέρι καί στήν ἐξουσία του ὁ ἐρχόμενος. Ὄχι μόνο δέ ἀφ' ἑαυτοῦ του ὁ Πρόδρομος τοῦ Κυρίου μαρτυρεῖ ὅτι ὁ ἐρχόμενος θά εἶναι τέτοιας λογῆς, ἀλλά ὑποδηλώνει ὅτι καί ὁ Ἠσαΐας τόν προανεκήρυξε Κύριο, καί ὅτι αὐτός ὁ ἴδιος ἐστάλθηκε γιά νά προκηρύξη τήν ἔλευσι ἐκείνου καί νά προτρέψη τούς πιστούς νά ἑτοιμασθοῦν γιά τήν ὑποδοχή, λέγοντας, «ἐγώ εἶμαι φωνή βοῶντος στήν ἔρημο, ἑτοιμάσατε τήν ὁδό τοῦ Κυρίου»[12].

14 Μαρτυρεῖ δέ ὅτι αὐτός ἦταν καί πρίν συλληφθῆ καί γεννηθῆ· διότι, λέγει, «ἐπῆγε ἐμπρός μου, διότι ἦταν πρίν ἀπό μένα»[13], ἄν καί ἡ σύλληψις καί ἡ γέννησίς του ἔγινε ἔπειτα ἀπό τοῦ Ἰωάννη. Ἄν λοιπόν ἦταν πρῶτος, ἀλλ' ὄχι κατά τήν σάρκα, ἀσφαλῶς ἦταν πρίν ἀπό τήν σάρκα. Στή συνέχεια δέ μαρτυρεῖ ὅτι αὐτός εἶναι καί ἀμνός τοῦ Θεοῦ, πού αἴρει τήν ἁμαρτία τοῦ κόσμου, προκαταγγέλλοντας τήν θυσία καί σφαγή του γιά τήν ἄφεσι τῶν ἁμαρτιῶν μας· ἀλλά μαρτυρεῖ καί ὅτι εἶναι αὐτός ὁ Ὕψιστος, πού κατέβηκε ἀπό τούς οὐρανούς καί εἶναι ἀπειροδύναμος, διότι δέν ἔλαβε μέ μέτρο τό Πνεῦμα ἀπό τόν Πατέρα. Καί σ' αὐτούς μέν πού πιστεύουν σ' αὐτόν ὑπόσχεται αἰώνια ζωή, τούς ἀπειθοῦντας δέ ἀπειλεῖ μέ τήν ἀναπόδραστη ὀργή τοῦ Θεοῦ. Διότι ἀποκρίνεται περί αὐτοῦ, ὅταν ἐρωτήθηκε ἀπό τούς μαθητάς του, ὅτι «ἐκεῖνος πρέπει ν' αὐξάνεται, ἐγώ δέ νά ἐλαττώνωμαι»[14], καί δεικνύοντας γιά ποιό λογο ὄχι μόνο αὐτός ἀλλά τά πάντα εἶναι κατώτερα ἀπό ἐκεῖνον, ὅσο ἡ γῆ τοῦ ὑπε-

14. Ἰω. 3,30.

θόσον ἡ γῆ τοῦ ὑπερουρανίου· «ὁ ἄνωθεν», φησίν, «ἐρχόμενος ἐπάνω πάντων ἐστίν», ἐξηρημένος πάντων καὶ τὴν πατρῴαν ὑπεροχὴν ἀποσῴζων ὡς υἱὸς ἀγαπητός· καὶ πάλιν, «ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱόν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ· ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον, ὁ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωήν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν».

15 *Ἔρχεται γοῦν καὶ ὁ Χριστὸς πρὸς τὸ βάπτισμα, τοῦτο μὲν διὰ τὴν πρὸς τὸν πέμψαντα τὸν Ἰωάννην εὐπείθειαν, ὡς καὶ αὐτὸς εἶπεν, «οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην», τοῦτο δὲ διὰ τὴν οἰκείαν φανέρωσιν, πρὸς δὲ καὶ ὥστε τῆς σωτηρίου ποδηγίας ἀπάρξασθαι καὶ πιστώσασθαι τοῖς ἑπομένοις καὶ βαπτιζομένοις, ὡς αὐτὸς ὑπέδειξε καὶ προσέταξεν, ὅτι Πνεῦμα ἅγιον δίδοται, καὶ δι' ἑαυτοῦ τὸ βάπτισμα κατασκευάσαι καθαρτικὸν φάρμακον τῶν ἡμῖν ἐντακέντων μολυσμάτων ἐξ ἐμπαθοῦς γενέσεως καὶ βιώσεως. Εἰ γὰρ καὶ αὐτὸς οὐδ' ὡς ἄνθρωπος ἐδεῖτο καθάρσεως, ἐξ ἀμολύντου γεννηθεὶς Παρθένου καὶ βιοὺς πάσης ἁμαρτίας ἐκτός, ἀλλ' ἐπεὶ δι' ἡμᾶς ἐγεννήθη, δι' ἡμᾶς καὶ καθαίρεται.*

16 *Βαπτίζεται τοίνυν παρὰ τοῦ Ἰωάννου καὶ ἀνιόντι ἀπὸ τοῦ ὕδατος ἀνοίγονται αὐτῷ οἱ οὐρανοὶ καὶ φωνὴ τοῦ Πατρὸς ἐξάκουστος ἐκεῖθεν γίνεται· «οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα»· καὶ ὡς περιστερὰ ἐπ' αὐτὸν κατέρχεται τὸ Πνεῦμα τοῦ Θεοῦ, δεικνῦντος τοῖς παροῦσι τὸν μαρτυρούμενον ἄνωθεν. Καὶ φανεροῦται μὲν οὕτως ἐκεῖνος Υἱὸς ὢν ἀληθινός· φανεροῦται δὲ ὁ ἐν τοῖς οὐ-*

15. Ἰω. 3,31
16. Ἰω. 3,35.

ρουρανίου, λέγει, «ὁ ἀπό ἄνω ἐρχόμενος εἶναι ἐπάνω ἀπό ὅλα»[15], εἶναι ὑψηλότερα ἀπό ὅλα, καί διατηρεῖ τήν πατρική ὑπεροχή ὡς ἀγαπητός υἱός· καί πάλι, «ὁ Πατήρ ἀγαπᾶ τόν Υἱό, καί τοῦ ἔδωσε τά πάντα στό χέρι του· αὐτός πού πιστεύει στό Θεό ἔχει ζωή αἰώνια, αὐτός πού ἀπειθεῖ στόν Υἱό δέν θά ἰδῆ τή ζωή, ἀλλά ἡ ὀργή τοῦ Θεοῦ θά πέση ἐπάνω του»[16].

15 Ἔρχεται λοιπόν ὁ Χριστός πρός τό βάπτισμα, ἀφ' ἑνός μέν ἀπό ὑπακοή πρός αὐτόν πού ἀπέστειλε τόν Ἰωάννη, ὅπως εἶπε καί ὁ ἴδιος, «διότι ἔτσι πρέπει νά ἐκπληρώσωμε ὅλους τούς νόμους»[17], ἀφ' ἑτέρου δέ γιά τήν φανέρωσί του, καί ἐπί πλέον γιά ν' ἀρχίση τήν σωτηριώδη καθοδήγησι καί νά διαβεβαιώση τούς ὀπαδούς του πού βαπτίζονται, ὅπως αὐτός ὑπέδειξε καί προσέταξε, ὅτι δίδεται ἅγιο Πνεῦμα, καί γιά νά καταστήση τό βάπτισμα δι' αὐτοῦ καθαρτικό φάρμακο τῶν μολυσμάτων πού ἔχουν ἐνσταλαχθῆ μέσα μας ἀπό ἐμπαθῆ γέννησι καί διαβίωσι. Διότι, ἄν καί ὁ ἴδιος δέν ἐχρειαζόταν κάθαρσι οὔτε ὡς ἄνθρωπος, ἀφοῦ ἐγεννήθηκε ἀπό ἀμόλυντη Παρθένο κι' ἔζησε ἔξω ἀπό κάθε ἁμαρτία, ἀλλά ἐπειδή ἐγεννήθηκε γιά μᾶς, γιά μᾶς καί καθαρίζεται.

16 Βαπτίζεται λοιπόν ἀπό τόν Ἰωάννη καί καθώς ἀνέβαινε ἀπό τά ὕδατα, τοῦ ἀνοίγονται οἱ οὐρανοί κι' ἀκούεται ἀπό ἐκεῖ φωνή τοῦ Πατρός· «αὐτός εἶναι ὁ Υἱός μου ὁ ἀγαπητός, γιά τόν ὁποῖο εὐχαριστοῦμαι»[18]· καί σάν περιστερά κατεβαίνει ἐπάνω του τό Πνεῦμα τοῦ Θεοῦ, ὁ ὁποῖος δεικνύει στούς παρόντας τόν μαρτυρούμενο ἀπό ἄνω. Ἔτσι ἐκεῖνος μέν φανερώνεται ὅτι εἶ-

17. Ματθ. 3,15.
18. Ματθ. 3,17.

ρανοῖς Πατὴρ Πατὴρ ὑπάρχων ἀληθής· φανεροῦται δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, προϊὸν μὲν καθ' ὕπαρξιν ἐκ τοῦ Πατρός, ἐπαναπαυόμενον δὲ τῷ γνησίῳ τοῦ Πατρὸς Υἱῷ· ἐγκατοικίζεται δὲ τῷ ὕδατι τοῦ βαπτίσματος ἡ χάρις ἑαυτοῦ καὶ τοῦ Πατρὸς αὐτοῦ καὶ τοῦ Πνεύματος· ὡς ἂν τοῖς κατ' αὐτὸν ἔπειτα βαπτιζομένοις προσφυομένη ἀναγεννᾷ τούτους θείως καὶ ἀνακαινίζῃ καὶ ἀναπλάττῃ μυστικῶς, ὡς μηκέτι ἐκ τοῦ παλαιοῦ Ἀδὰμ ὄντας ἐκεῖθεν ἕλκειν τὴν ἀράν, ἀλλ' ἐκ τοῦ νέου Ἀδὰμ τὴν γέννησιν σχόντας τὴν εὐλογίαν ἐντεῦθεν ἔχειν, μηκέτι τέκνα σαρκὸς ὄντας, ἀλλὰ τέκνα Θεοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ ἐγεννήθησαν.

17 *Κἂν γὰρ ἔτι πρὸς γυμνασίαν, πρὸς δοκιμήν, πρὸς διόρθωσιν, πρὸς κατάληψιν τῆς ταλαιπωρίας τοῦ αἰῶνος τούτου τῷ κάτω βρίθοντι φορτίῳ τῆς φθειρομένης σαρκὸς βαρύνωνται, ἀλλ' ἀοράτως ἐνδεδυμένοι Χριστόν εἰσιν, ὡς δύνασθαι κἀνταῦθά τῆς αὐτοῦ πολιτείας μεταλαγχάνειν σπουδάζοντες καὶ μετὰ τὴν ἐνθένδε λῆξιν τῆς αὐτοῦ μακαριότητος καὶ λαμπρότητος καὶ ἀφθαρσίας μετασχεῖν. Καθάπερ γὰρ δι' ἑνὸς τοῦ Ἀδὰμ εἰς τοὺς μεταγενεστέρους προγονικῶς διέβη ἡ τοῦ θανάτου εὐθύνη, οὕτως ἐξ ἑνὸς τοῦ θεανθρώπου Λόγου, εἰς τοὺς ἀναγεννωμένους ἐξ αὐτοῦ πάντας, ἡ τῆς αἰωνίου καὶ οὐρανίου ζωῆς διαβαίνει χάρις. Διὸ καὶ ἀνεῳγμένος ἐστὶ τούτοις ὁ οὐρανός, ὑποδεξόμενος τούτους κατὰ καιρόν, εἴπερ, τραφέντες ἐν τῇ πρὸς αὐτὸν πίστει καὶ τῇ κατὰ πίστιν δικαιοσύνῃ, κληρονόμοι γένωνται Θεοῦ, καθάπερ ἐξουσίαν ἔλαβον, καὶ Χριστοῦ συγκληρονόμοι, τῆς ἀκηράτου ζωῆς αὐτοῦ καὶ τῆς ἀθανασίας μετασχόντες καὶ τούτῳ συνόντες ἀχωρίστως καὶ τῆς ἐκείνου δόξης καταπολαύοντες.*

ναι ἀληθινός Υἱός, φανερώνεται ὁ Πατήρ στούς οὐρανούς ὅτι εἶναι ἀληθινός Πατήρ, φανερώνεται δέ καί τό Πνεῦμα τό ἅγιο, ὅτι προέρχεται κατά τήν ὕπαρξι ἀπό τόν Πατέρα, ἐπαναπαύεται δέ στόν γνήσιο Υἱό τοῦ Πατρός· ἐγκαθίσταται στό ὕδωρ τοῦ βαπτίσματος ἡ χάρις αὐτοῦ καί τοῦ Πατρός του καί τοῦ Πνεύματος· ὥστε, προσφυομένη ἔπειτα στούς βαπτιζομένους κατά τό παράδειγμά του, τούς ἀναγεννᾶ θείως, τούς ἀνακαινίζει καί τούς ἀναπλάττει μυστικῶς, σέ τρόπο πού νά μή εἶναι πλέον ἀπό τόν παλαιό Ἀδάμ γιά νά ἔλκουν ἀπό ἐκεῖ τήν κατάρα, ἀλλά νά ἔχουν τήν γέννησι ἀπό τόν νέο Ἀδάμ γιά νά ἔχουν ἀπό ἐδῶ τήν εὐλογία, νά μή εἶναι πλέον τέκνα σαρκός ἀλλά τέκνα Θεοῦ, τά ὁποῖα δέν ἐγεννήθηκαν ἀπό αἵματα οὔτε ἀπό θέλημα σαρκός οὔτε ἀπό θέλημα ἀνδρός, ἀλλά ἀπό τόν Θεό διά τοῦ Ἰησοῦ Χριστοῦ.

17 Κι' ἄν ἀκόμη, γιά ἄσκησι, γιά δοκιμασία, γιά διόρθωσι, γιά κατάληψι τῆς ταλαιπωρίας τοῦ αἰῶνος τούτου βαρύνωνται ἀπό τό κάτω βαρύ φορτίο τῆς φθειρομένης σαρκός, ὅμως ἀόρατα εἶναι ἐνδυμένοι τόν Χριστό, ὥστε νά μποροῦν κι' ἐδῶ, προσπαθώντας, νά ἐπιτυγχάνουν τήν πολιτεία του καί μετά τήν κατάληψι τῶν ἐδῶ νά μετάσχουν τῆς μακαριότητος καί λαμπρότητος καί ἀφθαρσίας του. Ὅπως δηλαδή διά μέσου ἑνός, τοῦ Ἀδάμ, διέβηκε προγονικῶς στούς μεταγενεστέρους ἡ ἐνοχή τοῦ θανάτου, ἔτσι διά μέσου ἑνός, τοῦ θεανθρώπου Λόγου, διαβαίνει σέ ὅλους τούς ἀναγεννωμένους ἀπό αὐτόν ἡ χάρις τῆς αἰωνίας καί οὐρανίας ζωῆς. Γι' αὐτό καί ὁ οὐρανός εἶναι γι' αὐτούς ἀνοικτός, γιά νά τούς ὑποδεχθῆ στόν κατάλληλο καιρό, ἄν, ἀφοῦ ἀναπτυχθοῦν στήν πρός αὐτόν πίστι καί στήν κατά τήν πίστι δικαιοσύνη, γίνουν κληρονόμοι Θεοῦ, ὅπως ἔλαβαν ἐξουσία, καί συγκληρνόμοι Χριστοῦ, μετέχοντας τῆς ἄφθαρτης ζωῆς του καί τῆς ἀθανασίας, συνυπάρχοντας μαζί μέ αὐτόν ἀχωρίστως καί ἀπολαύοντας τή δόξα ἐκείνου. Διότι πρωτύτερα

Κεκλεισμένος γὰρ ἦν ὁ οὐρανὸς πρότερον ἡμῖν, καὶ τέκνα ἦμεν ὀργῆς, ἥτις ἐστὶ δικαία τοῦ Θεοῦ ἐγκατάλειψις διὰ τὴν ἡμετέραν ἁμαρτίαν καὶ τὴν ἀπείθειαν, ἀλλὰ διὰ τὴν ἐν Χριστῷ τῆς ἡμετέρας φύσεως ἀναμαρτησίαν καὶ τὴν πρὸς τὸν Θεὸν εὐπείθειαν τέκνα εὐδοκίας γεγόναμεν οἱ Χριστῷ κολλώμενοι καὶ υἱοὶ ἀγαπητοὶ καὶ ὁ οὐρανὸς ἠνέῳκται ἡμῖν, ὡς καὶ ἐφ' ἡμᾶς τὸ Πνεῦμα κατιέναι τοῦ Θεοῦ καὶ μένειν ἐν ἡμῖν καὶ δι' αὐτοῦ κατὰ καιρὸν εἰς οὐρανοὺς ἀναφέρεσθαι ἡμᾶς, ἡνίκα ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν ζωοποιήσῃ καὶ τὰ θνητὰ σώματα ἡμῶν, διὰ τὸ ἐνοικοῦν αὐτοῦ Πνεῦμα ἐν ἡμῖν, μεταμορφώσας τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν καὶ σύμμορφον ποιήσας τῷ σώματι τῆς δόξης τοῦ Χριστοῦ, δι' οὗ τὴν ἀθανασίαν ἐπλουτήσαμεν καὶ εἰς οὐρανοὺς ἀνεκλήθημεν, καὶ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν οὐρανοῖς ἡ ἡμῶν ἐνεθρονίσθη φύσις.

18 *Ὦ βάθος πλούτου καὶ σοφίας καὶ φιλανθρωπίας θείας! Οὕτως οἶδε Θεὸς τὰ ἐξ αὐτεξουσίου παρατροπῆς ἡμῶν ὀλισθήματα τῇ παρ' ἑαυτοῦ σοφίᾳ τε καὶ δυνάμει φιλανθρώπως μετασκευάζειν ἀσυγκρίτως ἐπὶ τὸ κρεῖττον. Εἰ μὴ γὰρ ἐκ τῶν οὐρανῶν κατῆλθεν ὁ τοῦ Θεοῦ Υἱός, ἀνέλπιδες ἂν ἡμεῖς ἦμεν τῆς πρὸς οὐρανὸν ἀνόδου· εἰ μὴ οὗτος ἐσαρκώθη καὶ πέπονθε σαρκὶ καὶ ἀνέστη καὶ ἀνελήφθη δι' ἡμᾶς, οὐκ ἂν ἔγνωμεν τὸ ὑπερβάλλον τῆς πρὸς ἡμᾶς ἀγάπης τοῦ Θεοῦ· εἰ μὴ ἔτι ἀσεβῶν ὄντων ἡμῶν ὑπὲρ ἡμῶν ἐσαρκώθη καὶ τὸ πάθος ὑπήνεγκεν, οὐκ ἂν ὑψωθέντες ἐπὶ τοσοῦτον ὑπ' αὐτοῦ τῆς κατασπώσης ἐπάρσεως ἀπεσχόμεθα. Νῦν γὰρ ὡς, μηδὲν προεισενεγκόντες, ὑψηλοὶ γεγονότες, μένομεν ἐν τῇ ταπεινώσει καὶ πρὸς τὸ μέ-*

ὁ οὐρανός ἦταν κλειστός γιά μᾶς καί ἤμαστε τέκνα ὀργῆς, ἡ ὁποία εἶναι δικαία ἐγκατάλειψίς μας ἀπό τόν Θεό ἐξ αἰτίας τῆς ἁμαρτίας καί ἀνυπακοῆς μας· ἀλλά μέ τήν ἀναμαρτησία τῆς φύσεώς μας ἐν τῳ Χριστῳ καί τήν εὐπείθειά μας πρός τόν Θεό ὅσοι εἴμαστε προσκολλημένοι στόν Χριστό ἐγίναμε τέκνα εὐδοκίας καί υἱοί ἀγαπητοί· ὁ οὐρανός ἔχει ἀνοιγῆ καί γιά μᾶς, ὥστε τό Πνεῦμα τοῦ Θεοῦ νά κατεβῆ καί σέ μᾶς καί νά παραμείνη μέσα μας, ὅταν αὐτός πού ἤγειρε τόν Χριστό ἀπό τούς νεκρούς ζωποιήση καί τά θνητά σώματά μας ἐξ αἰτίας τοῦ Πνεύματος πού ἐνοικεῖ σέ μᾶς, μεταμορφώνοντας τό σῶμα τῆς ταπεινώσεώς μας καί κάνοντάς το σύμμορφο μέ τό σῶμα τῆς δόξας τοῦ Χριστοῦ, διά τοῦ ὁποίου ἐκερδίσαμε τήν ἀθανασία καί ἀνακληθήκαμε στούς οὐρανούς, καί ἡ φύσις μας ἐνθρονίσθηκε δεξιά τῆς μεγαλωσύνης στούς οὐρανούς ἐπάνω ἀπό κάθε ἀρχή καί ἐξουσία.

18 Ὤ, τί βάθος πλούτου καί σοφίας καί φιλανθρωπίας Θεοῦ! Ἔτσι ξέρει ὁ Θεός μέ τή σοφία καί τή δύναμι καί τή φιλανθρωπία του νά μετασκευάζη τά ὀλισθήματα ἀπό τήν ἑκουσία παρεκτροπή μας ἀσυγκρίτως πρός τό καλύτερο. Πραγματικά, ἄν δέν κατέβαινε ἀπό τούς οὐρανούς ὁ Υἱός τοῦ Θεοῦ, ἐμεῖς θά ἤμαστε ἀνέλπιδες τῆς ἀνόδου πρός τόν οὐρανό· ἄν δέν ἐσαρκωνόταν αὐτός, δέν ἔπασχε σαρκικά, ἄν δέν ἀνίστατο καί ἄν δέν ἀναλαμβανόταν ἐπάνω γιά μᾶς, δέν θά ἐγνωρίζαμε τήν ὑπερβολή τῆς πρός ἐμᾶς ἀγάπης τοῦ Θεοῦ· ἄν δέν ἐσαρκωνόταν καί δέν ὑπέφερε τό πάθος γιά χάρι μας, ὅταν ἐμεῖς ἤμαστε ἀκόμη ἀσεβεῖς, δέν θά ἀπεμακρυνόμαστε ἀπό τήν ὑποβιβαστική ἔπαρσι, ἀφοῦ ὑψωθήκαμε ἀπό αὐτόν τόσο πολύ. Τώρα δηλαδή πού ἐγίναμε ὑψηλοί χωρίς νά ἔχωμε προσφέρει τίποτε, μένομε στήν ταπείνωσι καί βλέποντας πρός τό μέγεθος τῆς ἐπαγγελίας καί

γεθος τῆς ἐπαγγελίας καὶ τῆς εὐεργεσίας ὁρῶντες μετὰ συνέσεως, ἀεὶ τεπεινότεροι γινόμεθα· ὅθεν ἡ σωτηρία.

19 Γέγονε τοίνυν ὁ τοῦ Θεοῦ Υἱὸς ἄνθρωπος, ἵνα δείξῃ εἰς οἷον ὕψος ἡμᾶς ἀνάξει· ἵνα μὴ ἐπαιρώμεθα ὡς ἀφ' ἑαυτῶν τὴν ἧτταν ἀναπαλαίσαντες· ἵνα διπλοῦς ὤν, ὄντως μεσίτης ᾖ, ἁρμόζων δι' ἑκατέρου πρὸς μέρος ἑκάτερον· ἵνα λύσῃ τὸν δεσμὸν τῆς ἁμαρτίας· ἵνα καθάρῃ τὸν ἐκ συναφείας τῆς σαρκὸς μολυσμόν· ἵνα δείξῃ τὴν τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀγάπην· ἵνα δείξῃ εἰς ὅσον βάθος κακῶν ἐνεπέσαμεν, ὡς σαρκώσεως Θεοῦ δεῖσθαι· ἵνα ὑπόδειγμα γένηται ἡμῖν ταπεινώσεως, ἣν ἡ σάρξ ἔχει καὶ τὸ πάθος, καὶ φάρμακον θεραπευτικὸν τῆς ὑπερηφανίας· ἵνα δείξῃ ἀγαθὴν τὴν ἡμῶν φύσιν παρὰ Θεοῦ κτισθεῖσαν· ἵνα γένηται τῆς ἀναστάσεως καὶ τῆς αἰωνίου ζωῆς ἀρχηγὸς καὶ πίστωσις, λύσας τὴν ἀπόγνωσιν· ἵνα υἱὸς ἀνθρώπου γενόμενος καὶ τῆς θνητότητος μεταλαβών, υἱοὺς Θεοῦ τοὺς ἀνθρώπους ἀπεργάσηται, κοινωνοὺς ποιήσας τῆς θείας ἀθανασίας· ἵνα δειχθῇ, πῶς ἡ τοῦ ἀνθρώπου φύσις παρὰ πάντα τὰ κτίσματα κατ' εἰκόνα ἐκτίσθη Θεοῦ· τοσοῦτον γὰρ ταύτῃ τὸ συγγενὲς πρὸς Θεόν, ὡς καὶ δύνασθαι συνελθεῖν αὐτῷ πρὸς μίαν ὑπόστασιν· ἵνα τιμήσῃ τὴν σάρκα καὶ αὐτὴν τὴν θνητήν, ὡς μὴ τὰ ὑπερήφανα πνεύματα προτιμητέα τοῦ ἀνθρώπου καὶ νομίζειν ἑαυτὰ καὶ νομίζεσθαι καὶ θεοποιεῖσθαι διὰ τὴν ἀσαρκίαν καὶ τὴν δοκοῦσαν ἀθανασίαν· ἵνα συνάψῃ τὰ φύσει διεστῶτα ἀνθρώπους τε καὶ Θεόν, διπλοῦς αὐτὸς τῇ φύσει μεσίτης γενόμενος. Καὶ τί δεῖ πλείω λέγειν; Εἰ μὴ ἐσαρκώθη ὁ τοῦ Θεοῦ Λόγος, οὐκ ἂν ἐδείκνυτο Πατὴρ ἀληθῶς ὁ Πατήρ, οὐκ ἂν ἀληθῶς Υἱὸς ὁ Υἱός, οὐκ ἂν τὸ Πνεῦμα τὸ ἅγιον, προϊὸν καὶ αὐ-

εὐεργεσίας μέ σύνεσι, γινόμαστε πάντοτε ταπεινότεροι. Ἀπό αὐτό καί ἡ σωτηρία.

19 Ἔγινε λοιπόν ὁ Υἱός τοῦ Θεοῦ ἄνθρωπος, γιά νά δείξη σέ ποιό ὕψος θά μᾶς ἀνεβάση· γιά νά μή ὑπερηφανευώμαστε ὅτι ἀνταποδώσαμε τήν ἧττα παλαίοντας μόνοι μας· γιά νά εἶναι πραγματικός μεσίτης ὡς διπλός στή φύσι, ἁρμόζοντας κάθε μέρος του πρός τό ἀντίστοιχό του· γιά νά διαλύση τόν δεσμό τῆς ἁμαρτίας· γιά νά καθαρίση τόν μολυσμό ἀπό τήν συνάφεια τῆς σαρκός· γιά νά δείξη τήν ἀγάπη τοῦ Θεοῦ πρός ἐμᾶς· γιά νά δείξη σέ ποιό βάθος κακῶν ἐμπέσαμε, ὥστε νά χρειαζώμαστε σάρκωσι τοῦ Θεοῦ· γιά νά μᾶς γίνη ὑπόδειγμα ταπεινώσεως πού περικλείει ἡ σάρξ καί τό πάθος, καί φάρμακο θεραπευτικό τῆς ὑπερηφανείας· γιά νά δείξη ὅτι ἡ φύσις μας ἐκτίσθηκε ἀγαθή ἀπό τόν Θεό· γιά νά γίνη ἀρχηγός καί διαπιστωτής τῆς ἀναστάσεως καί τῆς αἰωνίας ζωῆς, λύοντας τήν ἀπόγνωσι· γιά νά μεταβάλη τούς ἀνθρώπους σέ υἱούς Θεοῦ, καθιστώντας τους κοινωνούς τῆς θείας ἀθανασίας, ἀφοῦ ἔγινε υἱός ἀνθρώπου καί μετέλαβε τῆς θνητότητος· γιά νά δειχθῆ, πῶς ἡ φύσις τοῦ ἀνθρώπου ἐκτίσθηκε κατ' εἰκόνα Θεοῦ ἐπάνω ἀπό ὅλα τά κτίσματα· διότι ἡ συγγένεια πρός τόν Θεό ἦταν τόση, ὥστε νά μπορῆ νά συνενωθῆ μέ αὐτόν σέ μιά ὑπόστασι· γιά νά τιμήση τήν σάρκα, αὐτήν τήν θνητή μάλιστα, ὥστε νά μή νομίζουν καί νά μή νομίζωνται προτιμότερα ἀπό τόν ἄνθρωπο τά ὑπερήφανα πνεύματα καί νά θεωροῦνται θεϊκά ἐξ αἰτίας τῆς ἀσαρκίας καί τῆς φαινομενικῆς ἀθανασίας· γιά νά συνδέση τά φυσικῶς διαχωρισμένα, τούς ἀνθρώπους καί τόν Θεό, ἀφοῦ ἔγινε αὐτός μεσίτης διπλός στή φύσι. Τί χρειάζεται νά λέγω περισσότερα; Ἐάν δέν ἐσαρκωνόταν ὁ Λόγος τοῦ Θεοῦ, δέν θά ἐδεικνυόταν ἀληθινός Πατήρ ὁ Πατήρ, δέν θά ἐδεικνυόταν ἀληθινός Υἱός ὁ Υἱός, δέν θά ἐδεικνυόταν νά εἶναι προϊόν ἀπό τόν Πατέρα τό Πνεῦμα τό

τὸ ἐκ τοῦ Πατρός· οὐκ ἂν ὁ Θεὸς ἐν οὐσίᾳ καὶ ὑποστάσεσιν, ἀλλ' ἐνέργειά τις μόνον ἐνθεωρουμένη τοῖς κτίσμασι, καθάπερ οἵ τε μωραθέντες ἔφησαν πάλαι σοφοὶ καὶ οἱ νῦν κατὰ τὸν Βαρλαὰμ καὶ Ἀκίνδυνον φρονοῦντες.

20 Ἐφανέρωσε μὲν οὖν διὰ ταῦτα ἑαυτὸν ὁ Κύριος καὶ τὴν κατ' αὐτὸν οἰκονομίαν, ὡς καὶ ἡμῖν εἴρηται, καθ' ὅσον ἐφικτόν· ἐφανέρωσε δὲ Πατέρα ὡς ἀληθῶς ὄντα τὸν ἀνωτάτω Πατέρα. Ὑπέδειξε δὲ τὴν πρὸς αὐτὸν ἐπάνοδον τῶν τηνικαῦτά τε ὄντων καὶ τῶν ἔπειτ' ἐσομένων τοῖς βουλομένοις, προτρεψάμενος καὶ καλέσας καὶ ποδηγήσας διὰ τῆς ἑαυτοῦ πολιτείας καὶ διδασκαλίας καὶ θαυματουργίας καὶ προφητείας, μᾶλλον δὲ σοφίας καὶ γνώσεως ὄντως θείας καὶ ὑπερφυοῦς, ᾗ μηδὲν ἄδηλον οὔτε τῶν ἐσομένων οὔτε τῶν νῦν ἀδήλως ἐν τῷ βάθει τῶν καρδιῶν κινουμένων. Ἔδει δὲ ἄρα τοὺς ὑπακούσοντας ἐλευθέρους εἶναι τῆς δουλείας τοῦ διαβόλου· ἐπεὶ γὰρ τῇ τούτου αἰχμαλωσίᾳ παρήχθη ὁ ἄνθρωπος ὀργῆς θείας πειρασθείς, ὀργὴ δέ ἐστι θεία ἐγκατάλειψις δικαία τοῦ ἀγαθοῦ, ἔδει καὶ τοῦτον καταλλαγῆναι τῆς δουλείας ἐκείνης.

21 Οὐκοῦν θυσίας ἦν χρεία τῆς τὸν ἀνωτάτω Πατέρα καταλαττούσης ἡμᾶς καὶ ἁγιαζούσης, μεμολυσμένους ὄντας τῇ πρὸς τὸν πονηρὸν κοινωνίᾳ. Θυσίας οὖν ἔδει τῆς καθαιρούσης καὶ καθαρᾶς τοιαύτης, ἀλλὰ καὶ ἱερέως καὶ τούτου κεκαθαρμένου καὶ ἀναμαρτήτου. Ἔδει δὲ ἡμῖν μὴ τῆς κατὰ ψυχὴν μόνον, ἀλλὰ καὶ τῆς τοῦ σώματος ἀναστάσεως, καὶ ταύτης διὰ τοὺς ἐσομένους ἔπειτα κατὰ καιρόν. Οὐκοῦν ἔδει μὴ χαρισθῆναι ταύτην μόνον ἡμῖν τὴν ἐλευθερίαν καὶ τὴν ἀνάστασιν, ἀλλὰ καὶ πιστωθῆναι· πρὸς δὲ ταύτῃ καὶ

ἅγιο· ὁ Θεός δέν θά ἦταν σέ οὐσία καί ὑποστάσεις, ἀλλά θά ἦταν κάποια ἐνέργεια παρατηρουμένη στά κτίσματα, ὅπως εἶπαν μωραμένοι παλαιοί σοφοί καί οἱ τώρα ὁμόφρονες τοῦ Βαρλαάμ καί τοῦ Ἀκινδύνου.

20 Ἐφανέρωσε λοιπόν γι' αὐτά τόν ἑαυτό του καί τήν κατ' αὐτόν οἰκονομία, ὅσο εἶναι δυνατό, καθώς ἐλέχθηκε καί ἀπό μᾶς· ἐφανέρωσε δέ ἐπίσης ὅτι ὁ ὕψιστος Πατήρ εἶναι πραγματικός Πατήρ του. Ὑπέδειξε σέ ὅσους ἤθελαν ἀπό τούς τότε ζῶντας καί τούς μεταγενεστέρους τήν ἐπάνοδο σ' αὐτόν, προτρέποντας, καλώντας καί ποδηγετώντας διά τῆς πολιτείας καί διδασκαλίας, τῆς θαυματουργίας καί προφητείας, μᾶλλον δέ τῆς σοφίας καί γνώσεως, τῆς ἀληθινά θείας καί ὑπερφυοῦς, στήν ὁποία δέν εἶναι τίποτε ἄδηλο οὔτε ἀπό αὐτά πού θά γίνουν οὔτε ἀπό αὐτά πού τώρα κινοῦνται ἀδήλως στό βάθος τῶν καρδιῶν. Ἔπρεπε ὅμως αὐτοί πού θά ὑπήκουαν νά ἐλευθερωθοῦν ἀπό τή δουλεία τοῦ Διαβόλου. Ἐπειδή δηλαδή ὁ ἄνθρωπος, ἀφοῦ ἐδοκίμασε τήν θεία ὀργή, περιῆλθε στήν αἰχμαλωσία τούτου, ὀργή δέ εἶναι ἡ δικαία θεία ἐγκατάλειψις ἀπό τόν ἀγαθό, ἔπρεπε καί αὐτός νά συμφιλιωθῆ μέ τό γένος· διότι δέν μποροῦσε ἀλλιῶς ὁ ἄνθρωπος νά ἐλευθερωθῆ ἀπό τήν δουλεία ἐκείνη.

21 Ἐπομένως ἐχρειαζόταν θυσία πού θά συμφιλίωνε τόν ὕψιστο Πατέρα μέ μᾶς καί θά μᾶς ἁγίαζε, ἀφοῦ ἤμαστε μολυσμένοι ἀπό τήν ἐπικοινωνία πρός τό πονηρό. Ἐχρειαζόταν λοιπόν θυσία πού καθαρίζει, καί ἐπομένως εἶναι καθαρά, ἀλλά καί ἱερέα, καθαρισμένον κι' αὐτόν καί ἀναμάρτητο. Μᾶς ἐχρειαζόταν δέ ἀνάστασις ὄχι μόνο ψυχική ἀλλά καί σωματική, καί μάλιστα γιά τούς μεταγενεστέρους ἐπίσης κατά καιρόν. Ἆρα αὐτή ἡ ἐλευθερία καί ἀνάστασις ἔπρεπε ὄχι μόνο νά χαρισθῆ σ' ἐμᾶς,

τὴν ἀνάληψιν καὶ τὴν ἐν οὐρανοῖς ἀτελεύτητον πολιτείαν. Ἔδει δὲ τούτων ἁπάντων, οὐ τοῖς οὖσι τηνικαῦτα καὶ τοῖς ἐσομένοις μόνον, ἀλλὰ πολλῷ μᾶλλον τοῖς ἐξ αἰῶνος γεγενημένοις τοῦ γένους· ἐν ᾅδου δὲ ἦσαν οὗτοι πολλῷ πλείους τῶν ἐσομένων καὶ πολλῷ πλείους πιστεύειν ἅμα καὶ σώζεσθαι μέλλοντας· διόπερ οἶμαι καὶ ἐπὶ συντελείᾳ τῶν αἰώνων ὁ Χριστὸς ἦλθεν. Ἔδει τοίνυν καὶ τοῖς ἐν ᾅδου κηρυχθῆναι τὸ εὐαγγέλιον καὶ φανερωθῆναι τὴν μεγάλην ταύτην οἰκονομίαν καὶ δοθῆναι τὴν ἀπὸ τῶν αἰχμαλωτισάντων δαιμόνων εἰς τέλος ἐλευθερίαν καὶ τὸν ἁγιασμὸν καὶ τὰς μελλούσας ἐπαγγελίας. Οὐκοῦν ἔδει πάντως καὶ εἰς ᾅδου κατελθεῖν τὸν Χριστόν· ἀλλὰ καὶ ταῦτα πάντα μετὰ δικαιοσύνης, ἧς χωρὶς οὐδὲν παρὰ Θεοῦ τελεῖται.

22 Πρὸς δὲ τοῖς εἰρημένοις πᾶσιν ἔδει καὶ φενακισθῆναι δικαίως τὸν φενακίσαντα καὶ ἀπολέσαι συλληθέντα τὸν πλοῦτον, ὃν ἐξ ἁπάτης ἐκτήσατο, καταστρατηγηθείσης σοφίᾳ τῆς πονηρίας, ἐφ' ᾗ διετέλει μεγαλαυχῶν ὁ ἀρχέκακος· ἣν μεγαλαυχίαν οὐκ ἂν ἀπέβαλεν, εἰ δυναστείᾳ θείᾳ κατεπονεῖτο, ἀλλὰ μὴ σοφίᾳ καὶ δικαιοσύνῃ καθῃρεῖτο τοῦ κράτους. Ἐπεὶ δὲ καὶ πάντες ἄνθρωποι, πρὸς τὸ κακὸν ἐκτραπέντες ἔργῳ ἢ λόγῳ ἢ διανοίᾳ ἢ πᾶσιν ἢ δυσὶ τούτων, ἐμόλυναν τὴν παρὰ Θεοῦ δεδομένην τῇ ἀνθρωπίνῃ φύσει καθαρότητα καὶ ἁγιασμοῦ χρείαν εἶχον, ὁ δὲ ἁγιασμὸς διὰ τῆς παρ' ἑκάστου προσφορᾶς καὶ ἀρχῆς πρὸς τὸν Θεὸν τελεῖται, καθαρὰν δὲ εἶναι δεῖ τὴν ἀπαρχήν, τοιαύτην δὲ ἡμεῖς τῷ Θεῷ προσενεγκεῖν ἀπαρχὴν οὐκ εἴχομεν. Διὰ τοῦτο ὁ μόνος ἀμόλυντος ἀνεφάνη Χριστὸς καὶ προσφορὰν ἑαυτὸν καὶ ἀπαρχὴν προσήνεγκε τῷ Πατρὶ ὑπὲρ ἡμῶν, ἵνα οἱ

ἀλλά καί νά ἐξασφαλισθῆ· μαζί δέ μέ αὐτήν καί ἡ ἀνάληψις καί ἡ στούς οὐρανούς ἀτελεύτητη πολιτεία. Ἐχρειαζόταν δέ ὅλα αὐτά, ὄχι μόνο γιά τούς τότε ζῶντας καί γιά τούς μεταγενεστέρους, ἀλλά πολύ περισσότερο γιά τούς ἀπό αἰῶνες ζήσαντας· ἦσαν δέ αὐτοί πολλοί περισσότεροι ἀπό τούς μετέπειτα καί θά ἦσαν πολύ περισσότεροι αὐτοί πού ἐπρόκειτο νά πιστεύσουν καί νά σωθοῦν συγχρόνως· γι' αὐτό μάλιστα νομίζω ὅτι ὁ Χριστός ἦλθε καί γιά τήν συντέλεια τῶν αἰώνων. Ἔπρεπε λοιπόν νά κηρυχθῆ καί στούς εὑρισκομένους στόν ἅδη τό εὐαγγέλιο, νά τούς φανερωθῆ ἡ μεγάλη αὐτή οἰκονομία καί νά τούς δοθῆ ὁριστικά ἡ ἐλευθερία ἀπό τούς αἰχμαλωτιστάς των δαίμονες, καθώς καί ὁ ἁγιασμός καί οἱ ἐπαγγελίες γιά τά μελλοντικά ἀγαθά. Ἐπομένως ἔπρεπε ὁπωσδήποτε ὁ Χριστός νά κατέλθη καί ἕως τόν ἅδη· ἀλλά κι' αὐτά ὅλα μέ δικαιοσύνη, χωρίς τήν ὁποία δέν τελεῖται τίποτε ἀπό μέρους τοῦ Θεοῦ.

22 Ἐκτός δέ ἀπό ὅλα τά λεχθέντα ἔπρεπε νά ἐξαπατηθῆ δικαίως ὁ ἀπατεών καί νά χάση τόν ἁρπαγέντα πλοῦτο, τόν ὁποῖο ἀπέκτησε μέ ἀπάτη, ἀφοῦ μέ τήν σοφία κατακτηθῆ ἡ πονηρία, γιά τήν ὁποία ἐκαυχόταν ὁ ἀρχέκακος. Αὐτήν τήν καύχησι δέν θ' ἀπέβαλλε, ἄν κατεπονεῖτο μέ θεῖο καταναγκασμό, ἀλλά δέν καθαιρεῖτο ἀπό τήν δύναμί του μέ σοφία καί δικαιοσύνη. Ἐπειδή δέ ὅλοι οἱ ἄνθρωποι, μέ τό νά ἐκτραποῦν πρός τό κακό μέ ἔργο ἤ λόγο ἤ διάνοια, μέ ὅλα ἤ μέ δύο ἀπό αὐτά, ἐμόλυναν τήν ἀπό τόν Θεό δοσμένη στήν ἀνθρωπίνη φύσι καθαρότητα καί εἶχαν ἀνάγκη ἁγιασμοῦ, ὁ δέ ἁγιασμός τελεῖται διά τῆς προσφορᾶς καί τῆς ἀφιερώσεως πρός τόν Θεό· ἡ ἀφιέρωσις πάντως πρέπει νά εἶναι καθαρά, τέτοια δέ ἀφιέρωσι δέν μπορούσαμε νά προσφέρωμε ἐμεῖς στό Θεό. Γι' αὐτό ἐμφανίσθηκε ὁ μόνος ἀμόλυντος, ὁ Χριστός, καί προσέφερε τόν ἑαυτό του ὡς προσφορα καί ἀφιέρωμα στόν Πατέρα ὑπέρ ἡμῶν, ὥστε αὐτοί πού

πρὸς τοῦτον ὁρῶντες καὶ τούτῳ πιστεύοντες καὶ διὰ τῆς πρὸς αὐτὸν ὑπακοῆς αὐτῷ κολλώμενοι δι' αὐτοῦ ἐμφανισθῶμεν τῷ προσώπῳ τοῦ Θεοῦ καὶ ἱλασμοῦ τυχόντες ἁγιασθῶμεν ἅπαντες. Καὶ τοῦτό ἐστιν, ὅ φησιν ἐν εὐαγγελίοις ὁ Κύριος, «ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ». Οὐ γὰρ τὴν προσφορὰν μόνον, ἀλλὰ καὶ τὸν προσφέροντα ἀρχιερέα καθαρὸν ἔδει καὶ ἀναμάρτητον εἶναι, ὡς καὶ ὁ ἀπόστολός φησιν· «τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος».

23 Διὰ ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα, οὐ μόνον ὁ τοῦ Θεοῦ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, ἐπὶ γῆς ὀφθεὶς καὶ τοῖς ἀνθρώποις συναναστραφείς, ἀλλὰ καὶ τὴν καθ' ἡμᾶς νῦν, εἰ καὶ καθαρὰν ἄκρως, θνητὴν ὅμως καὶ παθητήν, ἀνελάβετο σάρκα καὶ ταύτῃ τὸν μὲν ἀρχέκακον ὄφιν θεοσόφῳ δελέατι διὰ τοῦ σταυροῦ ἀγγιστρεύσας τὸ ὑπ' αὐτοῦ δουλούμενον ἅπαν ἠλευθέρωσε γένος· τυράννου γὰρ πεσόντος, ἐλεύθερον ἅπαν τὸ τυραννούμενον· καὶ τοῦτό ἐστιν ὅπερ αὐτὸς ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις φησίν, ὅτι «ἐδεσμεύθη ὁ ἰσχυρός, καὶ τὰ σκεύη αὐτοῦ διηρπάγη». Ἡρπάγη δὲ παρὰ Χριστοῦ ἐλευθερωθέντα καὶ δικαιωθέντα καὶ φωτὸς ἐμπλησθέντα καὶ θείοις χαρίσμασι πλουτισθέντα. Διὰ τοῦτο ψάλλει Δαβίδ· «ἀναβὰς εἰς ὕψος», τὸ τοῦ σταυροῦ πάντως, εἰ δὲ βούλει καὶ τὸ οὐράνιον, «ἠχμαλώτευσεν αἰχμαλωσίαν, ἔδωκε δόματα τοῖς ἀνθρώποις».

---

18. Ἰω. 17,19.
19. Ἑβρ. 7,26.

βλέπομε πρός αὐτόν, πού πιστεύομε σ' αὐτόν καί πού συνδεόμαστε πρός αὐτόν μέ τήν ὑπακοή νά έμφανισθοῦμε δι' αὐτοῦ στό πρόσωπο τοῦ Θεοῦ καί εὑρίσκοντας ἱλασμό ν' ἁγιασθοῦμε ὅλοι. Καί τοῦτο εἶναι αὐτό πού λέγει στά εὐαγγέλια ὁ Κύριος, «ἐγώ ἁγιάζω τόν ἑαυτό μου ὑπέρ αὐτῶν, ὥστε καί αὐτοί νά εἶναι ἁγιασμένοι στ' ἀληθινά»[18]. Διότι δέν ἔπρεπε μόνο ἡ προσφορά νά εἶναι καθαρά, ἀλλά καί ὁ προσφέρων ἀρχιερεύς νά εἶναι καθαρός καί ἀναμάρτητος, ὅπως λέγει καί ὁ ἀπόστολος· «τέτοιος ἀρχιερεύς μᾶς ἐταίριαζε, ὅσιος, ἄκακος, ἀμίαντος, χωρισμένος ἀπό τούς ἁμαρτωλούς, φθασμένος ὑψηλότερα ἀπό τούς οὐρανούς»[19].

23 Γι' αὐτά λοιπόν καί γιά τά παρόμοια ὁ Λόγος τοῦ Θεοῦ ὄχι μόνο ἔγινε σάρκα κι' ἐγκαταστάθηκε σ' ἐμᾶς, ἀφοῦ ἐφάνηκε στούς ἀνθρώπους καί τούς συναναστράφηκε, ἀλλά ἐπῆρε καί τήν ἰδική μας σάρκα, πού ἄν καί τώρα εἶναι καθαρά, εἶναι πάντως θνητή καί παθητή. Σ' αὐτήν τή σάρκα ἀγγίστρευσε μέ θεόσοφο δέλεαρ τόν ἀρχέκακο ὄφι καί ἐλευθέρωσε ὅλο τό δουλωμένο ἀπό αὐτόν γένος· διότι, ὅταν πέση ὁ τύραννος, ὅλο τό τυραννούμενο γένος εἶναι ἐλεύθερο· κι' αὐτό εἶναι πού εἶπε ὁ ἴδιος ὁ Κύριος στά εὐαγγέλια, ὅτι «ἐδεσμεύθηκε ὁ ἰσχυρός καί διαρπάχθηκαν τά σκεύη του»[20]. Ἁρπάχθηκαν δέ τά σκεύη ἀπό τόν Χριστό, ὁπότε ἐλευθερώθηκαν, ἐδικαιώθηκαν, ἐγέμισαν φῶς καί ἐπλουτίσθηκαν μέ θεῖα χαρίσματα. Γι' αὐτό ψάλλει ὁ Δαβίδ· «ἀφοῦ ἀνέβηκε στά ὕψη», πάντως τοῦ σταυροῦ ἤ, ἄν θέλης, στά οὐράνια, «συνέλαβε αἰχμαλώτους, ἔδωσε στούς ἀνθρώπους δῶρα»[21].

20. Ματθ. 12,29.
21. Ψαλμ. 67,19.

24 Τὸν μὲν οὖν διάβολον οὕτω διὰ τοῦ πάθους καὶ τῆς σαρκὸς ἐτρωπώσατο, τῷ δὲ Θεῷ καὶ Πατρὶ ταύτην προσαγαγὼν εἰς θυσίαν, ὡς ἄμωμον καὶ πανίερον ἱερεῖον, ᾧ τῆς ἀφάτου μεγαλοδωρεᾶς, τοῖς ὁμογενέσιν ἡμῖν τοῦτον κατήλλαξεν. Ἐπεὶ δὲ κατὰ γνώμην τοῦ Πατρὸς ὑπέστη τὸ πάθος, εἰς ὑπόδειγμα γέγονεν ἡμῖν, τοῖς διὰ παρακοῆς ἀπολωμένοις καὶ δι' ὑπακοῆς σωζομένοις, μέχρι τίνος ὑπακουστέον. Ἔδειξε δὲ καὶ τὸν θάνατον τοῦτον τῆς τῷ διαβόλῳ προσούσης ἀθανασίας πολλῷ τιμιώτερον, ὡς προξενοῦντα ζωὴν ἀθάνατον ὄντως, ἄ τε μηδὲ τῷ δευτέρῳ καὶ ἀϊδίῳ θανάτῳ, μᾶλλον δὲ καὶ χείρονι μυρίων θανάτων, τῇ μελλούσῃ κολάσει, ὑποπίπτειν μέλλουσαν, ἀλλ' ἐν οὐρανίοις σκηνώμασιν σὺν Χριστῷ διαμένουσαν· αὐτὸς γὰρ ἐκ νεκρῶν ἀναστὰς τριήμερος καὶ μετὰ τὸ παραστῆσαι ζῶντα τοῖς οἰκείοις μαθηταῖς ἑαυτὸν εἰς οὐρανοὺς ἀναληφθεὶς καὶ μένων ἀθάνατος, τὴν ἀνάστασιν ἡμῖν καὶ τὴν ἀθανασίαν καὶ τὴν ἐν οὐρανοῖς ἄϊδιον καὶ ἀκήρατον καὶ μακαρίαν ὄντως ζωὴν ἐχαρίσατό τε καὶ ἐπιστώσατο, ἑνὶ θανάτῳ τῷ τῆς οἰκείας σαρκὸς καὶ μιᾷ τῇ ταύτης ἀναστάσει, τὸν διπλοῦν ἡμῖν θάνατον ἰασάμενος καὶ τῆς διττῆς ἡμᾶς αἰχμαλωσίας ἐλευθερώσας, τῆς ψυχῆς δηλαδὴ καὶ τοῦ σώματος.

25 Ἐγένετο γὰρ πνεῦμα νεκρὸν ὁ Πονηρὸς ἐγκαταλελειμμένος δι' ἑκούσιον ἁμαρτίαν δικαίως ὑπὸ Θεοῦ τῆς ὄντως ζωῆς· πλήρωμα δὲ ὢν κακίας καὶ ἀρχηγὸς φθονερός, ἀπατηλός, ἀρχέκακος, οὐχ ὑπήνεγκε τὴν ἐν τῷ χωρίῳ τῆς τρυφῆς, τῷ παραδείσῳ λέγω, τοῦ ἀνθρώπου ζωήν, ἀλλ' ὀλεθρίᾳ συμβουλῇ κλέψας κοινωνὸν ἐποιήσατο καὶ τῆς ἁμαρτίας καὶ τῆς κατὰ πνεῦμα νεκρώσεως. Ταύτῃ δὲ τῇ νεκρώσει τοῦ πνεύματος ἐξ ἀνάγκης καὶ ἡ τοῦ σώματος ἐπηκολούθησε νέκρωσις· καὶ οὕτως ὁ Πονηρὸς δι' ἑνὸς τοῦ οἰκείου θανάτου τὸν

24 Τόν μέν Διάβολο λοιπόν ἔτσι κατετρόπωσε διά τοῦ πάθους καί τῆς σαρκός, στόν Θεό δέ καί Πατέρα φέροντας αὐτήν γιά θυσία, ὡς ἄμωμο καί πανίερο θῦμα (τί ἀνείπωτη μαγαλοδωρεά) τόν συμφιλίωσε μέ μᾶς τούς ὁμογενεῖς του. Ἐπειδή δέ ὑπέστη τό πάθος μέ γνώμη τοῦ Πατρός, ἔγινε γιά μᾶς, πού μέ παρακοή ἐχαθήκαμε καί μέ ὑπακοή σωζόμαστε, ὑπόδειγμα ἕως ποιό σημεῖο πρέπει νά ὑπακούσωμε. Ἔδειξε δέ ἐπίσης ὅτι ὁ θάνατος αὐτός εἶναι πολύ πολυτιμότερος ἀπό τήν ἀθανασία πού συνυπάρχει στό Διάβολο, διότι προξενεῖ ζωή πραγματικά ἀθάνατη, ἀφοῦ δέν πρόκειται νά ὑποπέση στόν δεύτερο καί ἀΐδιο θάνατο, μᾶλλον δέ καί σέ κάτι χειρότερο ἀπό μυρίους θανάτους, στή μέλλουσα κόλασι, ἀλλά διαμένει μαζί μέ τόν Χριστό στά οὐράνια σκηνώματα. Διότι αὐτός, ὅταν ἀναστήθηκε ἀπό τούς νεκρούς τριήμερος καί μετά τήν παρουσίασί του ζωντανοῦ στούς μαθητάς του ἀναλήφθηκε στούς οὐρανούς καί μένει ἀθάνατος, μᾶς ἐχάρισε καί μᾶς ἐξασφάλισε τήν ἀΐδια καί ἀκήρατη καί πραγματικά μακαρία ζωή στούς οὐρανούς, ἀφοῦ μᾶς ἐθεράπευσε τόν διπλό θάνατό μας καί μᾶς ἐλευθέρωσε ἀπό τήν διπλῆ αἰχμαλωσία, τῆς ψυχῆς δηλαδή καί τοῦ σώματος, μ' ἕνα θάνατο, τῆς σαρκός του, καί μέ μιά ἀνάστασι, τῆς ἰδίας τῆς ψυχῆς.

25 Πραγματικά ὁ πονηρός, ἀφοῦ ἐγκαταλείφθηκε δικαίως ἀπό τόν Θεό τῆς ἀληθινῆς ζωῆς, ἔγινε πνεῦμα νεκρό· ἐπειδή δέ ἦταν πλήρωμα τῆς κακίας, ἀρχηγός φθονερός, ἀπατηλός, ἀρχέκακος, δέν ὑπέφερε νά παρατηρῆ τήν ζωή τοῦ ἀνθρώπου στόν τόπο τῆς τρυφῆς, στόν παράδεισο δηλαδή, ἀλλά ἐξαπατώντας τον μέ ὀλεθρία συμβουλή τόν κατέστησε κοινωνό τῆς ἁμαρτίας καί τῆς πνευματικῆς νεκρώσεως. Σ' αὐτήν δέ τήν νέκρωσι τοῦ Πνεύματος κατ' ἀνάγκη ἐπηκολούθησε ἡ νέκρωσις καί τοῦ σώματος· καί ἔτσι ὁ πονηρός μέ τόν ἕνα θάνατό του μᾶς ἐπροξένησε τόν διπλό θάνατο καί, ἀφοῦ μᾶς ἔρριψε κάτω, κατώτερα

διπλοῦν ἡμῖν προεξένησε θάνατον καί, κάτω ρίψας καὶ ἑαυτοῦ κατωτέρω, μέγας αὐτὸς ἐδόκει καὶ ὑψηλὸς, μεγαλαυχῶν ὡς ἡμᾶς κατασοφισάμενος ἐν περινοίᾳ καὶ καταδουλωσάμενος καὶ Θεὸς ἡμῖν, φεῦ, ὡς ἀθάνατος φανταζόμενος, ἀλλὰ καὶ μετὰ θάνατον κληρονόμος τῶν ἡμετέρων ψυχῶν ὡς ὑπὸ Θεοῦ ἐγκαταλελειμμένων γινόμενος καὶ κατασπῶν εἰς ᾅδου καὶ κατακλείων ἀφύκτοις ὡς ἐδόκει φρουραῖς.

26 Ἐλεήσας οὖν τῆς τοσαύτης ταλαιπωρίας ὁ πλάσας ἡμᾶς Θεός, ἐκεῖ κατελθεῖν εὐδόκησεν, οὗπερ ἡμεῖς ἐρρίφημεν, ὥστ' ἐκεῖθεν ἀνακαλέσασθαι, μόνος ἐν τοῖς νεκροῖς ἀναφανεὶς ἐλεύθερος, ὡς πνεύματι ζῶντι κατελθὼν ἐκεῖ, καὶ μὴ τοῦτο μόνον, ἀλλὰ καὶ φωτὶ περιαστράπτοντι θείῳ καὶ δύναμιν ζωοποιὸν κεκτημένῳ, ἵνα φωτίσῃ τοὺς ἐν σκότει καθημένους καὶ ζωοποιήσῃ κατὰ πνεῦμα τοὺς εἰς αὐτὸν ἐκεῖ πιστεύσαντας, ζωοποιήσῃ δὲ καὶ τὰ σώματα πάντων ἐν ἡμέρᾳ ᾗ ἔστησεν ἀναζωῶσαι καὶ κρῖναι τὸ σύμπαν γένος ὡς καὶ ὁ ἐν Ἀποστόλοις κορυφαῖος δι' ἐπιστολῆς ἐδίδαξεν ἡμᾶς, «εἰς τοῦτο», λέγων, «καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἄνθρωπον σαρκί, ζῶσι δὲ κατὰ Θεὸν πνεύματι». Μικρὸν δ' ἀνωτέρω τῆς ἐπιστολῆς δεικνύς, τίς ὁ τοῖς ἐν ᾅδου νεκροῖς καὶ διὰ τίνος κηρύξας τὸ εὐαγγέλιον, «Χριστός», φησίν, «ἅπαξ ὑπὲρ ἁμαρτωλῶν ἔπαθε, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσενέγκῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκί, ζῶν δὲ πνεύματι, ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασιν», ἤτοι ταῖς ψυχαῖς τῶν ἀπ' αἰῶνος νεκρῶν, «πορευθεὶς ἐκήρυξεν».

27 Ὥσπερ οὖν ὁ Πονηρὸς δι' ἑνὸς τοῦ οἰκείου κατὰ πνεῦμα θανάτου διπλοῦν ἡμῖν τὸν θάνατον προεξένησεν, οὕτως ὁ ἀγαθὸς δι' ἑνὸς

μάλιστα ἀπό τόν ἑαυτό του, ἐνόμιζε ὅτι ὁ ἴδιος εἶναι μεγάλος καί ὑψηλός, καυχώμενος μέ ἔπαρσι ὅτι μᾶς ἐξευτέλισε καί μᾶς ὑπεδούλωσε καί φανταζόμενος ὡς ἀθάνατος ὅτι, φεῦ, εἶναι Θεός μας, ἀλλά καί μετά τόν θάνατο γινόμενος κληρονόμος τῶν ψυχῶν μας ὡς ἐγκαταλελειμμένων ἀπό τόν Θεό, καταρρίπτοντάς τες στόν Ἅδη καί ἐγκλείοντάς τες σέ φυλακές πού ἐφαινόταν ἀδιάφευκτες.

26 Εὐσπλαγχνιζόμενος λοιπόν ὁ πλάστης μας Θεός ἀπό τήν τόση ταλαιπωρία, εὐδόκησε νά κατεβῆ ἐκεῖ, ὅπου ἐρριφθήκαμε ἐμεῖς, ὥστε νά μᾶς ξαναφέρη ἀπό ἐκεῖ· ἦταν ὁ μόνος αὐτός πού ἀναφάνηκε ἐλεύθερος ἀνάμεσα στούς νεκρούς, ἀφοῦ κατέβηκε ἐκεῖ μέ ζωντανό πνεῦμα, κι' ὄχι μόνο αὐτό, ἀλλά καί ἤστραπτε μέ θεῖο φῶς καί κατεῖχε ζωοποιό δύναμι, γιά νά φωτίση τούς καθημένους σέ σκότος καί ζωοποιήση κατά πνεῦμα τούς ἐκεῖ πιστεύοντας σ' αὐτόν, ζωοποιήση δέ καί τά σώματα ὅλων κατά τήν ἡμέρα πού ἔστησε γιά νά ἀναζωώση καί κρίνη ὅλο τό γένος, ὅπως μᾶς ἐδίδαξε μ' ἐπιστολή ὁ κορυφαῖος τῶν Ἀποστόλων λέγοντας, «ἐκήρυξε τό εὐαγγέλιο καί στούς νεκρούς γιά τοῦτο, γιά νά κριθοῦν μέν κατά ἄνθρωπο μέ τήν σάρκα, ζήσουν δέ κατά τόν Θεό μέ τό πνεῦμα»[22]. Σέ κάποιο σημεῖο λίγο παραπάνω τῆς ἐπιστολῆς, δεικνύοντας ποιός εἶναι αὐτός πού ἐκήρυξε στούς νεκρούς τοῦ Ἅδη καί μέ τί, λέγει, «ὁ Χριστός ἔπαθε μιά φορά ὑπέρ ἁμαρτωλῶν, δίκαιος ὑπέρ ἀδίκων, γιά νά μᾶς προσφέρη στόν Θεό, θανατούμενος μέν στήν σάρκα, ζώντας δέ στό πνεῦμα, κατά τό ὁποῖο πνεῦμα ἐκήρυξε καί στά πνεύματα πού ὑπῆρχαν στή φυλακή ὅπου ἐπῆγε, δηλαδή στίς ψυχές τῶν ἀπό τούς αἰῶνες νεκρῶν.

27 Ὅπως λοιπόν ὁ Πονηρός μέ τόν ἕνα θάνατό του κατά

22. Α΄ Πέτρ. 4,6.

τοῦ κατὰ σῶμα θανάτου, τὸν διπλοῦν ἡμῖν ἰάσατο θάνατον καὶ διὰ μιᾶς τῆς τοῦ ἰδίου σώματος ἀναστάσεως τὴν διπλῆν ἡμῖν ἀνάστασιν ἐδωρήσατο, διὰ σωματικοῦ θανάτου καθελὼν τὸν ἐν θανάτῳ τὸ κράτος ἔχοντα κατὰ τῆς ψυχῆς ἡμῶν καὶ τοῦ σώματος καὶ κατ' ἄμφω τῆς ἐκείνου τυραννίδος ἡμᾶς ρυσάμενος. Ὑποδύεται μὲν γὰρ ὁ Πονηρὸς τὸν ὄφιν, ὡς δι' αὐτοῦ τὸν ἄνθρωπον ἀπατήσων, ἀναλαμβάνει δὲ τὴν ἀνθρωπίνην φύσιν ὁ τοῦ Θεοῦ Λόγος, ὡς δι' αὐτῆς φενακίσων τὸν φενακίσαντα· ἀλλ' ἀνεξαπάτητον αὐτὴν λαμβάνει καὶ καθαρὰν καὶ τοιαύτην εἰς τέλος διατηρεῖ, προσάγων τῷ Πατρὶ ταύτην ὡς ἀπαρχήν, εἰς ἁγιασμὸν ἡμῶν ἀφ' ἡμῶν. Εἰ δὲ καὶ σῶμα μὴ θνητὸν καὶ παθητὸν ὁ τοῦ Θεοῦ Λόγος ἀνέλαβε, πῶς ἂν ἡπατήθη, πῶς ἂν ἐδυνήθη προσβαλεῖν ὁ αὐτόχρημα φθόνος;

28 Ταῦτ' ἄρα οὐδὲ προσβάλλει μέχρις οὗ τοῦτον οἶδε παθητὸν περιφέροντα σῶμα. Νηστεύσας γὰρ ἐν ἐρήμῳ ἡμέρας τεσσαράκοντα καὶ μὴ πεινάσας (εἰ γὰρ καὶ σῶμα παθητὸν περιέκειτο, ἀλλὰ τότ' ἔπραττε τοῦτο καὶ ἔπασχε τὰ οἰκεῖα ἡνίκα ὑπὸ τῆς συνημμένης συνεχωρεῖτο παντοδυνάμου δυνάμεως)· νηστεύσας οὖν ἡμέρας τεσσαράκοντα, κατὰ τὸ εὐαγγέλιον, ὕστερον ἐπείνασε. Τότε δὴ πρῶτον θαρρήσας καὶ προσβαλὼν ὁ ἀρχέκακος τὸν πειρασμὸν ἐπήνεγκεν, εἴσοδον εὑρεῖν σπεύδων κατὰ τοῦ πνεύματος· ὡς δὲ ἰσχυρῶς ἀπεκρούσθη καὶ πάλιν προσβαλὼν γενικῶς διὰ πάσης ἡδυπαθείας, κατὰ κράτος ἡττήθη, ἐκνευρισθεὶς καὶ θραυσθεὶς καὶ καταισχυνθεὶς φυγὰς ᾤχετο. Διὰ τί οὖν ἀπεκρούσθη τῷ πάθει τῷ τοῦ σώματος θαρρήσας καὶ προσβαλών; Ἐπειδή περ ἁμαρτίαν ἐμποιῆσαι τῷ ἀναμαρτήτῳ ἐπεχείρησεν ἀνθρώπῳ. Φεύγει μὲν οὖν ἐκεῖνος οὕτω

πνεῦμα μᾶς προξένησε τόν διπλό μας θάνατο, ἔτσι ὁ Ἀγαθός μέ τόν ἕνα κατά τό σῶμα θάνατό του, μᾶς ἐθεράπευσε τόν διπλό θάνατο, καί μέ τήν μιά ἀνάστασι τοῦ σώματός του μᾶς ἐδώρισε τήν διπλῆ ἀνάστασι, καθαιρώντας διά σωματικοῦ θανάτου τόν ἔχοντα τήν ἐξουσία στό θάνατο κατά τῆς ψυχῆς καί τοῦ σώματός μας καί λυτρώνοντάς μας ἀπό τήν τυραννία του καί κατά τά δύο. Πραγματικά ὁ μέν Πονηρός ὑποδύεται τόν ὄφι, γιά ν' ἀπατήση μέ αὐτό τόν ἄνθρωπο, ὁ δέ Λόγος τοῦ Θεοῦ παίρνει τήν ἀνθρωπίνη φύσι, γιά ν' ἀπατήση μέ αὐτήν τόν ἀπατεῶνα· ἀλλά τήν παίρνει ἀνεξαπάτητη καί καθαρά καί τήν διατηρεῖ ἔτσι ἕως τό τέλος, προσάγοντάς την στόν Πατέρα ὡς προσφορά, γι' ἁγιασμό μας ἀπό ἐμᾶς τούς ἰδίους. Ἐάν δέ ὁ Λόγος τοῦ Θεοῦ ἔπαιρνε σῶμα πού δέν ἦταν θνητό καί παθητό, πῶς θά ἠπατᾶτο ὁ Πονηρός, πῶς θά μποροῦσε νά τόν προσβάλη ὁ καθ' αὐτό Φθόνος;

28 Γι' αὐτό οὔτε τόν πρόσεβαλε μέχρις ὅτου ἀντιλήφθηκε ὅτι περιφέρει παθητό σῶμα. Ἀφοῦ δηλαδή ἐνήστευσε στήν ἔρημο σαράντα ἡμέρες καί δέν ἐπείνασε (διότι μ' ὅλο πού περιβαλλόταν μέ παθητό σῶμα, τοῦτο ἔπραττε καί ἔπασχε τά δικά του τότε, ὅταν ἔπαιρνε ἄδεια ἀπό τήν συνημμένη παντοδυναμία)· ἀφοῦ λοιπόν ἐνήστευσε σαράντα ἡμέρες, κατά τό εὐαγγέλιο, ὕστερα ἐπείνασε. Τότε ἀκριβῶς ἐθάρρευσε γιά πρώτη φορά κι' ἐκτύπησε ὁ ἀρχέκακος, κι' ἐπέφερε τόν πειρασμό, σπεύδοντας νά εὕρη ἄνοιγμα κατά τοῦ πνεύματος· ὅταν δέ ἀποκρούσθηκε ἰσχυρῶς, πάλι μετά νέα προσβολή γενικῶς διά τῆς ἡδυπαθείας, ἠττήθηκε κατά κράτος· τότε ἔφυγε δρομαίως ἐκνευρισμένος, συντετριμμένος καί ἐντροπιασμένος. Γιατί λοιπόν ἀποκρούσθηκε, ὅταν ἐνθαρρυμένος ἀπό τό πάθος τοῦ σώματος ἐπιτέθηκε; Ἐπειδή ἐπεχείρησε νά ἐμβάλη ἁμαρτία στόν ἀναμάρτητο ἄνθρωπο. Φεύγει λοιπόν ἐκεῖνος ἐντροπιασμένος, ἀφοῦ ἀποκρού-

μετ' αἰσχύνης ἀποκρουσθείς, ὁ δὲ Χριστὸς καταδιώκων αὐτὸν οὐκ ἀνίησι, τῶν δαιμονώντων ἀποδιώκων, τοὺς ὑπ' αὐτοῦ κατεχομένους ἐν νόσοις ἰώμενος, νεκροὺς ἀνιστῶν, οὐκ ἀρτιθανεῖς μόνον, ἀλλ' ἤδη καὶ διεφθορότας, καὶ ταῦτα μόνῳ προστάγματι· πρὸς δὲ καὶ τῶν ψυχῶν ἀπελαύνων αὐτόν, μετάνοιαν κηρύττων καὶ τὴν βασιλείαν ἐγγίσασαν ἐπιδεικνὺς τὴν οὐράνιον καὶ τὰς ψυχὰς πρὸς πίστιν ἐνάγων καὶ βίον τῷ ἀντικειμένῳ πολέμιον, καὶ τοὺς ἁμαρτωλοὺς μετασκευάζων καὶ προσδεχόμενος· οὐ μόνον δέ, ἀλλὰ καὶ τοῖς οἰκείοις διδοὺς κατὰ δαιμόνων τὸ κράτος. Ἆρ' οὖν ἦν ὅλως ἀνεκτῶς ἔχειν πρὸς ταῦτα τὸν Σατανὰν καὶ τοὺς συναποστατήσαντας ἀγγέλους αὐτῷ;

29 Ἆρ' ἔχειν νομίσας ὅπως ἂν ἀνακόψῃ τὴν κατ' αὐτοῦ φερομένην τοσαύτην ἰσχύν, ἠμέλησεν ἄν; Ἆρα δὲ ἀνεκτὸν αὐτῷ ζῆν ἐν ἀνθρώποις τὸν ἐκβάλλοντα τῶν ἀνθρώπων αὐτὸν καὶ τῆς κατ' αὐτῶν πολυετοῦς τυραννίδος; Διὰ ταῦτα τοίνυν ἐκμανεὶς κατὰ Χριστοῦ, ἐπεὶ τὴν μὲν θεανδρικὴν ἐκείνην ψυχὴν διὰ πείρας ὑπερανῳκισμένην εἶδε παντάπασι τῶν παθῶν, ὧν ἀρχηγὸς ὑπῆρξεν αὐτός, καὶ θανάτου παντελῶς ἀνεπίδεκτον, οὗπερ αὐτὸς δι' ἑαυτοῦ ποιητός ἐστι τοῖς ἀνθρώποις, τὸ δὲ σῶμα παθητόν τε καὶ θνητόν, αὐτὸς δὲ δι' ἑαυτοῦ θάνατον τοιοῦτον ἐπιφέρειν οὐ συγκεχώρηται, κινεῖ πρὸς φόνον τούτου τὰς γνώμας τῶν ἀπειθῶν Ἰουδαίων, πρὸς φθόνον καὶ μανίαν ἀκάθεκτον ἐγείρας κατ' αὐτοῦ, ἅτε καὶ τούτων ὡς πονηρῶν ἐλεγχομένων τε καὶ ἀθετουμένων ὑπὸ Χριστοῦ. Κινεῖ τοίνυν καὶ πείθει πρὸς φόνον τούτου καὶ φόνον ἄτιμον καὶ κακούργοις μόνοις καὶ ἀσεβέσι νενομισμένον, νομίσας οὕτως αὐτόν τε ἐκ τῆς γῆς ἐκβα-

σθηκε ἔτσι, ὁ δέ Χριστός δέν παύει νά τόν καταδιώκη, ἀπομακρύνοτάς τον ἀπό τούς δαιμονιζομένους, θεραπεύοντας τούς κατεχομένους· ἀπό αὐτόν σέ νόσους, ἀνασταίνοντας νεκρούς, ὄχι μόνο προσφάτως ἀποθαμένους, ἀλλ' ἀκόμη καί ἀποσυνθεμένους, καί μάλιστα μόνο μέ πρόσταγμα· ἐπί πλέον δέ ἀπελαύνοντάς τον ἀπό τίς ψυχές, κηρύττοντας μετάνοια, δεικνύοντας ὅτι ἡ οὐράνια βασιλεία προσήγγισε, ὁδηγώντας τίς ψυχές σέ πίστι καί βίο ἐχθρικό πρός τόν ἀντίθετο, μεταβάλλοντας καί προσδεχόμενος τούς ἁμαρτωλούς· ὄχι δέ μόνο αὐτό, ἀλλά καί δίδοντας στούς μαθητάς του τήν ἐξουσία κατά δαιμόνων.

29 Ἄραγε λοιπόν μποροῦσαν ν' ἀνεχθοῦν αὐτά τά πράγματα ὁ Σατανᾶς καί οἱ ἄγγελοι πού συναπεστάτησαν μέ αὐτόν; Ἄραγε, ἄν ἐνόμιζε ὅτι μποροῦσε ν' ἀνακόψη τήν τόση δύναμι πού ἐφερόταν ἐναντίον του, θά τό ἀμελοῦσε; Ἄραγε θά τοῦ ἦταν ἀνεκτό νά ζῆ ἀνάμεσα στούς ἀνθρώπους αὐτός πού τόν ἐκβάλλει ἀπό τούς ἀνθρώπους καί ἀπό τήν σέ βάρος τους πολυετῆ τυραννία; Ἐξωργισμένος λοιπόν γι' αὐτά μανιωδῶς κατά τοῦ Χριστοῦ ἀφοῦ μάλιστα ἀντιλήφθηκε ἀπό πεῖρα ὅτι ἡ θεανδρική ἐκείνη ψυχή εἶναι ἀνωτέρα σέ ὅλα ἀπό τά πάθη, τῶν ὁποίων ἀρχηγός ὑπῆρξε αὐτός, καί ἐντελῶς ἀνεπίδεκτη θανάτου, τόν ὁποῖο αὐτός μόνος του προκαλεῖ στούς ἀνθρώπους, τό δέ σῶμα του παθητό καί θνητό, αὐτός δέ δέν εἶχε τή δυνατότητα νά ἐπιφέρη μόνος του τέτοιον θάνατο· ἔτσι κινεῖ σέ φόνο του τίς γνῶμες τῶν ἀπειθῶν Ἰουδαίων, ἐγείροντας πρός φθόνο καί ἀκάθεκτη μανία ἐναντίον του, διότι καί αὐτοί ὡς πονηροί ἐλέγχονταν καί ἀθετοῦνταν ἀπό τόν Χριστό. Κινεῖ λοιπόν καί πείθει γιά τόν φόνο του, φόνο ἀτιμωτικό, πού ἁρμόζει μόνο σέ κακούργους καί ἀσεβεῖς, νομίζοντας ὅτι ἔτσι τόν ἐξέβαλε ἀπό τή γῆ καί

λεῖν καὶ τὸ ὄνομα τούτου ἐπὶ τῆς γῆς ἀχρειῶσαι. Ἐθάρρει δὲ τούτου θανόντος καὶ τὴν αὐτοῦ ψυχὴν ἐν ᾅδου κατάκλειστον ἔχειν, ὡς καὶ τὰς τῶν ἐξ αἰώνων ἁπάντων ψυχάς.

30 Οὕτως ὁ ἀπατεὼν ἐξηπάτηται, τῷ τῆς σαρκὸς τοῦ Χριστοῦ παθητῷ τε καὶ θνητῷ προσβαλών, καὶ τὸ φῶς ἤνεγκεν ἄκων ταῖς σκοτειναῖς καὶ ποθειναῖς αὐτοῦ καταδύσεσι καὶ τὸν τῆς ζωῆς δοτῆρα ταῖς διὰ τὴν νοητὴν νέκρωσιν ὑπ' αὐτοῦ τυραννουμέναις ψυχαῖς ἐπέστησεν· οὐ μόνον δὲ ἀλλὰ καὶ τὸ τῆς ἀναστάσεως καὶ τῆς ἀθανασίας παρεκτικὸν σῶμα τοῖς τεθνηκόσιν ἀνέμιξε, θανάτῳ καὶ ταφῇ παραδοῦναι σπεύσας αὐτός. Ὁ δὲ Κύριος ἠδύνατο μὲν καὶ ταύτας αὐτοῦ τὰς ἐπιβουλὰς διακρούσασθαι, ἀλλ' οὐκ ἠθέλησεν, ἠθέλησε δὲ μᾶλλον ὑπελθεῖν τὸ πάθος ὑπὲρ ἡμῶν, δι' ὃ καὶ θεάνθρωπος γέγονεν. Εἰ μὴ γὰρ ἄνθρωπος ἦν, οὐκ ἦν δυνατὸν παθεῖν· εἰ δὲ μὴ Θεός, ἀπαθὴς κατὰ τὴν θεότητα διαμένων, οὐκ ἂν ὑπὲρ ἡμῶν ὑπέστη σαρκὶ τὸν θάνατον, δι' αὐτοῦ τὴν ἀνάστασιν, μᾶλλον δὲ ἐξανάστασιν καὶ ἀθανασίαν, ἡμῖν χαριζόμενος· οὐδ' ἂν ἐπιστεύθη δύνασθαι μὲν μὴ παθεῖν, ἑκὼν δὲ παθεῖν προελόμενος, ὡς ἡμᾶς ἐλευθεροῦν καὶ ἀνυψοῦν μέλλουσαν δεικνὺς τὴν οἰκείαν ταπείνωσιν καὶ διδάσκων, εἰ δεήσει, δι' ἔργων μέχρι θανάτου ὑπὲρ δικαιοσύνης ἀγωνίζεσθαι καὶ ἐπαγγελλόμενος τοῖς πειθομένοις δι' ἀναστάσεως τῆς ἀθανασίας τὴν δύναμιν, οὐ τοῦ εἰς ἀεὶ διαμένειν μόνον, ἀλλὰ καὶ τοῦ αἰωνίου ὀλέθρου διαμένειν ἐκτός, τῆς αἰωνίου λέγω φρικωδεστάτης κολάσεως, τῆς ἡτοιμασμένης τῷ Διαβόλῳ, καὶ συνδιαιωνίζειν τοῖς ἁγίοις ἀγγέλοις, τῆς ἀκηράτου καὶ ἀτελευτήτου βασιλείας συναπολαύοντας.

31 Διὰ τοῦτο γὰρ ὃν οὐκ ὤφειλεν ὑπὲρ ἡμῶν ὑπέμεινε θάνατον, ἵνα τοὺς ἐποφειλομένους ὑφισταμένους ἡμᾶς ἔκ τε τῆς δουλείας τοῦ

ἀχρείωσε τό ὄνομά του ἐπί τῆς γῆς. Ἤλπιζε δέ ὅτι μέ τόν θάνατό του θά ἐκρατοῦσε καί τήν ψυχή του κατάκλειστη στόν ἅδη, ὅπως καί τίς ψυχές ὅλων τῶν ἀνθρώπων ἀπό τούς αἰῶνες.

30 Ἔτσι ἐξαπατήθηκε ὁ ἀπατεών, ὅταν προσέβαλε τό παθητό καί θνητό τῆς σαρκός τοῦ Χριστοῦ, κι' ἔφερε ἀκουσίως τό φῶς στούς σκοτεινούς καί φοβερούς κρυψῶνες του κι' ἔστησε τόν δοτῆρα τῆς ζωῆς στίς τυραννούμενες ἀπό αὐτόν ψυχές λόγω τῆς νοητῆς νεκρώσεως. Ὄχι μόνο αὐτό δέ, ἀλλά καί ἀνέμιξε μέ τούς ἀποθαμένους τό σῶμα πού εἶναι παρεκτικό τῆς ἀναστάσεως καί τῆς ἀθανασίας, σπεύδοντας νά τό παραδώση σέ θάνατο καί ταφή. Ὁ δέ Κύριος μποροῦσε μέν νά ἀντικρούση κι' αὐτές τίς ἐπιβουλές του, ἀλλά δέν θέλησε, θέλησε δέ μᾶλλον νά ὑποστῆ τό πάθος γιά χάρι μας, γιά τό ὁποῖο καί ἔγινε θεάνθρωπος. Διότι, ἄν δέν ἦταν ἄνθρωπος, δέν θά ἦταν δυνατό νά πάθη· ἐάν δέν ἦταν Θεός, πού διέμενε ἀπαθής κατά τήν θεότητα, δέν θά ὑφίστατο ὑπέρ ἡμῶν τόν θάνατο στή σάρκα, χαρίζοντάς μας δι' αὐτοῦ τήν ἀνάστασι, μᾶλλον δέ τήν ἐξανάστασι καί ἀθανασία. Κι' ἐπίσης τότε δέν θά ἐπιστευόταν ὅτι μπορεῖ μέν νά μή πάθη, ἀλλά προτίμησε ἑκουσίως νά πάθη, δεικνύοντας ὅτι ἡ ταπείνωσίς του πρόκειται νά μᾶς ἀπελευθερώση καί ἀνυψώση, καί διδάσκοντας, ἄν χρειασθῆ, ν' ἀγωνιζώμαστε δι' ἔργων μέχρι θανάτου ὑπέρ δικαιοσύνης καί ἐπαγγελλόμενος στούς πειθομένους δι' ἀναστάσεως τήν δύναμι τῆς ἀθανασίας, ὄχι μόνο νά διαμένουν διαπαντός, ἀλλά νά διαμένουν κι' ἔξω ἀπό τόν αἰώνιο ὄλεθρο, δηλαδή ἀπό τήν αἰωνία φρικωδεστάτη κόλασι, τήν ἑτοιμασμένη γιά τόν Διάβολο, καί νά ζοῦν αἰωνίως μέ τούς ἁγίους ἀγγέλους, ἀπολαύοντας μαζί τήν αἰώνια βασιλεία.

31 Γι' αὐτό πραγματικά ὑπέμεινε γιά μᾶς τόν θάνατο πού δέν ἐχρεωστοῦσε, γιά νά λυτρώση ἐμᾶς πού τόν ἐδοκιμάζαμε ὑπο-

Διαβόλου καὶ τοῦ θανάτου λυτρώσηται· θανάτου καὶ τοῦ κατὰ ψυχὴν λέγω, καὶ τοῦ κατὰ σῶμα, τοῦ τε προσκαίρου καὶ τοῦ διαιωνίζοντος. Λύτρον γὰρ ὑπὲρ ἡμῶν τῶν δι' ἁμαρτίαν ὑπευθύνων τὸ ἀνεύθυνον ὡς ἀναμάρτητον οἰκεῖον αἷμα δούς, ἐλυτρώσατο τῆς εὐθύνης ἡμᾶς, τὰς ἁμαρτίας συγχωρήσας ἡμῶν καὶ τὸ τούτων χειρόγραφον ἐν τῷ σταυρῷ διαρρήξας, ἐλυτρώσατο τῆς τυραννίδος τοῦ Διαβόλου. Δελεασθεὶς γὰρ ἐκεῖνος καὶ περιχανὼν οἷον καὶ τὸ ἡμέτερον λύτρον, τὸ αἷμα ἐκεῖνο τὸ δεσποτικόν, χυθῆναι σπεύσας, τὸ μὴ μόνον ἀνεύθυνον, ἀλλὰ καὶ θεϊκὴν δύναμιν πλουτοῦν, οὐκ ἐπλουτίσθη ὑπ' αὐτοῦ, ἀλλ' ἰσχυρῶς ἐδέθη, παραδειγματισθεὶς ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ· καὶ οὕτως ἡμεῖς ἐκ τῆς αὐτοῦ δουλείας ἐρρύσθημεν καὶ μετέστημεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τοῦ Θεοῦ, σκεύη μὲν ὀργῆς ὄντες πρότερον, σκεύη δὲ ἐλέους ὑπ' αὐτοῦ γεγονότες, τοῦ δήσαντος τὸν ἰσχυρὸν ὡς πρὸς ἡμᾶς ὄντα καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαντος· ὃς ἐπεὶ δικαίως, ὡς ἀδίκως ὑποβολῇ τοῦ διαβόλου φονευθείς, ἐβασίλευσεν ἡμῶν, τῇ δικαιοσύνῃ μυστικῶς νικήσας τὸν ἀρχέκακον, καὶ φανερῶς ἐπιδείκνυται τὴν παντοδύναμον δύναμιν καὶ κατὰ σῶμα τοῦ θανάτου περιγενόμενος καὶ ἀναστὰς ἐκ νεκρῶν τριήμερος καὶ εἰς οὐρανὸν ἀναβὰς καὶ καθίσας ἐκ δεξιῶν τοῦ Πατρός, σὺν αὐτῇ ἣν ὑπὲρ ἡμῶν ἐφόρεσε καὶ καθ' ἣν ἀπέθανε σαρκί, πιστωσάμενος ἡμῖν καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἀποκατάστασιν καὶ τὴν τῆς βασιλείας κληρονομίαν· ἐάν περ καὶ ἡμεῖς, αὐτὸν μιμούμενοι κατὰ τὸ ἐγχωροῦν, τῇ δικαιοσύνῃ τὸν τῆς ἁμαρτίας ἀρχηγὸν καταπαλαίσωμεν, ἀποκρουόμενοι τὰς αὐτοῦ προσβολὰς καὶ τὰς πρὸς τὰ πονηρὰ πάθη προτροπὰς καὶ ὑποφέροντες γενναίως τὰς ἐπιβουλάς.

32 *Διὰ τοῦτο γὰρ καίτοι διὰ τοῦ θείου βαπτίσματος ἀναγεννήσας ἡμᾶς ὁ Κύριος καὶ διὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος σφραγίζων*

χρεωτικῶς ἀπό τή δουλεία καί τοῦ Διαβόλου καί τοῦ θανάτου· ἐννοῶ δέ τόν θάνατο καί κατά τήν ψυχή καί κατά τό σῶμα, καί τόν πρόσκαιρο καί τόν αἰώνιο. Ἀφοῦ δηλαδή ἔδωσε λύτρο ὑπέρ ἡμῶν, πού ἤμαστε ὑπεύθυνοι λόγω τῆς ἁμαρτίας, τό ἀνεύθυνο ὡς ἀναμάρτητο αἷμα του, μᾶς ἐλύτρωσε ἀπό τήν εὐθύνη· συγχωρῶντας τίς ἁμαρτίες μας καί ξεσχίζοντας στό σταυρό τό χειρόγραφό τους, μᾶς ἐλύτρωσε ἀπό την τυραννία τοῦ Διαβόλου. Πραγματικά ἐκεῖνος, ἀφοῦ ἐδελεάσθηκε καί ἐφάνηκε σάν νά χάσκη κι' ἐπέσπευσε νά χυθῆ τό λύτρο μας, τό δεσποτικό ἐκεῖνο αἷμα, πού δέν ἦταν μόνο ἀνεύθυνο ἀλλά καί γεμᾶτο θεϊκή δύναμι, δέν ἐπλουτίσθηκε ἀπό αὐτό, ἀλλά ἐδέθηκε δυνατά, παραδειγματισθείς στό σταυρό τοῦ Χριστοῦ. Κι' ἔτσι ἐμεῖς ἐλευθερωθήκαμε ἀπό τή δουλεία του καί μετατεθήκαμε στήν βασιλεία τοῦ Υἱοῦ τοῦ Θεοῦ· ἐνῶ πρωτύτερα ἤμαστε σκεύη ὀργῆς, ἐγίναμε σκεύη ἐλέους ἀπό αὐτόν πού ἔδεσε τόν ἰσχυρό ἀπέναντί μας καί διήρπασε τά σκεύη του. Αὐτός, ἐπειδή ἐβασίλευσε σ' ἐμᾶς δικαίως, καθ' ὅσον ἐφονεύθηκε ἀδίκως μέ ὑποβολή τοῦ Διαβόλου, ἀφοῦ ἐνίκησε μυστικῶς τόν ἀρχέκακο μέ τή δικαιοσύνη, ἐπιδεικνύει φανερά τήν παντοδύναμη δύναμι· διότι ὑπερίσχυσε τοῦ θανάτου σωματικῶς, ἀναστήθηκε ἀπό τούς νεκρούς τριήμερος, ἀνέβηκε στόν οὐρανό κι' ἐκάθησε στά δεξιά τοῦ Πατρός, μαζί μέ τήν σάρκα πού ἐφόρεσε γιά μᾶς καί ἀπέθανε· μᾶς ἐπίστωσε μέ τήν ἀνάστασι ἀπό τούς νεκρούς, τήν ἀποκατάστασι στούς οὐρανούς καί τήν κληρονομία τῆς βασιλείας· ἐάν βέβαια ἐμεῖς, μιμούμενοι αὐτόν κατά δύναμι, κατανικήσωμε τόν ἀρχηγό τῆς ἁμαρτίας μέ τή δικαιοσύνη, ἀποκρούοντας τίς προσβολές του καί τίς προτροπές του πρός τά πονηρά πάθη καί ὑποφέροντας γενναίως τίς ἐπιβουλές.

32 Γι' αὐτό μάλιστα, μολονότι ὁ Κύριος μᾶς ἀνεγέννησε διά τοῦ θείου βαπτίσματος καί μᾶς σφραγίζει διά τῆς χάριτος τοῦ

εἰς ἡμέραν ἀπολυτρώσεως, ὅμως θνητὸν ἔτι καὶ παθητὸν ἔχειν ἀφίησι σῶμα, καὶ τὸν τῆς κακίας ὑφηγητὴν τῶν ταμείων τῆς ψυχῆς ἐκβαλών, ὅμως ἀφίησι προσβάλλειν ἔξωθεν, ὡς ἂν ὁ ἀνακαινισθεὶς ἄνθρωπος κατὰ τὴν Καινὴν Διαθήκην, τουτέστι τὸ τοῦ Χριστοῦ εὐαγγέλιον, ἐν ἀγαθοεργίᾳ καὶ μετανοίᾳ ζῶν καὶ τῶν μὲν τερπνῶν τοῦ βίου τούτου περιφρονῶν, τὰ δὲ ὀδυνηρὰ ὑποφέρων καὶ ταῖς τοῦ ἀντικειμένου προσβολαῖς γυμναζόμενος, ἑτοιμασθῇ πρὸς ὑποδοχὴν τῆς ἀφθαρσίας καὶ τῶν ἐν αὐτῇ κατὰ τὸν καινὸν αἰῶνα μελλόντων ἐκείνων ἀγαθῶν.

33 Δεῖ οὖν τὸν πιστὸν τῇ μὲν ἐλπίδι χαίρειν, κἀπειδὴ πέρας ὁ βίος οὗτος ἔξει, φρονίμως ἥδεσθαι τὴν μακαριότητα πιστῶς ἐκδεχόμενον, ἣν ἡ μέλλουσα ζωὴ ἀτελευτήτως ἕξει· τῇ δὲ συνέσει τῆς πίστεως τὴν ἀθλιότητα, ἣν ὁ βίος οὗτος ἀξίως κατεκρίθη, φέρειν ἐν ὑπομονῇ καὶ δι' ὑπομονῆς πρὸς τὴν ἁμαρτίαν καὶ τὸν τῆς ἁμαρτίας ἀρχηγὸν καὶ συνεργὸν καὶ τοὺς ταττομένους ὑπ' αὐτοῦ, εἰ δεήσει, μέχρις αἵματος ἀντικαθίστασθαι· πλὴν γὰρ τῆς ἁμαρτίας οὐδὲν τῶν ἐν τῷ βίῳ τούτῳ κακὸν ὄντως, εἰ καὶ κακώσεως πρόξενον, οὐδ' αὐτὸς ὁ θάνατος. Διὸ καὶ χορὸς μὲν ὁσίων αὐτοὶ παρ' ἑαυτῶν ἑαυτοῖς ἐπῆνεγκαν τὰς κακώσεις τοῦ σώματος· οἱ δὲ μάρτυρες καὶ τὸν βίαιον παρ' ἑτέρων ἐπαγόμενον αὐτοῖς θάνατον ἐποίησαν εὐκλεέστατον καὶ ζωῆς καὶ δόξης καὶ βασιλείας αἰωνίου καὶ οὐρανίου παρεκτικόν, καλῶς καὶ θεαρέστως αὐτῷ χρησάμενοι· διὰ τοῦτο γὰρ καὶ μετὰ τὸ καταργῆσαι τὸν θάνατον διὰ τῆς οἰκείας ἀναστάσεως, τοῖς οἰκείοις ἔτι παραμένειν ἀφῆκε καὶ σὺν τούτῳ τὰς ἄλλας ἐν τῷ κόσμῳ τούτῳ κακώσεις, ἵν' ὁ κατὰ Χριστὸν ἄνθρωπος διὰ τούτων ἀγωνιζόμενος ὑπὲρ ἀληθείας τῆς ἐν τῷ βίῳ τε καὶ τοῖς δόγμασι,

ἁγίου Πνεύματος γιά τήν ἡμέρα τῆς ἀπολυτρώσεως, ὅμως ἀφήνει νά ἔχωμε ἀκόμη θνητό καί παθητό σῶμα, καί μολονότι ἐξέβαλε ἀπό τά βάθη τῆς ψυχῆς τόν ὑφηγητή τῆς κακίας, ὅμως τόν ἀφήνει νά προσβάλλη ἀπ' ἔξω, ἔτσι ὥστε ὁ ἀνανεωμένος κατά τήν Καινή Διαθήκη, δηλαδή τό εὐαγγέλιο τοῦ Χριστοῦ, ζῶντας μέ ἀγαθοεργία καί μετάνοια, περιφρονώντας τά εὐχάριστα τοῦ βίου τούτου, ὑπομένοντας τά ὀδυνηρά καί ἀσκούμενος στίς προσβολές τοῦ ἀντιπάλου, νά ἑτοιμασθῆ γιά ὑποδοχή τῆς ἀφθαρσίας καί τῶν μελλόντων ἐκείνων ἀγαθῶν κατά τόν νέο αἰῶνα.

33 Πρέπει λοιπόν ὁ πιστός νά χαίρεται μέ τήν ἐλπίδα, κι' ἐπειδή ὁ βίος αὐτός θά ἔχη τέλος, νά εὐχαριστῆται φρονίμως περιμένοντας μέ πίστι τήν μακαριότητα, τήν ὁποία θά ἔχη ἀτελευτήτως ἡ μέλλουσα ζωή. Πρέπει ἐπίσης, μέ τήν σύνεσι τῆς πίστεως νά ὑποφέρη μέ ὑπομονή τήν ἀθλιότητα στήν ὁποία κατακρίθηκε ἀξίως ὁ βίος αὐτός, καί διά τῆς ὑπομονῆς ν' ἀντιτάσσεται, ἄν χρειασθῆ, μέχρις αἵματος πρός τήν ἁμαρτία καί πρός τόν ἀρχηγό καί συνεργό τῆς ἁμαρτίας καί τούς ὀπαδούς του· διότι ἐκτός ἀπό τήν ἁμαρτία κανένα πρᾶγμα ἀπό τά τοῦ βίου τούτου δέν εἶναι πραγματικά κακό, ἔστω καί ἄν προξενῆ κάκωσι, οὔτε ὁ ἴδιος ὁ θάνατος. Γι' αὐτό πλῆθος ὁσίων ἐπέφεραν οἱ ἴδιοι στόν ἑαυτό τους τίς κακώσεις τοῦ σώματος· οἱ δέ μάρτυρες καί τόν βίαιο θάνατό τους πού τόν προκάλεσαν σ' αὐτούς ἄλλοι κατέστησαν ἐνδοξότερο, καθώς καί παρεκτικό ζωῆς καί δόξας καί βασιλείας αἰώνιας καί οὐράνιας, διότι τόν ἐχρησιμοποίησαν καλῶς καί θεαρέστως· γι' αὐτό μετά τήν κατάργησι τοῦ θανάτου διά τῆς ἀναστάσεώς του, τόν ἄφησε νά παραμένη ἀκόμη στούς πιστούς του, μαζί δέ μέ αὐτόν καί τίς ἄλλες σ' αὐτόν τόν κόσμο κακοπάθειες, ὥστε ὁ κατά Χριστόν ἄνθρωπος ἀγωνιζόμενος δι' αὐτῶν ὑπέρ τῆς ἀληθείας στόν βίο καί τά δό-

πρὸς τὸν μέλλοντα καινὸν ἐκεῖνον καὶ ἀγήρω αἰῶνα διὰ τῆς Καινῆς Διαθήκης ἑτοιμασθῇ.

34 Λυσιτελοῦσιν οὖν αἱ κακώσεις αὗται τοῖς πιστῶς ὑπομένουσι πρὸς διόρθωσιν τῶν ἁμαρτημάτων, πρὸς γυμνασίαν, πρὸς δοκιμήν, πρὸς κατάληψιν τῆς τοῦ βίου τούτου ταλαιπωρίας, πρὸς προτροπὴν τοῦ ἐπιθυμεῖν διαπύρως καὶ ζητεῖν ἐπιμόνως τὴν διαιωνίζουσαν ἐκείνην υἱοθεσίαν καὶ ἀπολύτρωσιν, καὶ καινὴν ὄντως ζωὴν καὶ μακαριότητα. Πολλαπλῆς γὰρ οὔσης κατά τε σῶμα καὶ ψυχὴν τῆς ἡμετέρας ἐν Χριστῷ υἱοθεσίας καὶ ἀνακαινίσεως, ἀρχήν τε καὶ τελειότητα ἐχούσης καὶ τὰ τούτων μεταξύ, τὴν μὲν ἀρχὴν ἐντίθησιν ἡμῖν ἡ τοῦ βαπτίσματος χάρις, πάντων τε τῶν ἁμαρτημάτων καὶ τῆς ἐκ τῆς ἀρᾶς εὐθύνης τὴν ἄφεσιν παρέχουσα καὶ λουτρὸν παλιγγενεσίας λέγεται· τὴν δὲ τελειότητα παρέξει ἡ ἐλπιζομένη τοῖς πιστοῖς τῆς ζωῆς ἐξανάστασις καὶ ἡ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα ἐπαγγελία· τὰ δὲ μεταξὺ τούτων ἡ κατὰ τὸ τοῦ Χριστοῦ εὐαγγέλιόν ἐστι ζωή, δι' ἧς τρέφεται καὶ αὔξει καὶ ἀνακαινίζεται ἡμέραν ἐξ ἡμέρας προκόπτων ὁ κατὰ Θεὸν ἄνθρωπος εἰς ἐπίγνωσιν Θεοῦ καὶ δικαιοσύνην καὶ ἁγιασμὸν καὶ κατὰ μικρὸν μειῶν καὶ ἀφ' ἑαυτοῦ ἐκκόπτων τὴν εἰς τὰ κάτω προσπάθειαν καὶ μεταφέρων τὸν πόθον ἀπὸ τῶν ὁρατῶν καὶ σαρκικῶν καὶ προσκαίρων πρὸς τὰ νοητὰ καὶ πνευματικὰ καὶ ἀΐδια.

35 Τὸ τριττὸν τοῦτο τῆς ἐν Χριστῷ ἀνακαινίσεως ἡμᾶς διδάσκων ὁ τῶν ἀπορρήτων μυστηρίων τοῦ Πνεύματος θεατής, τὸ σκεῦος τὸ ἐκλεκτόν, Παῦλος ὁ μέγας, γράφει Ρωμαίοις ἐπιστέλλων, «ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνα-

γματα, νά ἑτοιμασθῆ γιά τόν μέλλοντα ἐκεῖνον νέον καί ἀγέραστο αἰῶνα διά τῆς Καινῆς Διαθήκης.

34 Ὠφελοῦν λοιπόν αὐτές οἱ κακοπάθειες τούς ὑπομένοντας πιστῶς πρός διόρθωσι τῶν ἁμαρτημάτων, πρός ἄσκησι, πρός δοκιμή, πρός κατάληψι τῆς ταλαιπωρίας τοῦ βίου τούτου, πρός παραίνεσι νά ἐπιθυμοῦν διαπύρως καί νά ζητοῦν ἐπιμόνως ἐκείνην τήν υἱοθεσία καί ἀπολύτρωσι πού διαιωνίζει, καί τήν πραγματικά καινή ζωή καί μακαριότητα. Ἐπειδή δηλαδή ἡ ἐν Χριστῷ υἱοθεσία καί ἀνακαίνισίς μας κατά τό σῶμα καί τήν ψυχή εἶναι πολλαπλῆ, ἔχοντας ἀρχή καί τελειότητα καί τά ἐνδιάμεσα αὐτῶν, τήν μέν ἀρχή εἰσάγει μέσα μας ἡ χάρις τοῦ βαπτίσματος, παρέχοντας ἄφεσι ὅλων τῶν ἁμαρτημάτων καί τῆς εὐθύνης ἀπό τήν κατάρα· καί λέγεται λουτρό παλιγγενεσίας. Τήν δέ τελειότητα θά παράσχη ἡ ἐλπιζομένη ἀπό τούς πιστούς ἀνάστασις τῆς ζωῆς καί ἡ σχετική μέ τόν μέλλοντα αἰῶνα ἐπαγγελία. Τά δέ ἀνάμεσα σ' αὐτά εἶναι ἡ ζωή κατά τό εὐαγγέλιο τοῦ Χριστοῦ, διά τῆς ὁποίας τρέφεται καί αὐξάνεται καί ἀνακαινίζεται καθημερινῶς κατά Θεόν ὁ ἄνθρωπος προκόπτοντας στήν ἐπίγνωσι τοῦ Θεοῦ, τήν δικαιοσύνη καί τόν ἁγιασμό, καί λίγο λίγο μειώνοντας καί περικόπτοντας μόνος του τήν προσπάθεια πρός τά κάτω καί μεταφέροντας τόν πόθο ἀπό τά ὁρατά καί σαρκικά καί πρόσκαιρα πρός τά νοητά καί πνευματικά καί ἀΐδια.

35 Διδάσκοντάς μας αὐτό τό τρίπτυχο τῆς ἀνακαινίσεως ἐν Χριστῷ ὁ θεατής τῶν ἀπορρήτων μυστηρίων τοῦ Πνεύματος, τό ἐκλεκτό σκεῦος, ὁ μέγας Παῦλος, γράφει στήν ἐπιστολή πρός Ρωμαίους, «ὅσοι ἐβαπτισθήκαμε στόν Ἰησοῦ Χριστό, ἐβαπτι-

τον». Αὕτη ἡ τῆς ἡμετέρας ἀνακαινίσεως ἀρχή· τὸ γὰρ χειρόγραφον τῶν ἡμετέρων ἁμαρτημάτων ὁ Χριστὸς ἐν τῷ σταυρῷ διέρρηξε καὶ τοὺς διὰ τοῦ βαπτίσματος αὐτῷ συνθαπτομένους ἀνευθύνους ἐποίησεν. Ἄκουε δὲ καὶ τῆς μετὰ τὴν ἀρχὴν μεσότητος· «ἵνα γάρ», φησίν, «ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν», καὶ προσεπάγει τὴν τελειότητα τῆς ἀνακαινίσεως, δεικνὺς «εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα». Ἐξῆς δὲ τὴν ἀρχὴν καὶ τὸ τέλος τῆς ἀνακαινίσεως καὶ υἱοθεσίας ταύτης ἐμφανέστερον δηλῶν «καὶ αὐτοί», φησίν, «οἱ τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι», ἀπαρχὴν τοῦ Πνεύματος ὀνομάζων τὸν ἁγιασμὸν καὶ τὴν χάριν τοῦ Πνεύματος, ἣν ἐν τῷ θείῳ βαπτίσματι λαμβάνομεν, τῶν ἁμαρτημάτων ἀπαλλαγέντες καὶ ἀνακαινισθέντες καὶ δωρεὰν τῇ τοῦ Χριστοῦ χάριτι δικαιωθέντες· ἀπαρχὴ γάρ ἐστι ταῦτα τῶν μελλόντων ἐκείνων ἀγαθῶν. Εἰπὼν δὲ υἱοθεσίαν ἀπεκδεχόμενοι, δεικνύς, ὡς οὐ τὴν διὰ τοῦ βαπτίσματός φησιν υἱοθεσίαν, ἀλλὰ τὴν μέλλουσαν ἐκείνην καὶ τελείαν καὶ ἀδιάπτωτον, προσεπάγει, «τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν», δηλονότι τὴν ἀπὸ τῶν παθῶν καὶ τῆς φθορᾶς αὐτοῦ λύτρωσιν· ἡ μὲν γὰρ ἐνταῦθα υἱοθεσία διαπίπτει πολλάκις, ἡ δὲ διὰ τῆς ἐν νεκρῶν παλινζωΐας καὶ ἀναστάσεως τοιαύτη τελεία καὶ βεβαιοτάτη ὄντως ἐστίν.

36 *Ὁ αὐτὸς δὲ καὶ Φιλιππησίοις γράφων τὸ τέλος τῆς τοιαύτης ἀνακαινίσεως σαφέστερον ἐκτίθησι, «Σωτῆρα», λέγων, «ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς*

23. Ρωμ. 6,3.

σθήκαμε στόν θάνατό του· ἐταφήκαμε λοιπόν μαζί του διά τοῦ βαπτίσματος στό θάνατο»[23]. Αὐτή εἶναι ἡ ἀρχή τῆς ἀνακαινίσεώς μας· διότι ὁ Χριστός ἐξέσχισε τό ἔγγραφο μέ τά ἁμαρτήματά μας στό σταυρό καί κατέστησε ἀθώους τούς συνθαπτομένους μέ αὐτόν διά τοῦ βαπτίσματος. Ἄκουσε δέ καί τήν μεσότητα μετά τήν ἀρχή· «γιά νά ζήσωμε κι' ἐμεῖς», λέγει, «σέ νέα ζωή, ὅπως ὁ Χριστός ἐγέρθηκε ἀπό τούς νεκρούς», καί προσθέτει τήν τελειότητα τῆς ἀνακαινίσεως, δεικνύοντας ὅτι «ἐάν ἐγίναμε σύμφυτοι μέ τό ὁμοίωμα τοῦ θανάτου του, θά γίνωμε σύμφυτοι καί τῆς ἀναστάσεως». Στή δέ συνέχεια, δηλώνοντας καί τήν ἀρχή καί τό τέλος τῆς ἀνακαινίσεως καί υἱοθεσίας αὐτῆς φανερώτερα λέγει, «καί αὐτοί πού ἔχουν τήν ἀπαρχή τοῦ Πνεύματος κι' ἐμεῖς οἱ ἴδιοι στενάζομε μέσα μας, προσδοκώντας υἱοθεσία»[24]. Ἀπαρχή τοῦ Πνεύματος ὀνομάζει τόν ἁγιασμό καί τή χάρι τοῦ Πνεύματος πού λαμβάνομε στό θεῖο βάπτισμα, ἀφοῦ ἀπαλλαγοῦμε τῶν ἁμαρτημάτων καί ἀνακαινισθοῦμε καί δικαιωθοῦμε δωρεάν μέ τήν χάρι τοῦ Χριστοῦ· διότι αὐτά εἶναι ἀπαρχή τῶν μελλόντων ἐκείνων ἀγαθῶν. Λέγοντας δέ «προσδοκώντας υἱοθεσία», γιά νά δείξῃ ὅτι δέν ἐννοεῖ τήν υἱοθεσία διά τοῦ βαπτίσματος, ἀλλ' ἐκείνη τή μελλοντική καί τελεία καί ἀδιάπτωτη, προσθέτει, «τήν ἀπολύτρωσι τοῦ σώματός μας», δηλαδή τή λύτρωσί του ἀπό τά πάθη καί τή φθορά· διότι ἡ ἐδῶ υἱοθεσία πολλές φορές ἐκπίπτει, ἐνῶ ἡ διά τῆς ἀναζωώσεως καί ἀναστάσεως ἀπό τούς νεκρούς εἶναι τελεία καί βεβαιοτάτη.

36 Ὁ ἴδιος δέ γράφοντας καί πρός τούς Φιλιππησίους ἐκθέτει σαφέστερα τό τέλος τῆς ἀνακαινίσεως αὐτοῦ τοῦ εἴδους, λέγοντας «Σωτῆρα περιμένομε τόν Κύριο Ἰησοῦ Χριστό, ὁ ὁποῖος θά

24. Ρωμ. 8,23.

ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ»· ὡς γὰρ ὁ Χριστὸς ἀπέθανεν ἐν ἀσθενείᾳ καὶ ἀτιμίᾳ σαρκός, ἀνέστη δὲ ἐν δυνάμει καὶ δόξῃ τῇ θεϊκῇ, οὕτω καὶ οἱ κατὰ Χριστὸν ζήσαντες σπείρονται διὰ τοῦ θανάτου πάλιν κατὰ Παῦλον εἰπεῖν ἐν ἀσθενείᾳ καὶ ἀτιμίᾳ, ἐγείρονται ἐν δυνάμει καὶ δόξῃ, σῶμα λαβότες δεδοξασμένον τε καὶ ἀκήρατον, ὁποῖον ἔσχεν ὁ Χριστὸς μετὰ τὴν ἀνάστασιν, πρωτότοκος ἐκ τῶν νεκρῶν καὶ ἀπαρχὴ τῶν κεκοιμημένων γενόμενος. Ἀλλ' αὕτη ἡ ἐν τῷ σώματι ἀνακαίνισις πίστει μᾶλλον ὁρᾶται νῦν, οὐκ αὐτοψίᾳ, ἐλπίδι, πράγματι δὲ οὔπω· ἡ δὲ τῆς ψυχῆς, λαμβάνει μὲν καὶ αὕτη τὴν ἀρχήν, ὡς εἴρηται, ἐν τῷ θείῳ βαπτίσματι διὰ τῆς τῶν ἁμαρτημάτων ἀφέσεως, τρέφεταί τε καὶ αὔξεται διὰ τῆς ἐν τῇ πίστει δικαιοσύνης, ἔτι καὶ ἔτι ἀνακαινιζομένη ἐν ἐπιγνώσει τοῦ Θεοῦ καὶ ταῖς αὐτῇ κατ' ἀλλήλοις ἀρεταῖς, λήψεται δὲ τὴν τελείωσιν ἐν τῇ κατὰ τὸ μέλλον πρόσωπον πρὸς πρόσωπον τοῦ Θεοῦ θεωρίᾳ· νῦν γὰρ δι' ἐσόπτρου βλέπει καὶ ἐν αἰνίγματι.

37 Διὰ τοῦτο καὶ ὁ τῷ Χριστῷ διαφερόντως ἠγαπημένος Ἰωάννης ἀμφοτέρας τὰς ἀνακαινίσεις συλλαβὼν τοῦ τε σώματος καὶ τῆς ψυχῆς, «νῦν», φησί, «τέκνα Θεοῦ ἐσμεν»· τοῦτο ἡ τῆς υἱοθεσίας ἀρχή· ἀλλ' «οὔπω ἐφανερώθη τί ἐσόμεθα, οἴδομεν δὲ ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστι»· τοῦτο ἡ τελείωσις τῆς κατὰ Θεὸν ἡμῖν διὰ τοῦ Χριστοῦ χαρισθείσης υἱοθεσίας καὶ ἀνακαινίσεως, δι' ἣν καὶ ἐν τῷ εὐαγγελίῳ φησὶν ὁ αὐτός, ὅτι

25. Φιλιπ. 3,20.

μετασχηματίση τό σῶμα τῆς ταπεινώσεώς μας ὥστε νά γίνη σύμμορφο μέ τό σῶμα τῆς δόξας του»[25]. Ὅπως δηλαδή ὁ Χριστός ἐπέθανε σέ ἀσθένεια καί ἀτιμία σαρκός, ἀναστήθηκε δέ σέ δύναμι καί δόξα θεϊκή, ἔτσι καί ὅσοι ἔζησαν κατά Χριστό, σπείρονται διά τοῦ θανάτου, γιά νά εἰπῶ πάλι κατά τόν Παῦλο, σέ ἀσθένεια καί ἀτιμία, ἐγείρονται σέ δύναμι καί δόξα, παίρνοντας σῶμα δοξασμένο καί ἀκήρατο, σάν αὐτό πού εἶχε ὁ Χριστός μετά τήν ἀνάστασι, ὅταν ἔγινε πρωτότοκος ἀπό τούς νεκρούς καί ἀπαρχή τῶν κεκοιμημένων. Ἀλλ' αὐτή ἡ ἀνακαίνισις στό σῶμα βλέπεται τώρα μέ πίστι μόνο, ὄχι μέ αὐτοψία, μ' ἐλπίδα, ὄχι ἀκόμη πραγματικῶς· ἡ δέ ἀνακαίνισις τῆς ψυχῆς λαμβάνει μέν καί αὐτή τήν ἀρχή, ὅπως ἔχει λεχθῆ, στό θεῖο βάπτισμα διά τῆς ἀφέσεως τῶν ἁμαρτημάτων, τρέφεται καί αὐξάνεται διά τῆς δικαιοσύνης στήν πίστι, ἀνακαινιζομένη συνεχῶς μέ τήν ἐπίγνωσι τοῦ Θεοῦ καί τίς κατάλληλες σ' αὐτήν ἀρετές, θά λάβη δέ τήν τελείωσι μέ τήν κατά τό μέλλον θεωρία τοῦ Θεοῦ πρόσωπο πρός πρόσωπο· τώρα ὅμως βλέπει σέ καθρέπτη καί αἴνιγμα.

37 Γι' αὐτό καί ὁ Ἰωάννης ὁ ἐξόχως ἀγαπημένος τοῦ Χριστοῦ πού συνέλαβε καί τίς δύο ἀνακαινίσεις τόσο τοῦ σώματος ὅσο καί τῆς ψυχῆς, λέγει, «τώρα εἴμαστε τέκνα Θεοῦ»· αὐτό εἶναι ἡ ἀρχή τῆς υἱοθεσίας· ἀλλά «δέν ἐφανερώθηκε ἀκόμη τί θά γίνωμε, γνωρίζομε δέ ὅτι ἐάν φανερωθῆ, θά εἴμαστε ὅμοιοι μέ αὐτόν, διότι θά τόν ἰδοῦμε καθώς εἶναι»[26]· τοῦτο εἶναι ἡ τελείωσις τῆς υἱοθεσίας καί ἀνακαινίσεως κατά Θεόν πού μᾶς ἐχάρισε διά τοῦ Χριστοῦ, γιά τήν ὁποία λέγει ὁ ἴδιος στό εὐαγγέλιο, ὅτι «ὁ Χριστός ἔδωσε ἐξουσία σ' αὐτούς πού πιστεύουν στό ὄνομά

26. Α' Ἰω. 3,2.

«ἔδωκεν ὁ Χριστὸς ἐξουσίαν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομὰ αὐτοῦ τέκνα Θεοῦ γενέσθαι· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν».

38 *Λέγων γὰρ οὐκ ἐκ σαρκὸς ἡμᾶς γεννηθῆναι, ἀλλ' ἐκ τοῦ Θεοῦ, τὴν διὰ τοῦ θείου βαπτίσματος ἀναγέννησιν καὶ υἱοθεσίαν δηλοῖ, δι' ἣν καὶ ἐν τῇ ἐπιστολῇ φησιν, ὅτι «νῦν τέκνα Θεοῦ ἐσμεν». Εἰπὼν δὲ ὅτι ἔδωκεν ἡμῖν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, ὡς μήπω οὖσι, τὸ τέλειον τῆς υἱοθεσίας ὑπέδειξε. Καθάπερ γὰρ τὸ ἀρτιγενὲς βρέφος δύναμιν μὲν ἔχει παρὰ τῆς φύσεως σοφὸν γενέσθαι καὶ σοφόν ἐστι δυνάμει, τῆς δ' ἡλικίας προϊούσης, εἴπερ καὶ τὰ συντείνοντα πρὸς τὴν ἐπιστήμην μετέλθοι, οὕτως ἔσται καὶ ἐνεργείᾳ σοφόν, τὸν αὐτὸν τρόπον καὶ ὁ ἀναγεννηθεὶς διὰ τοῦ θείου βαπτίσματος, δύναμιν μὲν ἔλαβε σύμμορφος γενέσθαι τῷ σώματι τῆς δόξης τοῦ Υἱοῦ τοῦ Θεοῦ· εἰ γοῦν καὶ ἐν καινότητι ζωῆς περιπατήσει, κατὰ Χριστὸν καὶ τὸ τούτου εὐαγγέλιον ζῶν, ἐν τῇ ἀναστάσει τῆς δυνάμεως ταύτης προκοψάσης εἰς ἐντελέχειαν, οὐκέτι πίστει καὶ ἐλπίδι, ἀλλ' ἀληθείᾳ καὶ πράγματι, δεδοξασμένον καὶ ἀκήρατον ἕξει τὸ σῶμα, ὁποῖον καὶ ὁ Κύριος ἔσχε μετὰ τὴν ἀνάστασιν, πόσῳ μᾶλλον τὸ πνεῦμα. Ἀναστήσονται μέν γαρ καὶ τὰ νεκρὰ σώματα τῶν ἀσεβῶν, ἀλλ' οὐκ ἐν δόξῃ οὐρανίῳ· οὐ γὰρ ἔσονται σύμμορφα τῷ σώματι τῆς δόξης τοῦ Χριστοῦ, ἀλλ' οὐδὲ τὴν ἐπηγγελμένην τοῖς πιστοῖς ὄψονται θεωρίαν τοῦ Θεοῦ, ἣ καὶ βασιλεία τοῦ Θεοῦ καλεῖται· «ἀρθήτω γάρ», φησίν, «ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου». Ἀλλ' οἱ γεννηθέντες τε καὶ τραφέντες κατὰ Χριστόν, καὶ τὸ μέτρον φθάσαντες ὡς δυνατὸν*

27. Ἰω. 1,12 ἑ.

του νά γίνουν τέκνα Θεοῦ, πού δέν ἐγεννήθηκαν ἀπό αἵματα οὔτε ἀπό θέλημα σαρκός οὔτε ἀπό θέλημα ἀνδρός, ἀλλ' ἀπό τόν Θεό»[27].

38 Πραγματικά λέγοντας ὅτι δέν ἐγεννηθήκαμε ἀπό σάρκα, ἀλλ' ἀπό τόν Θεό, δηλώνει τήν ἀναγέννησι καί υἱοθεσία διά τοῦ θείου βαπτίσματος, γιά τήν ὁποία λέγει καί στήν ἐπιστολή ὅτι τώρα εἴμαστε τέκνα τοῦ Θεοῦ. Λέγοντας δέ ὅτι μᾶς ἔδωσε ἐξουσία νά γίνωμε τέκνα Θεοῦ, μέ τήν ἔννοια ὅτι δέν εἴμαστε ἀκόμη, ὑπέδειξε τήν τελειότητα τῆς υἱοθεσίας. Ὅπως δηλαδή τό ἀρτιγέννητο βρέφος ἔχει ἀπό τή φύσι δύναμι νά γίνη σοφό καί δυνάμει εἶναι σοφό, ὅταν δέ προχωρῆ ἡ ἡλικία, ἐάν ἐπιδοθῆ καί συντελεστικά πρός τήν ἐπιστήμη, τότε θά εἶναι καί ἐνεργείᾳ σοφό, κατά τόν ἴδιο τρόπο καί αὐτός πού ἀναγεννήθηκε διά τοῦ θείου βαπτίσματος, δύναμι μέν ἔλαβε νά γίνη σύμμορφος μέ τό σῶμα τῆς δόξης τοῦ Υἱοῦ τοῦ Θεοῦ· ἐάν δέ περιπατῆ καί μέ νέα ζωή, ζώντας κατά τόν Χριστό καί τό εὐαγγέλιό του, ὅταν ἡ δύναμις αὐτή κατά τήν ἀνάστασι προκόψη σέ πραγματικότητα, τότε δέν θά ἔχη μέ πίστι καί ἐλπίδα, ἀλλά στ' ἀλήθεια καί στά πράγματα δοξασμένο καί ἀκήρατο σῶμα, σάν αὐτό πού εἶχε καί ὁ Κύριος μετά τήν ἀνάστασι, πόσο περισσότερο τό πνεῦμα. Θά ἀναστηθοῦν βέβαια καί τά νεκρά σώματα τῶν ἀσεβῶν, ἀλλ' ὄχι μέ οὐράνια δόξα· διότι δέν θά εἶναι σύμμορφα μέ τό σῶμα τῆς δόξης τοῦ Χριστοῦ, ἀλλά καί δέν θά ἰδοῦν τήν θεωρία τοῦ Θεοῦ τήν ὑπεσχημένη στούς πιστούς, ἡ ὁποία καί ἀποκαλεῖται βασιλεία τοῦ Θεοῦ· «ἄς ἀρθῆ ἀπό τό μέσο ὁ ἀσεβής, γιά νά μή ἰδῆ τήν δόξα τοῦ Κυρίου»[28]. Ἀλλ' αὐτοί πού ἐγεννήθηκαν καί ἀνατράφηκαν κατά Χριστό καί κατά τό δυνατό ἔφθασαν τό μέτρο τοῦ πληρώματος τῆς ἡλικίας τοῦ Χριστοῦ,

28. Ἡσ. 26,10.

τῆς ἡλικίας τοῦ Χριστοῦ πληρώματος, ἐκεῖνοι καὶ τῆς θείας λαμπρότητος μακαρίως ἐπιτεύξονται καὶ κατὰ τὸ γεγραμμένον ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν.

39 Ταύτης τῆς θείας ἐλλάμψεώς τε καὶ λαμπρότητος καὶ ὁ Ἀδὰμ μέτοχος ὑπάρχων πρὸ τῆς παραβάσεως, ὡς ὄντως στολὴν δόξης ἠμφιεσμένος, οὐχ ὑπῆρχε γυμνός, οὐδ' ἀσχήμων ὑπῆρχεν ὅτι γυμνός, ἀλλὰ πολλῷ κοσμιώτερος, οὐδ' ὅσον εἰπεῖν, τῶν νῦν περικειμένων τὰ χρυσῷ πολλῷ καὶ διαυγέσι λίθοις κοσμούμενα διαδήματα. Ταύτης τῆς θείας ἐλλάμψεώς τε καὶ λαμπρότητος γεγυμνωμένην τὴν ἡμῶν φύσιν ἐκ παραβάσεως τῆς ἀσχημοσύνης ἐλεήσας ὁ τοῦ Θεοῦ Λόγος καὶ διὰ σπλάγχνα ἐλέους ἀναλαβόμενος, ἐνδεδυμένην ἐπιφανέστερον ἐπὶ τοῦ Θαβωρίου τῶν μαθητῶν τοῖς ἐκκρίτοις πάλιν ὑπέδειξε, τί ποτε ἦμεν καὶ τίνες ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἐσόμεθα δι' αὐτοῦ οἱ πιστεύοντες καὶ τῆς ἐν αὐτῷ τελειώσεως ἐπιτυχόντες τοῖς πᾶσι παριστάς.

40 Ταύτης τῆς τελειώσεως τῶν κατὰ Χριστὸν βιούντων εὑρήσεις καὶ τοὺς ἀρραβῶνας φανερῶς ἐνταῦθα δεδομένους τοῖς τοῦ Θεοῦ ἁγίοις, καρπουμένοις ἤδη κατὰ τὸν εἰπόντα τὸ τοῦ μέλλοντος αἰῶνος ἀγαθόν. Καὶ τοῦτο προλαβὼν ἔδειξεν ὁ Μωϋσῆς, οὗ τῇ δόξῃ τοῦ προσώπου ἀτενίζειν οὐκ ἠδύναντο οἱ υἱοὶ τοῦ Ἰσραήλ, καὶ μετ' αὐτὸν ἔτι περιφανέστερον αὐτὸς ὁ Κύριος ἐπ' ὄρους ἀστράψας ἐν φωτὶ θεότητος οὕτω τηλαυγῶς, ὡς μηδὲ τοὺς ἐκκρίτους τῶν μαθητῶν, καίτοι πνευματικὴν δύναμιν τηνικαῦτα λαβόντας, ἀτενίζοντας δυνηθῆναι πρὸς τὴν λάμψιν ἐκείνην στῆναι. Στεφάνου δὲ τὸ πρόσωπον ὤφθη κατὰ τὸ γεγραμμένον ὡς πρόσωπον ἀγγέλου, καὶ αὐτὸς ἀπὸ γῆς εἰς τὰ ἐπέκεινα τῶν οὐρανῶν ἠτένιζεν, ὅπου ὁ Χριστὸς ἐκάθισεν

ἐκεῖνοι θά ἐπιτύχουν μακαρίως καί τήν θεία λαμπρότητα καί κατά τή Γραφή θά ἐκλάμψουν ὅπως ὁ ἥλιος στή βασιλεία τοῦ Πατρός των.

39 Αὐτῆς τῆς θείας ἐλλάμψεως καί λαμπρότητος μέτοχος καί ὁ Ἀδάμ πρίν ἀπό τήν παράβασι, ἀφοῦ ἦταν ἐνδυμένος μέ τήν πραγματική στολή δόξης, δέν ἦταν γυμνός οὔτε ὡς γυμνός ἦταν ἀσχήμων, ἀλλ' ἦταν κοσμιώτερος ὅσο δέν λέγεται ἀπό αὐτούς πού τώρα φοροῦν διαδήματα κοσμημένα μέ πολύ χρυσό καί πολυτίμους λίθους. Αὐτῆς τῆς θείας ἐλλάμψεως καί λαμπρότητος γυμνωμένη τή φύσι μας ἀπό τήν παράβασι τῆς ἀσχημοσύνης, τήν ἐλέησε ὁ Λόγος τοῦ Θεοῦ καί ἀπό εὐσπλαγχνία τήν ἀνέλαβε, τήν ἐπέδειξε πάλι στούς ἐπιλέκτους μαθητάς ἐπάνω στό Θαβώρ ἐνδυμένη ἐπιφανέστερα, παριστάνοντας σέ ὅλους τί ἤμαστε κάποτε καί τί θά γίνωμε δι' αὐτοῦ κατά τόν μέλλοντα αἰῶνα ὅσοι πιστεύομε καί ἐπετύχαμε τήν τελείωσι σ' αὐτόν.

40 Αὐτῆς τῆς τελειώσεως τῶν ζώντων κατά Χριστόν τούς ἀρραβῶνες θά εὕρης νά δίδωνται ἐδῶ φανερά στούς ἁγίους τοῦ Θεοῦ, πού καρποῦνται τώρα ἤδη, κατά τό λόγο, τό ἀγαθό τοῦ μέλλοντος αἰῶνος. Καί τοῦτο προλαμβάνοντας ἔδειξε ὁ Μωυσῆς, στή δόξα τοῦ προσώπου τοῦ ὁποίου δέν μποροῦσαν ν' ἀτενίσουν οἱ υἱοί τοῦ Ἰσραήλ, καί ἔπειτα ἀπό αὐτόν ἀκόμη περιφανέστερα ὁ ἴδιος ὁ Κύριος ἀστράπτοντας ἐπάνω στό ὄρος μέ φῶς θεότητος τόσο λαμπρῶς, ὥστε οὔτε οἱ ἐπίλεκτοι μαθηταί, ἄν καί ἔλαβαν γι' αὐτό πνευματική δύναμι, νά μπορέσουν νά σταθοῦν ἀτενίζοντας πρός τή λάμψι ἐκείνη. Τοῦ Στεφάνου δέ τό πρόσωπο ἐφάνηκε κατά τήν Γραφή σάν πρόσωπο ἀγγέλου[29], καί αὐτός ἀτένιζε ἀπό τή γῆ στά πέρα τῶν οὐρανῶν, ὅπου ἐκα-

29. Πράξ. 6,15.

ἐν δεξιᾷ τῆς μεγαλωσύνης καὶ τὴν ὑπερουράνιον ἑώρα δόξαν τοῦ Θεοῦ. Καὶ μακρὸν ἂν εἴη τοὺς ἄλλους καθεξῆς ἀπαριθμεῖσθαι καὶ καταλέγειν, οἵτινες ἐντεῦθεν τοὺς ἀρραβῶνας τῶν μελλόντων ἀγαθῶν ἔλαβον καὶ τῆς θείας ἐκείνης λάμψεώς τε καὶ λαμπρότητος μακαρίως ἐπέτυχον.

41 *Ἧς γένοιτο καὶ ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος καὶ παθόντος καὶ ταφέντος καὶ ἀναστάντος καὶ τὴν κάτω κειμένην φύσιν ἡμῶν εἰς οὐρανοὺς ἀνυψώσαντος καὶ συνεδρίᾳ τιμήσαντος πατρικῇ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· ᾧ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

θόταν ὁ Χριστός στά δεξιά τῆς μεγαλωσύνης κι' ἔβλεπε τήν ὑπερουράνια δόξα τοῦ Θεοῦ. Θά ἦταν ὅμως μακροτενές ν' ἀπαριθμήσω καί συμπεριλάβω μέ τή σειρά τούς ἄλλους, ὅσοι ἔλαβαν ἀπό ἐδῶ τούς ἀρραβῶνες τῶν μελλοντικῶν ἀγαθῶν καί ἀπέκτησαν μακαρίως τή θεία ἐκείνη ἔλλαμψι καί λαμπρότητα.

41 Αὐτήν εἴθε νά ἐπιτύχωμε κι' ἐμεῖς μέ τήν χάρι καί φιλανθρωπία αὐτοῦ πού ἐνανθρώπησε κι' ἔπαθε, ἐτάφηκε καί ἀναστήθηκε, ἀνύψωσε στούς οὐρανούς τήν πεσμένη κάτω φύσι μας καί τήν ἐτίμησε μέ τήν κοινωνία τοῦ Πατρός τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ· στόν ὁποῖο πρέπει δόξα, τιμή καί προσκύνησις, μαζί μέ τόν ἄναρχο Πατέρα του καί τό πανάγιο καί ζωοποιό Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Η ΑΝΑΣΤΑΣΙΣ ΣΟΥ ΧΡΕ
ΙΣ
ΧΣ



ΔΕΙΚΝΥΣΑ ΤΟ ΤΟΥ ΣΑΒΒΑΤΟΥ ΚΑΙ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΜΥΣΤΗΡΙΟΝ

Καὶ εἰς τὸ τῆς Καινῆς Κυριακῆς Εὐαγγέλιον

ΟΜΙΛΙΑ ΙΖ'

ΔΕΙΚΝΥΣΑ ΤΟ ΤΟΥ ΣΑΒΒΑΤΟΥ ΚΑΙ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΜΥΣΤΗΡΙΟΝ

Καὶ εἰς τὸ τῆς Καινῆς Κυριακῆς Εὐαγγέλιον

1 *αινὴ Κυριακὴν ἑορτάζομεν σήμερον· μᾶλλον δὲ τῆς καινῆς Κυριακῆς ἄγομεν τὰ ἐγκαίνια. Βούλεται τοίνυν ὁ ἡμέτερος λόγος, μικρὸν ἄνωθεν πρὸς τὴν ὑμετέραν ἀγάπην, ἐφ' ὅσον ὁ καιρὸς δίδωσι, τὸ τῆς Κυριακῆς ἀνακαλύψαι μυστήριον. Εἰ δὲ μέγα τοῦτο καὶ ὑψηλόν, καὶ διὰ τοῦτο μηδὲ τὸ πρόχειρον τούτου τοῖς πᾶσιν εὔληπτον, χάριτας ὁμολογεῖν χρὴ τῷ Κυρίῳ τῶν ὅλων, οὗ καὶ ἡ ἡμέρα ἐπώνυμος, ταῦτα χαρισαμένῳ διὰ τῆς ἐν σαρκὶ παρουσίας αὐτοῦ τοῖς αὐτῷ προσιοῦσι διὰ τῆς πίστεως, ᾗ καὶ νῷ καὶ λόγῳ καὶ πρὸς ὀλίγον ἐστὶ δυσέφικτα.*

ΟΜΙΛΙΑ 17

ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΜΥΣΤΗΡΙΟΥ ΤΟΥ ΣΑΒΒΑΤΟΥ ΚΑΙ ΤΗΣ ΚΥΡΙΑΚΗΣ

Καί ἀναφορά στό Εὐαγγέλιο τῆς Καινῆς Κυριακῆς

1  αινή Κυριακή ἑορτάζομε σήμερα· ἤ μᾶλλον τελοῦμε τά ἐγκαίνια τῆς καινῆς Κυριακῆς. Θέλει λοιπόν ὁ λόγος μας ν' ἀποκαλύψη τό μυστήριο τῆς Κυριακῆς πρός τήν ἀγάπη σας κάπως ἀπό παραπάνω, ἐφ' ὅσον τό ἐπιτρέπει ὁ καιρός. Ἄν δέ αὐτό εἶναι μεγάλο καί ὑψηλό, καί γι' αὐτό οὔτε ἡ ἁπλούστευσίς του δέν εἶναι σ' ὅλους εὐκολονόητη, χρεωστοῦμε εὐγνωμοσύνη στόν Κύριο τῶν ὅλων, τοῦ ὁποίου εἶναι καί ἡ ἡμέρα ἐπώνυμη καί ὁ ὁποῖος διά τῆς παρουσίας του σέ σάρκα ἐχάρισε σέ ὅσους προέρχονται σ' αὐτόν διά τῆς πίστεως αὐτά πού εἶναι δυσπλησίαστα καί μέ τό νοῦ καί μέ τό λογικό, ἔστω καί γιά λίγο.

2 *Προσέχετε δὲ ὅμως ἅπαντες τοῖς λεγομένοις τὸν νοῦν. Εἰ γάρ τις καὶ μὴ τὸ πᾶν ἐπιγινώσκειν δυνήσεται, ἐξ ὀλίγων ἕξει τὴν πᾶσαν δύναμιν· φωτὸς γὰρ ἔχει λόγον ἡ διδασκαλία τοῦ Πνεύματος. Ἓν ἓξ τοίνυν ὁ Θεὸς ἡμέραις μὴ μόνον τὸ αἰσθητὸν ἅπαν τοῦτο ποιήσας τε καὶ κοσμήσας, ἀλλὰ καὶ τὸ μόνον ἐξ αἰσθήσεως καὶ νοῦ συγκείμενον ζῶον τὸν ἄνθρωπον πλάσας τε καὶ ζωώσας καὶ τὴν ἡγεμονίαν αὐτῷ τῶν περὶ γῆν ζώων καὶ φυτῶν παρασχόμενος, τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, καθάπερ ὁ Μωϋσῆς ἐδίδαξεν ἡμᾶς ὁ μεταγενέστερος θεωρὸς τῆς ἐπὶ πολὺ προγενεστέρας αὐτοῦ καταβολῆς τοῦ κόσμου, μᾶλλον δὲ τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῆς ἐκείνου γλώττης ταῖς ἡμετέραις ἐνηχῆσαν φιλανθρώπως ἀκοαῖς τε καὶ ψυχαῖς. Ἀλλὰ καὶ εὐλόγησε, φησίν, ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν. Πῶς οὖν ταύτην, καθ' ἣν οὐδὲν ἔπραξε; καὶ εὐλόγησε καὶ ἡγίασεν, ἀλλ' οὐχὶ τὴν πρώτην μᾶλλον ὡς ὑπερεξηρημένην, διὸ καὶ μίαν αὐτὴν ὁ Μωϋσῆς εἶπεν, ἀλλ' οὐχὶ πρώτην, καθ' ἣν ὁ Θεὸς ἐκ τοῦ μὴ ὄντος ἀθρόον προήγαγε τὸ πᾶν καὶ φωτὶ καινῷ προηύγασεν αὐτό, εἰ καὶ μήπω τὸν κατάλληλον ἐπέθηκε κόσμον, εἰς τάξιν καὶ εἶδος ἀγαγὼν ἕκαστον; Πῶς, εἰμὴ καὶ ταύτην, ἀλλ' οὐχὶ τὴν μετ' αὐτήν, καθ' ἣν τὸ μέγα τοῦτο κῦτος ἐστερέωσε καὶ περιέτεινε τὸν περὶ ἡμᾶς πρῶτον οὐρανὸν λέγω, πρὸς δὲ τὸν πρῶτον ἐκεῖνον δεύτερον; Πῶς οὐχὶ τὴν μετ' αὐτὴν πάλιν ἣ τὰς ἐφεξῆς καθ' ἃς ἥ τε γῆ συνέστη, τῶν ὑδάτων ὑποχωρησάντων, καὶ τὸν ἑαυτῇ σύμφυτον πάντα κόσμον ἀπειλήφει καὶ ὁ οὐρανὸς τοὺς δύο μεγάλους, οἷά τινας ὀφθαλμούς ἐδέξατο φωστῆρας καὶ ἐκ τῶν ὑδάτων τὰ πετεινὰ καὶ τὰ νηκτὰ διὰ προστάγματος ὑπέστη κατὰ γένος;*

---

1. Γεν. 2,3.

2 Προσέχετε ὅμως ὅλοι στό νόημα τῶν λεγομένων. Καί ἄν κανείς δέν μπορέση νά κατανοήση τό πᾶν, θά ἀντιληφθῆ ἀπό τά λίγα ὅλη τήν ἔννοιά του· διότι ἡ διδασκαλία τοῦ Πνεύματος ἔχει θέσι φωτός. Σέ ἕξι ἡμέρες λοιπόν ὁ Θεός ὄχι μόνο κατεσκεύασε καί διεκόσμησε ὅλο τό αἰσθητό τοῦτο σύμπαν, ἀλλά καί ἔπλασε κι' ἐζωοποίησε τό μόνο ζῶο πού σύγκειται ἀπό αἴσθησι καί νοῦ, τόν ἄνθρωπο, καί τοῦ προσέφερε τήν ἡγεμονία ἐπί τῶν ζώων καί φυτῶν πού ζοῦν γύρω ἀπό τή γῆ. Κατά τήν ἑβδόμη ἡμέρα κατέπαυσε ἀπό ὅλα τά ἔργα του, ὅπως μᾶς ἐδίδαξε ὁ Μωυσῆς, ὁ μεταγενέστερος παρατηρητής τῆς πολύ προγενεστέρας συστάσεως τοῦ κόσμου, μᾶλλον δέ τό ἅγιο Πνεῦμα ἐνηχώντας στίς ἀκοές καί ψυχές φιλανθρώπως διά τῆς γλώσσας ἐκείνου. Ἀλλά «καί εὐλόγησε», λέγει, «ὁ Θεός τήν ἑβδόμη ἡμέρα καί τήν ἁγίασε»[1]. Πῶς λοιπόν εὐλόγησε κι' ἁγίασε αὐτήν κατά τήν ὁποία δέν ἔπραξε τίποτε, ἀλλ' ὄχι μᾶλλον τήν πρώτη πού εἶναι ὑπερεξαίρετη, διό καί ὁ Μωυσῆς τήν εἶπε «μία» καί ὄχι πρώτη, κατά τήν ὁποία ὁ Θεός παρήγαγε τό σύμπαν μονομιᾶς ἀπό τό μή ὄν καί τό περιέλαμψε μέ νέο φῶς, ἄν καί δέν εἶχε ἐπιβάλει ἀκόμη τόν κατάλληλο διάκοσμο, φέροντας τό καθένα σέ τάξι, καί εἶδος; Πῶς, ἄν ὄχι αὐτήν τήν πρώτη, δέν εὐλόγησε τήν ἔπειτα ἀπό αὐτήν, κατά τήν ὁποία ἐστερέωσε καί ἐτέντωσε τό μεγάλο τοῦτο κῦτος, ἐννοῶ τόν γύρω μας πρῶτον οὐρανό, μετά τόν πρῶτο δέ κι' ἐκεῖνον τόν δεύτερο; Πῶς ὄχι τήν ἔπειτα ἀπό αὐτή πάλι ἤ τίς ἑπόμενες, κατά τίς ὁποῖες καί ἡ γῆ συστάθηκε, ἀφοῦ ὑποχώρησαν τά ὕδατα κι' ἔλαβε ὅλον τόν σύμφυτο σ' αὐτήν διάκοσμο καί ὁ οὐρανός ἐδέχθηκε τούς δύο μεγάλους φωστῆρες σάν ὀφθαλμούς καί διά προστάγματος ἐπῆραν ἀπό τά ὕδατα ὑπόστασι τά πετεινά καί τά κολυμβητικά κατά γένος;

3 Ἵνα δὴ καὶ ταύτας παραλίπωμεν, διὰ τί μὴ τὴν ἕκτην μᾶλλον ὁ Θεὸς εὐλόγησε, καθ' ἣν οὐ ψυχὴν μόνον ζῶσαν ἑρπετῶν καὶ τετραπόδων ἐξέτεινεν ἐκ γῆς, ἀλλὰ καὶ βουλῆς ἄξιον ὑπέδειξεν οἰκείας ἔργον, συγκεφαλαιωσάμενος τὸ πᾶν, αἴσθησίν τε καὶ νοῦν συναγαγὼν εἰς ἕν, καὶ τὸ μέγιστον, ὅτι καὶ ἑαυτὸν διὰ τῆς αὐτοῦ θείας χάριτος ἐνθεὶς καὶ κατ' εἰκόνα καὶ ὁμοίωσιν οἰκείαν γνωστικὸν ἑαυτοῦ ζῷον ἐπὶ γῆς ἀναδείξας τὸν ἄνθρωπον; Πῶς οὖν οὐ ταύτην εὐλόγησε καὶ ἡγίασεν, ἀλλὰ τὴν ἑβδόμην ἡμέραν, ἀπραξίας οὖσαν ἡμέραν; Βουλομένῳ δή μοι τὸν λόγον ἀποδοῦναι καὶ τὴν λύσιν τῆς ἀπορίας παρασχεῖν, ἀναγκαῖον μάλιστα διὰ τοὺς ἐλλογιμωτέρους τῶν συνειλεγμένων ἐξελέγξαι πρότερον τοὺς μὴ καλῶς ἀποδόντας. Εἰσὶ γὰρ οἳ τὸν ἀριθμὸν σεμνολογοῦσι τοῦτον, Ἰώσηπος καὶ Φίλων, καὶ ὅσοι κατ' αὐτοὺς ἀγέννητόν τε εἶναι λέγοντες, ἀλλὰ καὶ παρθένον ὡς μὴ γεννῶντα, ὁποῖόν ἐστι καὶ τὸ θεῖον κατ' αὐτούς· οὐ γὰρ ἐδυνήθησαν συνιδεῖν, ὡς καὶ γεννῶν ὁ Θεὸς τὴν παρθενίαν οὐκ ἀποτίθεται· γεννᾷ γὰρ ἀσυνδυάστως, ἀρρεύστως καὶ ἀπαθῶς. Οἱ δὲ διὰ τοῦτο καὶ τὴν ἑβδόμην μόνην τῶν ἡμερῶν τῆς θείας εὐλογίας ἐπιτυχεῖν διατείνονται, καταψευδόμενοι μὴ τοῦ Θεοῦ μόνον, ἀθετοῦντες αὐτοῦ τὸ γόνιμον, ἀλλὰ καὶ τῆς ἑβδόμης αὐτῆς· πᾶς γὰρ ἀριθμὸς ἐκ μονάδος γεννᾶται, ἡ δὲ ἑβδομὰς ἀριθμός, οὐκοῦν οὐκ ἀγέννητος. Ἀλλ' οὐχ ὑπό τινος, φασίν, ἑτέρου τῶν μετὰ τὴν μονάδα πολλαπλασιαζομένου γεννᾶται· ἀλλ' οὐχ οὗτος ἀγέννητος ὁ μὴ γεννώμενος ὑπὸ πολλῶν, ἀλλ' ὃς ἂν ὑπ' οὐδενὸς γεννῶτο, ὅπερ ἡ ἑβδομὰς οὐκ ἔχει.

4 Ἔπειτα, εἰ διὰ τὸν ἀριθμὸν τοῦτον ὄντα τοιοῦτον ἡ ἡμέρα εὐλόγηται, πολλῷ μᾶλλον ἂν ἡ πρώτη, καὶ μάλισθ' ὅτι καὶ μίαν αὐτὴν ὁ Μωϋσῆς εἶπε, τὴν εὐλογίαν ἐδέξατο· ἡ γὰρ μονὰς ἀγέννητος πάντη.

3 Γιά νά παραλείψωμε λοιπόν κι' αὐτές, γιατί δέν εὐλόγησε μᾶλλον τήν ἕκτη, κατά τήν ὁποία ὄχι μόνο παρήγαγε ἀπό τή γῆ ψυχές ζωντανές ἑρπετῶν καί τετραπόδων, ἀλλά καί ἐπέδειξε ἔργο ἄξιο τῆς βουλῆς του, συγκεφαλαιώνοντας τό σύμπαν, συγκεντρώνοντας σ' ἕνα τήν αἴσθησι καί τό νοῦ, καί τό σπουδαιότερο, ἐμβάλλοντας καί τόν ἑαυτό του διά τῆς θείας του χάριτος, ἀνέδειξε τόν ἄνθρωπο γνωστικό ζῶο ἐπάνω στή γῆ κατ' εἰκόνα καί ὁμοίωσι; Πῶς λοιπόν δέν εὐλόγησε καί ἁγίασε αὐτήν, ἀλλά τήν ἑβδόμη, πού εἶναι ἡμέρα ἀπραξίας; Θέλοντας λοιπόν νά ἐκθέσω τό πρᾶγμα καί νά λύσω τήν ἀπορία, εἶναι ἀναγκαῖο γιά τούς λογιωτέρους μάλιστα ἀπό τούς συναθροισμένους νά ἐλέγξω πρῶτα ἐκείνους πού δέν τό ἐξέθεσαν καλῶς. Πραγματικά μερικοί ἐκθειάζουν τόν ἀριθμό τοῦτο, ὁ Ἰώσηπος καί ὁ Φίλων, καί ὅσοι, σύμφωνοι μέ αὐτούς, λέγουν ὅτι εἶναι ἀγέννητος, ἀλλά καί παρθένος ἀφοῦ δέν γεννᾶ, ὅπως κατ' αὐτούς εἶναι καί τό θεῖο· διότι δέν μπόρεσαν νά ἐννοήσουν ὅτι ὁ Θεός καί γεννώντας δέν ἀποβάλλει τήν παρθενία· διότι γεννᾶ χωρίς συνένωσι, ἀρρεύστως καί ἀπαθῶς. Ἄλλοι διατείνονται ὅτι γι' αὐτό μόνο ἡ ἑβδόμη ἀπό τίς ἡμέρες ἐπέτυχε τήν θεία εὐλογία, ψευδολογώντας ὄχι μόνο κατά τοῦ Θεοῦ, τοῦ ὁποίου ἀθετοῦν τήν γονιμότητα ἀλλά καί κατά τῆς ἰδίας τῆς ἑβδόμης· διότι κάθε ἀριθμός γεννᾶται ἀπο μονάδα, ἡ δέ ἑβδομάς εἶναι ἀριθμός, ἄρα ὄχι ἀγέννητος. Ἀλλά, λέγουν, δέν γεννᾶται ἀπό κάποιον ἄλλον τῶν μετά τήν μονάδα πολλαπλασιαζόμενον· ἀλλά ἀγέννητος δέν εἶναι αὐτός πού δέν γεννᾶται ἀπό πολλούς, ἀλλ' αὐτός πού δέν γεννᾶται ἀπό κανένα, πρᾶγμα πού δέν ἔχει ἡ ἑβδομάς.

4 Ἔπειτα, ἄν ἡ ἡμέρα εὐλογήθηκε ἐξ αἰτίας τοῦ ὅτι ὁ ἀριθμός αὐτός εἶναι τέτοιος, πολύ περισσότερο θά ἐταίριαζε τοῦτο, ἄν ἐδεχόταν τήν εὐλογία ἡ πρώτη, καί μάλιστα ἀφοῦ ὁ Μωυσῆς

Ἀλλὰ γεννητική, φασίν, αὕτη, πολλαπλασιαζομένη παντὸς ἀριθμοῦ καὶ τῶν ἐντὸς δεκάδος, ἡ δὲ ἑβδομὰς τῶν ἐντὸς δεκάδος οὐδενός, καὶ διὰ τοῦτο παρθένος. Ἔστω δὴ παρθένος ἡ μηδαμῶς γεννῶσα· οὐ γὰρ ἐξ ἀνάγκης, ἔστω δ' οὖν ὅμως· ἡ δὲ μέτρια μὲν οὔ, πολλὰ δὲ γεννῶσα, καθόσον πλείω, κατὰ τοσοῦτον πάντως πορρωτέρω τῆς παρθενίας ἐστίν. Ἡ γοῦν ἑβδομὰς πολλαπλασιαζομένη καὶ συντιθεμένη τῶν μὲν ἐντὸς δεκάδος οὐδένα γεννᾷ, τῶν δὲ ὑπὲρ δεκάδα πολλούς· πῶς οὖν παρθένος; Ἀλλ' ἐκφεύγοντες ἡμῶν τὰς λαβὰς οἷον ἐπὶ τὴν σελήνην ἀναβαίνουσι καὶ τοὺς πόλους, τοὺς μὲν ἑπτὰ λέγοντες εἶναι, τὴν δὲ σελήνην δεικνῦντες ἐν ἑπτὰ μὲν ἡμέραις διχοτόμον, ἐν ἄλλαις δὲ τοσαύταις πανσέληνον καὶ διὰ τῶν ἴσων πάλιν ἐπαναστρέφουσαν. Ἀγνοοῦσι γὰρ ὡς, εἰ διὰ ταῦτα σεπτὸς ὁ ἑπτά, καὶ οἱ ἄλλοι τῶν ἀριθμῶν οὐδὲν ἧττον, καὶ μάλιστα πάντων ἡ τούτων ἀρχή· εἷς γὰρ ὁ αἰσθητὸς ἅπας κόσμος καὶ εἷς ὁ πᾶς οὐρανός, ἢ δυοῖν οὐ πλείω· καὶ εἷς ἥλιος ἐν τῷ παντὶ καὶ μία σελήνη ἐστίν, ἵνα μὴ λέγω ὅτι πάντα τῷ ἑνὶ συνέστηκε τοῦ πρὸ πάντων καὶ διὰ πάντων καὶ ἐπὶ πάντων Θεοῦ, τὸ ὡς ἀληθῶς ἑνιαῖον τοῖς καλῶς συνιεῖσι κηρύττοντα.

5 Εἰ δὲ καὶ περιφερὴς τῶν τε ἀστέρων καὶ τῶν πόλων ἕκαστος καὶ κύκλῳ τόδε τὸ πᾶν, ὁ δὲ κύκλος ἐκ δυοῖν σημείου τε καὶ γραμμῆς, καὶ τῶν δύο χωρὶς οὐδ' ἂν ἦν οὐδὲν μάλιστα τῶν αἰσθητῶν, καὶ δύο λοιπὸν ἀριθμὸς χρειωδέστατος τῷ παντὶ καὶ ἀναγκαιότατος. Ἐπεὶ δὲ μὴ γραμμὴ μόνη καὶ ἐπίπεδον ἐν τῷ παντί, καὶ ἡ τριὰς οὐκοῦν ἐν ἀριθμοῖς τὸν ἴσον τρόπον· παρίημι γὰρ λέγειν τὰ ἄλλα τοῦ

τήν εἶπε, μία· διότι ἡ μονάς εἶναι ἐντελῶς ἀγέννητη. Ἀλλά αὐτή, λέγουν, πολλαπλασιαζομένη εἶναι καί γεννητική κάθε ἀριθμοῦ ἀπό τούς εὑρισκομένους μέσα στή δεκάδα, ἡ δέ ἑβδομάς δέν εἶναι γεννητική κανενός ἀριθμοῦ μέσα στή δεκάδα, καί γι' αὐτό εἶναι παρθένος. Ἔστω λοιπόν παρθένος αὐτή πού δέν γεννᾶ καθόλου, ὄχι βέβαια ἀναγκαίως, ἀλλ' ἔστω· αὐτή δέ πού δέν γεννᾶ ὀλίγα ἀλλά πολλά, ὅσο περισσότερα γεννᾶ τόσο μακρότερα εἶναι ἀπό τήν παρθενία ὁπωσδήποτε. Ἡ ἑβδομάς λοιπόν, πολλαπλασιαζομένη καί συνθετομένη ἀπό τούς μέσα στήν δεκάδα δέν γεννᾶ κανένα, ἀλλά γεννᾶ πολλούς ἀπό τούς ἄνω τῆς δεκάδος· πῶς λοιπόν εἶναι παρθένος; Ἀλλά ξεφεύγοντας τίς λαβές μας ἀνεβαίνουν κατά κάποιον τρόπο στή σελήνη καί τούς πλανῆτες, λέγοντας ὅτι οἱ μέν πλανῆτες εἶναι ἑπτά, ἡ δέ σελήνη σ' ἑπτά ἡμέρες διχοτομεῖται, σέ ἄλλες ἑπτά γίνεται πανσέληνος καί σέ ἴσα διστήματα ἐπιστρέφει πάλι. Διότι ἀγνοοῦν ὅτι, ἄν ὁ ἑπτά εἶναι γι' αὐτά σεπτός, καί οἱ ἄλλοι ἀριθμοί εἶναι ἐξ ἴσου, καί περισσότερο ἀπό ὅλους ἡ ἀρχή των· διότι ὅλος ὁ αἰσθητός κόσμος εἶναι ἕνας καί ὅλος ὁ οὐρανός ἕνας, ἤ ὄχι παραπάνω ἀπό δύο· καί ἕνας εἶναι ὁ ἥλιος στό σύμπαν καί μιά ἡ σελήνη, γιά νά μή λέγω ὅτι τά πάντα συγκροτοῦνται ἀπό τό ἕνα τοῦ πρό πάντων καί διά πάντων καί ἐπί πάντων Θεοῦ, κηρύττοντα σ' αὐτούς πού κατανοοῦν ὀρθῶς τήν ἀληθινή ἑνότητα.

5 Ἄν δέ ὁ καθένας ἀπό τούς ἀστέρες καί τούς πλανῆτες εἶναι σφαιρικός καί τό σύμπαν τοῦτο εἶναι κυκλικό, ὁ δέ κύκλος ἀποτελεῖται ἀπό δύο, σημεῖο καί γραμμή, καί χωρίς αὐτά τά δύο δέν θά μποροῦσε νά ὑπάρξη κανένα ἀπό τά αἰσθητά, καί ὁ ἀριθμός δύο λοιπόν εἶναι χρησιμώτατος στό σύμπαν καί ἀναγκαιότατος. Ἐπειδή ὅμως στό σύμπαν δέν ὑπάρχει μόνο γραμμή καί ἐπίπεδο, γι' αὐτό λοιπόν μεταξύ τῶν ἀριθμῶν ὑπάρχει κατά παρόμοιο τρόπο καί ἡ τριάς· παραλείπω δέ ν' ἀναφέρω τά ἄλλα

ἀριθμοῦ τούτου πλεονεκτήματα. Ἐπεὶ δ' αὖ καὶ τῶν προειρημένων ἕκαστον, οὐ κύκλος μόνον, ἀλλὰ καὶ στερεόν ἐστι καὶ σφαῖρα, ταῦτα δὲ εἶναι τῶν ἀδυνάτων ἄνευ τῆς τετράδος, δεῖ γὰρ αὐτοῖς ἐξ ἀνάγκης καὶ διαστήματος ἑτέρου, πῶς οὐχὶ καὶ ἡ τετρὰς ἐπίσης τῶν ἀξιολόγων; Ἔτι γε μὴν καὶ ἡ πεντὰς δι' ἕτερα παραπλήσια, καὶ μάλιστα τῶν ἄλλων ὁ ἑξ ἀριθμός· οὗτος γὰρ πρὸ τῶν ἄλλων τοῖς οἰκείοις μέρεσιν ἐξισούμενος πρῶτος ἐν τοῖς τελείοις ἐστί· διὸ καὶ κατ' αὐτὸν τὸ πᾶν συνετελέσθη τοῦτο.

6 Οἱ τοίνυν ἐκ τοιούτων σεμνύνοντες τὴν ἑβδομάδα λελήθασιν ἑαυτούς, οὐ ταύτην μόνον, ἀλλ' ἁπλῶς ἅπαντα σεμνοποιοῦντες ἀριθμόν· ἱκανὰ γὰρ εἰκότως ἕκαστος ἔχει τοιαῦτα σεμνολογήματα. Ἐπεὶ γὰρ ὁ ἀριθμὸς ὑπὸ Θεοῦ τοῖς οὖσι συνεκτίσθη πᾶσι, τὰ δὲ ὑπὸ τοῦ Θεοῦ κτισθέντα πάντα καλά τε καὶ καλὰ λίαν, ὡς διὰ Μωσέως αὐτὸς ἐπεμαρτύρησεν ὁ κτίσας, ὅ τις ἂν τοῦ ἀριθμοῦ μέρος ἀπολαβὼν ἐξεταστικῶς κατίδοι, καλὸν εὑρήσει καὶ καλὸν λίαν, ἑαυτῷ τε καὶ τοῖς ἄλλοις λόγοις ἀναλογίας ἐμπρέπον θαυμασίως. Οὐ μὴν διὰ τὸν ἀριθμὸν ἁπλῶς ἑτέρα τῆς ἑτέρας διενήνοχεν ἡμέρας· ἐπ' οὐδεμιᾶς γὰρ ὁ Μωϋσῆς ἐπαινέτην τοῦ ἀριθμοῦ γεγονότα τὸν Θεὸν ἱστόρησεν, ἀλλὰ τὰ καθ' ἑκάστην ὑπ' αὐτοῦ προηγούμενα δι' ἐπαίνου τίθεσθαι· τοιγαροῦν οὐδὲ ἡ ἑβδόμη τῶν ἡμερῶν διὰ τὸν ἀριθμὸν ἐπαινετέα. Λέγομεν τοίνυν ἡμεῖς, τίνος ἕνεκεν ὁ Θεὸς αὐτὴν διαφερόντως εὐλόγησέ τε καὶ ἡγίασεν, ἐξ αὐτῶν τῶν τοῦ Μωσέως λόγων λαβόντες τὰς ἀρχάς. «Κατέπαυσε» γάρ, φησίν, «ὁ Θεὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν». Εἶτα προσθείς, ὅτι καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν», καὶ τὴν αἰτίαν εὐθὺς προστίθησι τῆς εὐλογίας αὐτὸ τοῦ-

πλεονεκτήματα τοῦ ἀριθμοῦ τούτου. Ἐπειδή δέ πάλι καί τό καθένα ἀπό τά προλεχθέντα δέν εἶναι μόνο κύκλος, ἀλλά καί στερεό καί σφαῖρα, αὐτά δέ χωρίς τετράδα εἶναι ἀδύνατο νά ὑφίστανται, διότι κατ' ἀνάγκη χρειάζονται καί ἄλλη διάστασι, πῶς δέν εἶναι καί ἡ τετράς ἐξ ἴσου ἀξιόλογη; Ἐπίσης βέβαια καί ἡ πεντάς γι' ἄλλα παρόμοια, καί περισσότερο ἀπό τούς ἄλλους ὁ ἀριθμός ἕξι· διότι αὐτός εἶναι πρῶτος μεταξύ τῶν τελείων, ἀφοῦ ἐξισώνεται πρίν ἀπό τούς ἄλλους στά μέρη του· γι' αὐτό καί τό σύμπαν τοῦτο ὡλοκληρώθηκε κατ' αὐτόν.

6 Ἐκεῖνοι λοιπόν πού ἐγκωμιάζουν τήν ἑβδομάδα ἀπό τέτοια πράγματα χωρίς νά τό καταλάβουν ἐγκωμιάζουν ὄχι μόνο αὐτήν ἀλλά κάθε ἀριθμό· διότι ὁ καθένας τους εὐλόγως ἔχει τέτοια προσόντα. Ἐπειδή πραγματικά ὁ ἀριθμός ἐκτίσθηκε ἀπό τόν Θεό μαζί μέ ὅλα τά ἄλλα ὄντα, ὅλα δέ τά κτισθέντα ἀπό τόν Θεό εἶναι καλά καί πολύ καλά, ὅπως διά τοῦ Μωσέως ἐμαρτύρησε ὁ ἴδιος ὁ κτίστης, ὅ,τι μέρος ἀριθμοῦ καί ἄν λάβη καί ἐξετάση, θά τό εὕρη καλό καί πολύ καλό, θαυμασίως ταιριαστό κατά τίς ἀναλογίες στόν ἑαυτό του καί στά ἄλλα. Δέν διαφέρει ὅμως ἡ μιά ἡμέρα ἀπό τήν ἄλλη ἁπλῶς καί μόνο γιά τόν ἀριθμό· διότι ὁ Μωυσῆς κατά κανένα τρόπο δέν ἐμφάνισε τόν Θεό ὡς ἐπαινέτη τοῦ ἀριθμοῦ, ἀλλά ἱστόρησε ὅτι τά καθημερινῶς παραγόμενα ἀπό αὐτόν τά ἐπαινοῦσε κατά σειρά· ἑπομένως οὔτε ἡ ἑβδόμη ἡμέρα δέν εἶναι ἄξια ἐπαίνου ἐξ αἰτίας τοῦ ἀριθμοῦ. Λέγομε λοιπόν ἐμεῖς γιά ποιό λόγο ὁ Θεός εὐλόγησε καί ἁγίασε ἰδιαιτέρως αὐτήν, λαμβάνοντας ἀφορμές ἀπό τούς ἰδίους τούς λόγους τοῦ Μωσέως. Διότι λέγει, «κατέπαυσε ὁ Θεός τήν ἑβδόμη ἡμέρα ἀπό ὅλα τά ἔργα του πού ἐξετέλεσε». Ἔπειτα προσθέτοντας, ὅτι «καί εὐλόγησε ὁ Θεός τήν ἡμέρα τήν ἑβδόμη καί τήν ἁγίασε», ἀναφέρει εὐθύς ἀμέσως καί τήν αἰτία τῆς εὐλογίας, λέγοντας πάλι αὐτό τό ἴδιο, ὅτι «κατ' αὐτήν κατέπαυ-

το λέγων πάλιν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ποιῆσαι». Οὐκοῦν ἔστιν ἔργα τοῦ Θεοῦ ἅπερ οὔτε ἤρξατο ποιεῖν οὔτε κατέπαυσε ποιῶν, ὡς καὶ αὐτὸς ὁ Κύριος ἀπεκάλυψεν ἡμῖν λέγων· «ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι».

7 *Θέλων οὖν ὁ Θεὸς τῶν τοιούτων ἔργων ἡμῖν τὴν δυνατὴν γνῶσιν παρασχεῖν καὶ ταῦτα δεῖξαι ζητητέα μᾶλλον τῶν ὑπ' αἴσθησιν ἁπάντων, τὴν ἑβδόμην καθ' ἣν κατέπαυσε τὰ αἰσθητὰ ποιῶν εὐλόγησέ τε καὶ ἡγίασεν, ὡς ἐπάνοδον οἷον οὖσαν διὰ τῆς καταπαύσεως ἀπὸ τῶν κάτω πρὸς ἐκεῖνα τὰ κρείττω καὶ ὑπερκόσμια. Κατὰ γὰρ τὸν μέγαν Διονύσιον εἰπεῖν, ἔξω ἑαυτοῦ γίνεται δι' ὑπερβολὴν ἀγαθότητος ὁ Θεὸς καὶ ἐκ τοῦ πάντων ἐξηρημένου πρὸς τὸ ἐν πᾶσι κατάγεται κατ' ἐκστατικὴν ὑπερούσιον δύναμιν ἀνεκφοίτητον ἑαυτοῦ. Συγκαταβὰς δὴ φιλανθρώπως, ἐφ' ὅσον αὐτὸς ἠθέλησε καὶ ἐχρῆν καὶ τὸν καθ' ἡμᾶς αἰσθητὸν τοῦτον ἐν ἓξ ἡμέραις ἐργασάμενος κόσμον, κατὰ τὴν ἑβδόμην εἰς τὸ οἰκεῖον ὕψος, ὃ μηδ' ἀπέλιπε, θεοπρεπῶς ἐπανῆλθε καὶ τὴν κατ' αὐτὴν κατάπαυσιν εὐλογημένην μᾶλλον ὑπέδειξε, διδάσκων καὶ ἡμᾶς ζητεῖν εἰσελθεῖν, κατὰ τὸ ἐγχωροῦν, εἰς ἐκείνην τὴν κατάπαυσιν, ἥτις ἐστὶν ἡ κατὰ νοῦν ἡμῶν θεωρία καὶ ἡ διὰ ταύτης πρὸς Θεὸν ἀνάνευσις. Πρὸς ἣν κατάπαυσιν καὶ ὁ ἀπόστολος διαρρήδην προτρέπεται. Προθεὶς γὰρ τὸ παρὰ τοῦ Θεοῦ διὰ τοῦ ψαλμῳδοῦ περὶ τοῦ γένους τῶν Ἰουδαίων λεγόμενον, «ὡς ὤμωσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου», ἐπιφέρει γράφων, «εἴρηταί που περὶ τῆς ἑβδόμης ὅτι κατέ-*

2. Ἰω. 5,17.
3. Περὶ θείων ὀνομάτων 4,13.

σε ὁ Θεός ἀπό ὅλα τά ἔργα του τά ὁποῖα ἄρχισε νά ἐκτελῆ». Ἐπομένως ὑπάρχουν ἔργα τοῦ Θεοῦ πού οὔτε ἄρχισε νά ἐκτελῆ οὔτε ἔπαυσε νά ἐκτελῆ, ὅπως καί ὁ ἴδιος ὁ Κύριος μᾶς ἀπεκάλυψε λέγοντας, «ὁ Πατήρ μου ἐργάζεται ἕως τώρα, κι' ἐγώ ἐργάζομαι»[2].

7 Θέλοντας λοιπόν ὁ Θεός νά μᾶς προσφέρη τή δυνατή γνῶσι τῶν ἔργων αὐτῆς τῆς φύσεως καί νά δείξη ὅτι αὐτά πρέπει νά ζητοῦνται περισσότερο ἀπό ὅλα τά αἰσθητά, εὐλόγησε καί ἁγίασε τήν ἑβδόμη ἡμέρα κατά τήν ὁποία ἔπαυσε νά πράττη τά αἰσθητά, σάν εἶδος ἐπανόδου διά τῆς καταπαύσεως ἀπό τά κάτω πρός ἐκεῖνα τά ἀνώτερα καί ὑπερκόσμια. Διότι, γιά νά ὁμιλήσωμε κατά τόν μεγάλο Διονύσιο[3], ὁ Θεός ἀπό ὑπερβολική ἀγαθότητα γίνεται ἔξω ἑαυτοῦ καί ἀπό τήν ἔξαρσι ἐπάνω ἀπό ὅλα κατέρχεται πρός τό πολλαπλοῦν κατά ἐκστατική ὑπερούσια δύναμι πού δέν ἐξέρχεται ἀπό αὐτόν. Συγκαταβαίνοντας λοιπόν φιλανθρώπως, ἐφ' ὅσον αὐτός θέλησε καί ἔπρεπε, κατεσκεύασε σέ ἕξι ἡμέρες τόν αἰσθητό τοῦτο κόσμο μας· κατά δέ τήν ἑβδόμη ἐπανῆλθε στό ὕψος του θεοπρεπῶς, πού ποτέ δέν ἐγκατέλειψε, καί ὑπέδειξε ὡς εὐλογημένη μᾶλλον τήν κατ' αὐτήν κατάπαυσι, διδάσκοντας κι' ἐμᾶς νά ζητοῦμε νά εἰσέλθωμε, κατά δύναμι, σ' ἐκείνη τήν κατάπαυσι, πού εἶναι ἡ κατά τό νοῦ μας θεωρία καί ἡ δι' αὐτῆς ἀνύψωσις πρός τόν Θεό. Πρός τήν κατάπαυσι αὐτή προτρέπει ζωηρῶς καί ὁ ἀπόστολος. Διότι, ἀφοῦ ἀνέφερε πρῶτο τό λεγόμενο ἀπό τόν Θεό διά τοῦ ψαλμωδοῦ περί τοῦ γένους τῶν Ἰουδαίων, «διότι ὠρκίσθηκα στήν ὀργή μου ὅτι δέν θά εἰσέλθουν στήν κατάπαυσί μου»[4], προσθέτει γράφοντας, «κάπου ἔχει λεχθῆ περί τῆς ἑβδόμης ὅτι ὁ Θεός κα-

4. Ψαλμ. 94,11.

παυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ», καὶ μετ' ὀλίγα, «σπουδάσωμεν οὖν καὶ ἡμεῖς εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ»· ὁ γὰρ εἰσελθὼν κατέπαυσε καὶ αὐτὸς ἀπὸ τῶν ἔργων αὑτοῦ, καθάπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

8 Ἀλλά, τίς αὕτη ἡ κατάπαυσις, ἔτι σαφέστερον ποθεῖτε μαθεῖν, καὶ πῶς καὶ ἡμεῖς εἰς αὐτὴν εἰσελευσόμεθα; Ἂν τὰ ἔργα μάθωμεν, ὧν ὡς ἀνάρχων ὄντων ὁ Θεὸς οὐκ ἤρξατο, ἔτι μᾶλλον καὶ τῆς καταπαύσεως ταύτης καὶ τῆς πρὸς αὐτὴν εἰσελεύσεως ἐν περινοίᾳ ἐσόμεθα. Τίνα δὴ τὰ ἔργα ταῦτα; Διδότω καὶ ἡμῖν τὴν ἀρχὴν ὁ ψαλμῳδὸς προφήτης περὶ τοῦ Θεοῦ γράφων, «ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις». Ἔργον οὖν Θεοῦ ἄναρχον ἡ τῶν ὄντων γνῶσις καὶ ἡ πρόγνωσις τῶν ἐσομένων, ἃς εἴ τις ἀλήθειαν προσείποι, οὐκ ἀστοχήσει τοῦ προσρήματος. Ἔργον Θεοῦ ἄναρχόν τε καὶ ἄπαυστον ἡ κρίσις καὶ ἡ πρόνοια· καὶ γὰρ ἐδεῖτο τὰ ὄντα καὶ πρὶν γενέσεως κρίσεώς τε καὶ προνοίας, ὅτι δεῖ γενέσθαι καὶ μετὰ τὸ γενέσθαι ὅπως μὴ ἀπογένωνται κατὰ καιρόν· ἢ τὰ μὲν πρὸς τὸ λυσιτελὲς ἑαυτῶν ἢ τὸ τοῦ παντὸς μεταγίνωνται κατὰ καιρόν, τὰ δὲ διαμένωσιν ἀναλλοίωτα. Ἔργον ἄναρχον Θεοῦ ἡ πρὸς ἑαυτὸν ἐπιστροφή· ἐκινεῖτο γὰρ ἀνάρχως τῇ ἑαυτοῦ θεωρίᾳ.

9 Πολλὰ μὲν οὖν ἄν τις συνετῶς ἐξετάζων κατίδοι τὰ ταῖς ἐνεργείαις ταύταις σύστοιχα. Ἂν δὲ καὶ ἡμῶν ἕκαστος, ἀδελφοί, τῶν κάτω συνεχῶν καὶ πολυμόχθων φροντίδων καὶ τῶν κατὰ ταύτας ἔργων ἀφέμενος, προσεδρεύῃ τὰ ὦτα ὑπέχων τῇ διδασκαλίᾳ τοῦ

5. Ἑβρ. 4,4.
6. Ἑβρ. 4,11.

τέπαυσε ἀπό ὅλα τά ἔργα του»[5], καί λίγο παρακάτω, «ἄς προσπαθήσωμε κι' ἐμεῖς λοιπόν νά εἰσέλθωμε στήν κατάπαυσί του»[6]· διότι αὐτός πού εἰσῆλθε κατέπαυσε καί αὐτός ἀπό τά ἔργα του, ὅπως ὁ Θεός ἀπό τά δικά του.

8 Ἀλλά ποθεῖτε νά μάθετε ἀκόμη σαφέστερα ποιά εἶναι αὐτή ἡ κατάπαυσις καί πῶς θά εἰσέλθωμε κι' ἐμεῖς σ' αὐτήν; Ἄν γνωρίσωμε τά ἔργα τά ὁποῖα ὁ Θεός δέν ἄρχισε, ἀφοῦ εἶναι ἄναρχα, θ' ἀντιληφθοῦμε ἀκόμη καλύτερα κι' αὐτήν τήν κατάπαυσι καί τήν πρός αὐτήν εἴσοδο. Ποιά λοιπόν εἶναι αὐτά τά ἔργα; Ἄς μᾶς δώση τήν ἀρχή τῆς ἀπαντήσεως ὁ ψαλμωδός προφήτης γράφοντας περί τοῦ Θεοῦ, «ἔργα τῶν χεριῶν του εἶναι ἡ ἀλήθεια καί ἡ κρίσις»[7]. Ἄναρχο λοιπόν καί ἄπαυστο ἔργο τοῦ Θεοῦ εἶναι ἡ γνῶσις τῶν ὄντων καί ἡ πρόγνωσις αὐτῶν πού θά γίνουν, πού δέν θ' ἀστοχήση κανείς, ἄν τά εἰπῆ ἀλήθεια. Ἄναρχο καί ἄπαυστο ἔργο τοῦ Θεοῦ εἶναι ἡ κρίσις καί ἡ πρόνοια· διότι τά ὄντα ἐχρειάζονταν καί πρίν ἀπό τή γένεσί τους κρίσι καί πρόνοια, διότι πρέπει νά γίνουν καί μετά τήν γένεσί τους νά μή ἀπογίνουν παράκαιρα ἤ ἄλλα μέν νά μεταγίνωνται κατά καιρό πρός ὠφέλεια τῶν ἰδίων ἤ τοῦ σύμπαντος, ἄλλα δέ νά διαμένουν ἀναλλοίωτα. Ἄναρχο ἔργο τοῦ Θεοῦ εἶναι ἡ ἐπιστροφή πρός ἑαυτόν· διότι ἐκινεῖτο ἀνάρχως μέ τήν θεωρία ἑαυτοῦ.

9 Ἄν λοιπόν ἐξετάση κανείς μέ σύνεσι, θά μποροῦσε νά ἰδῆ πολλά σύστοιχα μέ αὐτές τίς ἐνέργειες. Ἄν δέ καί ὁ καθένας μας, ἀδελφοί, ἐγκαταλείποντας τίς κάτω συνεχεῖς καί πολύμοχθες φροντίδες καί τά σχετικά μέ αὐτές ἔργα, παρακάθεται στρέφοντας τ' αὐτιά του στή διδασκαλία τοῦ Πνεύματος, πρῶτα

7. Ψαλμ. 110,7.

Πνεύματος, πρῶτον μὲν ἐπαινεθήσεται παρὰ τοῦ Κυρίου, ὃς τὴν μὲν Μάρθαν περὶ πολλῶν μεριμνῶσαν οὐκ ἀποδέχεται, καίτοι τῆς σπουδῆς οὔσης ὑπὲρ αὐτοῦ· Μαρία δέ, φησίν, ἡ παρακαθημένη καὶ τῶν λόγων τῆς διδασκαλίας ἀκροωμένη, τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

10 *Ὁρᾷς τὸ ἀκατάπαυστον ἔργον; Ἔπειτα τοὺς λόγους τούτους ἐν νῷ λαβὼν τῆς διδασκαλίας τοῦ Πνεύματος καὶ τούτοις ἐμμελετῶν καὶ τούτους ἐν τῷ λογιζομένῳ τῆς ψυχῆς ἑτέρου παντὸς ἐμπαθοῦς καὶ γηΐνου λογισμοῦ προκρίνων καὶ διὰ τούτων πρόνοιαν τοῦ καθ' ἑαυτὸν βίου ποιούμενος εἰς σωτηρίαν, ἔργον καὶ αὐτὸς ἕξει τὴν ἀλήθειαν καὶ τὴν κρίσιν ἐν τῇ ἑαυτοῦ καρδίᾳ, κατὰ τὸν ψαλμῳδὸν προφήτην, λαλῶν ἀλήθειαν. Ἂν δὲ καὶ παντὸς συλλογισμοῦ, κἂν ἀγαθὸς ᾖ, τὸν σὸν ἀπαναστήσῃς νοῦν καὶ πρὸς ἑαυτὸν ἐπιστρέψῃς ὅλον δι' ἐπιμόνου προσοχῆς καὶ ἀδιαλείπτου προσευχῆς, ὄντως εἰσῆλθες καὶ αὐτὸς εἰς τὴν θείαν κατάπαυσιν καὶ τῆς κατὰ τὴν ἑβδόμην εὐλογίας ἐπέτυχες, αὐτὸς σεαυτὸν ὁρῶν καὶ διὰ σαυτοῦ πρὸς θεοπτίαν ἀναφερόμενος· τέλος γάρ φησι προσευχῆς ἁρπαγὴ πρὸς Κύριον. Ἓν μὲν δὴ τοῦτο τῆς κατὰ τὴν ἑβδόμην εὐλογίας τὸ αἴτιον, ὃ καὶ Μωϋσῆς διὰ τοῦ νόμου δεικνὺς ἀργίαν τὴν ἑβδόμην ἐπέταξεν, ἀλλὰ τῶν σώματι λυσιτελούντων ἔργων, τῶν δὲ τῇ ψυχῇ προσηκόντων ἐνέργειαν.*

11 *Ἕτερον δέ, ὁ τὸ πᾶν τόδε συστήσας ἐν ἓξ ἡμέραις προεώρα καὶ τὴν τοῦ ἀνθρώπου πρὸς τὸ χεῖρον τροπὴν καὶ τὴν διὰ ταύτην πρὸς τὴν γῆν ἀποστροφὴν καὶ τὴν μέχρις ᾅδου καταστροφήν τε καὶ κάθειρξιν καὶ τὴν διὰ τὸν ἄνθρωπον παντὸς τοῦ κόσμου τοῦδε παλαίωσιν καὶ ἀχρείωσιν, ἀλλὰ καὶ τὸν ἐσόμενον ἀνακαινισμὸν τού-*

θά ἐπαινεθῆ ἀπό τόν Κύριο, ὁ ὁποῖος τήν μέν Μάρθα δέν ἐπεδοκίμασε διότι ἐφρόντιζε γιά πολλά, ἄν καί ἡ σπουδή ἦταν ὑπέρ αὐτοῦ· ἡ δέ Μαρία, λέγει, πού παρακάθεται κι' ἀκούει τούς λόγους τῆς διδασκαλίας, ἐξέλεξε τήν ἀγαθή μερίδα, πού δέν πρόκειται ν' ἀφαιρεθῆ ἀπό αὐτήν[8].

10 Βλέπεις τό ἀκατάπαυστο ἔργο. Ἔπειτα λαμβάνοντας στό νοῦ τούς λόγους τούτους τῆς διδασκαλίας τοῦ Πνεύματος καί ἐμμελετώντας τους καί προκρίνοντάς τους μέ τό λογικό τῆς ψυχῆς ἀπό κάθε ἐμπαθῆ καί γήινο λογισμό καί ρυθμίζοντας μέ αὐτούς τόν βίο σου πρός τήν σωτηρία, θά ἔχης καί σύ ἔργο στήν καρδιά σου τήν ἀλήθεια καί τήν κρίσι, κατά τόν ψαλμωδό προφήτη, λέγοντας τήν ἀλήθεια[9]. Ἄν δέ ἀπομακρύνης τόν νοῦ σου ἀπό κάθε λογισμό, ἔστω καί ἀγαθόν, καί τόν στρέψης ὅλον πρός τόν ἑαυτόν του μέ ἐπίμονη προσοχή καί ἀδιάλειπτη προσευχή, πραγματικά εἰσῆλθες κι' ἐσύ στήν θεία κατάπαυσι κι' ἐπέτυχες τήν εὐλογία κατά τήν ἑβδόμη, βλέποντας ὁ ἴδιος τόν ἑαυτό σου καί διά τοῦ ἑαυτοῦ σου ἀνυψούμενος πρός τήν θεοπτία· διότι τό τέλος τῆς προσευχῆς, λέγει, εἶναι ἡ ἁρπαγή πρός τόν Κύριο. Αὐτό εἶναι τό ἕνα αἴτιο τῆς εὐλογίας κατά τήν ἑβδόμη ἡμέρα, τό ὁποῖο δεικνύοντας καί ὁ Μωυσῆς παρήγγειλε νά τηρῆται ἀργία κατά τήν ἑβδόμη, ἀλλά μόνο ἀπό τά ἔργα πού βοηθοῦν τό σῶμα, ἐνῶ ὡς πρός κατάλληλα γιά τήν ψυχή παρήγγειλε ἐνέργεια.

11 Ἄλλο αἴτιο εἶναι ὅτι, αὐτός πού συνέστησε τό σύμπαν σέ ἕξι ἡμέρες, προέβλεπε καί τήν ἐκτροπή τοῦ ἀνθρώπου πρός τό χειρότερο καί τήν ἐξ αἰτίας αὐτῆς στροφή πρός τή γῆ καί τήν καταστροφή ἕως τόν ἅδη καί τήν κάθειρξι σ' αὐτόν, τήν πα-

8. Λουκᾶ 10,42.
9. Ψαλμ. 14,2.

του διὰ τῆς οἰκείας ἐνανθρωπήσεως. Οὗτος δὲ ὁ ἀνακαινισμὸς ἐνηργήθη κατὰ τὴν εἰς ᾅδου τοῦ ἐνανθρωπήσαντος Θεοῦ διὰ θανάτου κατάβασιν καὶ τὴν ἐκεῖ παρ' αὐτοῦ κατηγγελμένην ἐν σάββάτῳ τῶν ψυχῶν ἐπανάκλησιν· καὶ τοῦτο δὴ τῆς ἑβδόμης προεώρα τὸ ἔργον, διόπερ εἰκότως τῆς εὐλογίας ταύτης μόνην ἠξίωσεν. Ἀλλὰ παρεσκευάσθη μὲν ἐν ἀδήλῳ τοῦτο κατὰ τὴν ἑβδόμην, δηλονότι κατὰ τὸ Σάββατον, ἀνεφάνη δὲ καὶ καθαρῶς ἐτελέσθη τὸ πᾶν, καὶ τοῦ σώματος ἀνακληθέντος πρὸς ἀφθαρσίαν, κατὰ τὴν ὀγδόην διὰ τῆς δεσποτικῆς ἀναστάσεως, διὸ καὶ Κυριακὴ παρ' ἡμῶν αὕτη φερωνύμως κατονομάζεται. Ὥσθ' ὅπερ ἐστὶν ἡ Παρασκευὴ πρὸς τὸ Σάββατον, τοῦτο πρὸς τὴν Κυριακὴν ὑπάρχει τὸ Σάββατον, ὑπερέχουσαν τούτου σαφῶς· καθόσον ἀρχῆς καὶ τύπου καὶ σκιᾶς ἡ τελειότης καὶ ἡ ἀλήθεια, τοσοῦτο τῇ Κυριακῇ τὸ περιὸν καὶ σεβάσμιον διὰ τὸ κατ' αὐτὴν ὑπερευλογημένον τέλος καὶ τὴν ἐλπιζομένην κατ' αὐτὴν κοινὴν τῶν ἁπάντων ἀνάστασιν καὶ τελείαν τῶν ἀξίων εἰσέλευσιν εἰς τὴν θείαν κατάπαυσιν καὶ τὴν παντὸς τοῦ κόσμου ἀναστοιχείωσιν.

12 Οὐκοῦν ὅσα ἄν τις εἴποι τὴν ἑβδόμην σεμνύνων, ἐπὶ τὴν ὀγδόην ταῦτα μετὰ προσθήκης ἀνάγεται· αὕτη γὰρ ἐκείνης ἐστὶν ἡ τελείωσις. Ταύτης τῆς ὀγδόης τὴν τιμήν, δηλονότι τῆς Κυριακῆς, καὶ λελῃθότως μὲν εἰσήγαγεν ὁ Μωϋσῆς· ὁ γὰρ ἰωβηλαῖος ἐνιαυτός, ὃς ἀφέσεως ἐνιαυτὸς παρ' ἐκείνου νομίζεταί τε καὶ ὀνομάζεται, οὐκ ἐναρίθμιός ἐστι ταῖς κατὰ νόμον ἀριθμουμέναις ἑβδομάσι τῶν ἐτῶν, ἀλλὰ μετ' ἐκείνας πάσας καὶ ὄγδοός ἐστι, μετὰ τὸ παρελθεῖν τὴν ἑσχάτην ἑβδομάδα τῶν ἐτῶν ἐκείνων ἀναφαινόμενος. Τοῦτο καὶ ἐν ταῖς ἑβδομάσι τῶν κατὰ τὰς ἡμέρας ἑβδομάδων ποιεῖ

λαίωσι καί ἀχρήστευσι ὅλου τοῦ κόσμου τούτου γιά τόν ἄνθρωπο, ἀλλά καί τόν μελλοντικό ἀνακαινισμό τούτου διά τῆς ἀναστάσεώς του. Αὐτή δέ ἡ ἀνακαίνισις ἐνεργήθηκε κατά τήν κατάβασι τοῦ ἐνανθρωπήσαντος Θεοῦ στόν ἅδη διά τοῦ θανάτου καί τήν ἐκεῖ μαρτυρουμένη ἀνάκλησι τῶν ψυχῶν ἀπό αὐτόν τό Σάββατο· καί αὐτό λοιπόν προέβλεπε τό ἔργο τῆς ἑβδόμης ἡμέρας, καί γι' αὐτό εὐλόγως αὐτήν μόνο ἀξίωσε τῆς εὐλογίας αὐτῆς. Ἀλλά προετοιμάσθηκε μέν τοῦτο ἀδήλως κατά τήν ἑβδόμη ἡμέρα, δηλαδή τό Σάββατο, ἐφάνηκε δέ κι' ἐκτελέσθηκε τό ὅλο καθαρῶς, μέ ἀνάκλησι καί τοῦ σώματος στήν ἀφθαρσία, κατά τήν ὀγδόη ἡμέρα διά τῆς δεσποτικῆς ἀναστάσεως, γι' αὐτό αὐτή ὀνομάζεται ἀπό ἐμᾶς καταλλήλως Κυριακή. Ὥστε ὅ,τι εἶναι ἡ Παρασκευή ἀπέναντι στό Σάββατο, τοῦτο εἶναι ὡς πρός τήν Κυριακή τό Σάββατο, διότι ὑπερέχει αὐτοῦ σαφῶς· ὅσο ἡ τελειότης καί ἡ ἀλήθεια ὑπερέχουν ἀπό τήν ἀρχή καί τόν τύπο καί τήν σκιά, τόση ὑπεροχή καί ἱερότητα ἔχει ἡ Κυριακή ἐξ αἰτίας τοῦ ὑπερευλογημένου τέλους κατ' αὐτήν καί τῆς ἐλπιζομένης κατ' αὐτήν κοινῆς ἀναστάσεως ὅλων, τήν τελεία εἴσοδο τῶν ἀξίων στή θεία κατάπαυσι καί τήν ἀναστοιχείωσι ὅλου τοῦ κόσμου.

12 Ἑπομένως ὅσο θά μποροῦσε νά εἰπῆ κανείς, ἐγκωμιάζοντας τήν ἑβδόμη, αὐτά ἀναφέρονται μέ τό παραπάνω στήν ὀγδόη· διότι αὐτή εἶναι ἡ τελείωσις ἐκείνης. Αὐτῆς τῆς ὀγδόης τήν τιμή, δηλαδή τῆς Κυριακῆς, εἰσήγαγε ἐμμέσως ὁ Μωυσῆς. Διότι τό ἰωβηλαῖο ἔτος, πού ἀπό ἐκεῖνον θεωρεῖται καί ὀνομάζεται ἔτος ἀφέσεως, δέν ἀριθμεῖται στίς κατά τόν νόμο ἀριθμούμενες ἑβδομάδες τῶν ἐτῶν, ἀλλά εἶναι ἔπειτα ἀπό ὅλες ἐκεῖνες καί ὄγδοο, ἀναφαινόμενο μετά τήν τελευταία ἑβδομάδα τῶν ἐτῶν ἐκείνων[10]. Τοῦτο πράττει ὁ Μωυσῆς καί στίς ἑβδομά-

ὁ Μωϋσῆς. Οὐ μόνον δὲ λεληθότως οὕτως εἰσήγαγε τὴν τιμὴν τῆς ὀγδόης ὁ νομοθέτης, ἣν καὶ Κυριακὴν ἡμεῖς ὀνομάζομεν, ὡς ἀφιερωμένην τῇ ἀναστάσει τοῦ Κυρίου ἡμέραν, ἀλλὰ καὶ κατὰ τὴν ἑορτὴν ἣν σαλπίγγων ὠνόμασε, καὶ ἐξόδιον ταύτην καλεῖ, τουτέστι πέρας καὶ τελείωσιν τῶν ἑορτῶν ἁπασῶν. Κατὰ ταύτην οὖν φανερῶς φησιν, ὅτι καὶ ἡ ἡμέρα ἡ ὀγδόη κλητὴ ἁγία ἔσται ἡμῖν, προκαταγγέλλων τὸ τῆς Κυριακῆς θεῖον οἷον καὶ πανευκλεὲς καὶ σεβάσμιον, μετὰ τὴν πάροδον τῶν νομικῶν ἁπάντων ἐσόμενον.

13 Ὥστε καὶ οὗτος διὰ τοῦτο τετίμηκε τὴν ἑβδόμην, ὡς εἰς τὴν ὀγδόην ταύτην φέρουσαν τὴν ὄντως τιμίαν. Καὶ καθάπερ ὁ δι' αὐτοῦ δεδομένος νόμος τίμιος, ἀλλ' ὡς εἰσάγων εἰς Χριστόν, οὕτω καὶ ἡ ἑβδόμη τιμία ὡς εἰσάγουσα εἰς τὴν ὀγδόην, καθ' ἣν ἡ ἀνάστασις τοῦ Κυρίου γέγονεν, ὡς ὀγδόη καὶ αὕτη οὖσα. Καθάπερ γὰρ μετὰ τὴν ἑβδόμην ἡ ὀγδόη τῶν ἡμερῶν ἀριθμεῖται, οὕτως ἐξετάζων εὑρήσεις, μετὰ τὴν ἑβδόμην τῶν ἐκ τοῦ παντὸς αἰῶνος ἱστορουμένων ἀναστάσεων ἐκ τῶν νεκρῶν, ὀγδόην τὴν τοῦ Κυρίου γεγονυῖαν ἀνάστασιν, ὡς μὴ μόνον ἐν τῇ ὀγδόῃ τελεσθῆναι τῶν ἡμερῶν, ἀλλὰ καὶ ὀγδόην εἶναι ταύτην πρὸς τὰς πρὸ αὐτῆς ἀριθμουμένην, τὴν αὐτὴν δὲ καὶ πρώτην πρὸς τὴν ἐλπιζομένην τῶν κατὰ Χριστὸν ἁπάντων ἀνάστασιν, μᾶλλον δὲ ἐξανάστασιν, δι' ἣν καὶ ὁ Χριστὸς ἀπαρχὴ τῶν κεκοιμημένων καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν ἀνυμνεῖται. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ Κυριακὴ τῶν ἡμερῶν οὐκ ὀγδόη μόνον ἐστὶν ἀπὸ τῶν πρὸ αὐτῆς ἀριθμουμένη, ἀλλὰ καὶ τῶν μετ' αὐτήν ἐστι πρώτη, ὡς εἶναι ταύτην αὐτὴν ἐκείνην ἐκ περιτροπῆς τὴν καινὴν καὶ πρώτην ἁπασῶν ἡμέραν, ἣν ἡμεῖς μὲν Κυριακὴν καλοῦμεν, ὁ δὲ Μωϋσῆς οὐ πρώτην, ἀλλὰ μίαν προση-

δες τῶν ἑβδομάδων τῶν ἡμερῶν. Ὁ νομοθέτης ὅμως δέν εἰσήγαγε μόνο ἔτσι ἐμμέσως τήν τιμή τῆς ὀγδόης ἡμέρας, πού ἐμεῖς ὀνομάζομε Κυριακή ὡς ἀφιερωμένην στήν ἀνάστασι τοῦ Κυρίου, ἀλλά καί κατά τήν ἑορτή πού ὀνομάζει «τῶν Σαλπίγγων» τήν καλεῖ ἐξόδιον, δηλαδή τέρμα καί τελείωσι ὅλων τῶν ἑορτῶν[11]. Κατ' αὐτήν λοιπόν λέγει φανερά ὅτι καί ἡ ὀγδόη ἡμέρα θά εἶναι γιά μᾶς, προκαταγγέλλοντας τόν θεῖο καί ἔνδοξο καί σεβάσμιο χαρακτῆρα τῆς Κυριακῆς πού θά πραγματοποιηθῆ μετά τήν παρέλευσι ὅλων τῶν μωσαϊκῶν θεσμῶν.

13 Ὥστε καί αὐτός ἐτίμησε ἔτσι τήν ἑβδόμη, διότι ὁδηγεῖ στήν ὀγδόη τήν πραγματικά τιμία. Καί, ὅπως ὁ δοσμένος δι' αὐτοῦ νόμος εἶναι τίμιος, ἁπλῶς ὡς εἰσηγητής στόν Χριστό, ἔτσι καί ἡ ἑβδόμη εἶναι τιμία διότι εἰσάγει στήν ὀγδόη, κατά τήν ὁποία ἔγινε ἡ ἀνάστασις τοῦ Κυρίου, σάν νά εἶναι καί αὐτή ὀγδόη. Καθώς δηλαδή μετά τήν ἑβδόμη ἀριθμεῖται ἡ ὀγδόη ἡμέρα, ἔτσι ἐξετάζοντας θά εὕρης, μετά τήν ἑβδόμη τῶν ἀναστάσεων νεκρῶν ἀπό ἀνέκαθεν, ὅτι ὀγδόη εἶναι ἡ ἀνάστασις τοῦ Κυρίου, ὄχι μόνο διότι ἐτελέσθηκε τῆν ὀγδόη ἡμέρα, ἀλλά καί διότι αὐτή εἶναι ἡ ὀγδόη στόν ἀριθμό ὡς πρός ἐκεῖνες πού συνέβηκαν πρίν ἀπό αὐτήν, ἡ ἴδια δέ καί πρώτη ὡς πρός τήν ἐλπιζομένη ἀνάστασι ὅλων τῶν πιστῶν στό Χριστό ἤ ἐξανάστασι, ἐξ αἰτίας τῆς ὁποίας ὁ Χριστός ἀνυμνεῖται ὡς ἀπαρχή τῶν κοιμημένων καί πρωτότοκος τῶν νεκρῶν[12]. Κατά τόν ἴδιο δέ τρόπο ἡ Κυριακή ἡμέρα δέν εἶναι μόνο ὀγδόη ἀπό τίς ἀριθμούμενες πρίν ἀπό αὐτήν, ἀλλά καί πρώτη τῶν ἔπειτα ἀπό αὐτήν, ὥστε αὐτή νά εἶναι ἐκ περιτροπῆς ἐκείνη ἡ ἰδία, ἡ καινή καί πρώτη ὅλων τῶν ἡμερῶν, τήν ὁποία ἐμεῖς μέν καλοῦμε Κυριακή, ὁ δέ

11. Λευιτ. 23,24. 23,36.
12. Α' Κορ. 15,20. Ἀποκ. 1,5.

γόρευσεν, ὡς τῶν ἄλλων ὑπερεξηρημένην καὶ προοίμιον οὖσαν τῆς τοῦ μέλλοντος αἰῶνος μιᾶς καὶ ἀνεσπέρου ἡμέρας.

14 Ἐν περινοίᾳ δὲ ἔτι γενήσῃ τῆς κατὰ τὴν Κυριακὴν πρὸς τὰς ἄλλας ἑορτίους ἡμέρας ὑπεροχῆς κάντεῦθεν. Πᾶσαν μὲν γὰρ ἄλλην ἡμέραν ἑόρτιον, ὁ ἐνιαυτὸς ἅπας ἅπαξ ἐπάγει περιϊών, τὴν δὲ Κυριακὴν καὶ μηνῶν ἕκαστος τετράκις ἡμῖν ἐπανάγει, διὰ τῆς οὕτω συχνῆς περιόδου τὸν ἐνιαυτὸν ἅπαντα ἐνιαυτὸν ἡμῖν δημιουργοῦσαν τῆς ὄντως ἀφέσεως, καὶ ἐνιαυτὸν Κυρίῳ δεκτόν. Διὸ καὶ ὁ Κύριος ταύτην ἡμῖν ἑορτάζειν ἔργῳ καθ' ἑκάστην παρελθοῦσαν ἡμερῶν ἑβδομάδα παραδιδούς, ἐπεφάνη μὲν πρῶτον ἐν οἰκίᾳ τοῖς μαθηταῖς, τοῦ Θωμᾶ μὴ παρόντος, καὶ παρέστησεν ἑαυτὸν ζῶντα καὶ τὴν εἰρήνην παρέσχεν αὐτοῖς καὶ δι' ἐμφυσήματος τοῦ οἰκείου τὸ κατ' ἀρχὰς δεδομένον ἀνακαινίσας ἐμφύσημα, τὴν τοῦ θείου Πνεύματος ἐχαρίσατο χάριν, δύναμιν ἐνθεὶς αὐτοῖς θείαν τοῦ δεσμεῖν καὶ λύειν τὰς ἁμαρτίας καὶ συμψήφους αὐτοὺς τῆς ἐν οὐρανῷ δεσποτείας ἀπεργασάμενος, εἰπὼν πρὸς αὐτούς, «λάβετε Πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται».

15 Ταύτην μὲν οὖν τὴν δύναμιν καὶ τὴν χάριν παρέσχεν ὁ Κύριος ἐπιφανεὶς κατ' αὐτὴν τὴν ἡμέραν τῆς αὐτοῦ ἀναστάσεως, ἥτις ἡ Κυριακὴ πάντως ἦν· εἶτα διαλιπὼν τὰς μεταξὺ τῆς ἑβδομάδος ἡμέρας, κατὰ τὴν ὁδόν, τ' αὐτὸ δ' εἰπεῖν τὴν Κυριακὴν ἣν περ σήμερον ἄγομεν, ἐφίσταται πάλιν ὡσαύτως καὶ κατὰ τὴν αὐτὴν οἰκίαν, ἐγκαινίζων ἑαυτῷ τὴν πανήγυριν καὶ τὸν Θωμᾶν πρὸς πίστιν ἐνάγων διστάζοντα· κατὰ γὰρ τὸν ἠγαπημένον εὐαγγελιστὴν τοῦ

Μωυσῆς ὠνόμασε ὄχι 'πρώτη' ἀλλά «μία», ὡς ὑπερυψωμένη ἀπό τίς ἄλλες καί ὡς προοίμιο τῆς μιᾶς καί ἀνέσπερης ἡμέρας τοῦ μέλλοντος αἰῶνος.

14 Θ' ἀντιληφθῆς δέ καλύτερα τήν ὑπεροχή τῆς Κυριακῆς ἀπέναντι στίς ἄλλες ἑορτάσιμες ἡμέρες καί ἀπό τό ἑξῆς. Κάθε ἄλλη ἑορτάσιμη ἡμέρα τό ἔτος φέρει μόνο μιά φορά, ἐνῶ τήν Κυριακή μᾶς τήν ἐπαναφέρει καί ὁ κάθε μήνας μόνος του τέσσερις φορές· ἔτσι αὐτή μέ τήν τόσο συχνή ἐπάνοδο μᾶς καθιστᾶ ὅλο τό ἔτος τῆς ἀληθινῆς ἀφέσεως, ἔτος εὐπρόσδεκτο ἀπό τόν Κύριο. Γι' αὐτό καί ὁ Κύριος διδάσκοντάς μας νά τήν ἑορτάζωμε ἐμπράκτως μέ τό πέρασμα κάθε ἑβδομάδος ἡμερῶν, ἐμφανίσθηκε πρῶτα στούς μαθητάς σέ οἰκία, ἐνῶ ἀπουσίαζε ὁ Θωμᾶς, καί παρουσίασε τόν ἑαυτό του ζωντανόν, τούς πρόσφερε τήν εἰρήνη καί μέ τό ἐμφύσημα ἐχάρισε τή χάρι τοῦ θείου Πνεύματος· ἐνέβαλε σ' αὐτούς θεία δύναμι νά δένουν καί νά λύουν τίς ἁμαρτίες καί τούς κατέστησε συμμετόχους τῆς οὐρανίας κυριαρχίας, λέγοντάς τους, «λάβετε ἅγιο Πνεῦμα, ἄν συγχωρήσετε τίς ἁμαρτίες κάποιων, τούς συγχωροῦνται, ἄν τίς κρατῆτε, κρατοῦνται»[13].

15 Αὐτήν λοιπόν τή δύναμι καί χάρι παρέσχε ὁ Κύριος, ἐμφανισθείς κατά τήν ἰδία τήν ἡμέρα τῆς ἀναστάσεώς του, πού πάντως ἦταν Κυριακή· ἔπειτα παραλείποντας τίς ἐνδιάμεσες ἡμέρες τῆς ἑβδομάδος, κατά τήν ὀγδόη, δηλαδή τήν Κυριακή πού ἔχομε σήμερα, ἔρχεται πάλι στήν ἴδια οἰκία, γιά νά ἐγκαινιάση τήν πανήγυρί του καί ὁδηγήση τόν διστακτικό Θωμᾶ πρός τήν πίστι· διότι κατά τόν ἀγαπημένο εὐαγγελιστή καί μαθητή τοῦ Σωτῆρος, «ἔπειτα ἀπό ὀκτώ ἡμέρες οἱ μαθηταί ἦσαν πάλι μέσα

13. Ἰω. 20,23.

Σωτῆρος καὶ μαθητήν, «μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ καὶ Θωμᾶς μετ' αὐτῶν· ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων καὶ ἔστη εἰς τὸ μέσον καὶ λέγει αὐτοῖς, εἰρήνη ὑμῖν».

16 *Ὁρᾶτε κατὰ Κυριακὴν καὶ τῶν τοῦ Χριστοῦ μαθητῶν τὴν συνέλευσιν καὶ τοῦ Κυρίου πρὸς αὐτοὺς τὴν ἐπέλευσιν; Κυριακὴ γὰρ ἦν, ὅτε πρῶτον συνηγμένοις ἐπέστη, καὶ μεθ' ἡμέρας ὀκτὼ τὴν Κυριακὴν πάλιν ἐπαναγούσας ἐφίσταται συνηγμένοις. Ἐκείνας τὰς συνάξεις εἰκονίζει διηνεκῶς ἡ τοῦ Χριστοῦ Ἐκκλησία, κατὰ Κυριακὴν μάλιστα τὰς συνάξεις ἐπιτελοῦσα, καὶ ἡμεῖς ὑμῖν ἐνδημοῦντες καὶ τὰ πρὸς σωτηρίαν ὁμιλοῦντες κοινῇ καὶ πρὸς εὐσέβειαν καὶ τὸν κατ' εὐσέβειαν ἐνάγοντες βίον.*

17 *Μηδεὶς οὖν ὑπὸ ῥᾳθυμίας ἢ διὰ τῆς πρὸς τὰ γήϊνα διὰ παντὸς ἀσχολίας ἀπολιμπανέσθω τῶν κατὰ Κυριακὴν ἱερῶν καὶ θεοπαραδότων συνάξεων τούτων, ἵνα μὴ δικαίως ἐγκαταλειφθεὶς ὑπὸ Θεοῦ παραπλήσιόν τι τῷ Θωμᾷ πάθῃ, μὴ κατὰ καιρὸν ἐλθών· κἂν συναρπασθεὶς ἅπαξ ἀπολειφθῇ, τῇ ἑξῆς ἀποδιδότω, φέρων ἑαυτὸν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, μὴ καὶ ἀνίατος μείνῃ, κατὰ ψυχὴν μὲν νοσήσας ἔργοις ἢ λόγοις τὴν ἀπιστίαν, τῷ ἰατρείῳ δὲ τοῦ Χριστοῦ μὴ προσενεχθεὶς καὶ τὴν ἱερὰν ὡς ὁ θεῖος Θωμᾶς ἰατρείαν μὴ προσδεξάμενος. Εἰσὶ γάρ, εἰσίν οὐ λογισμοί τε καὶ λόγοι μόνον, ἀλλὰ καὶ ἔργα καὶ πράξεις πίστεως («δεῖξον γάρ μοι», φησί, «τὴν πίστιν σου ἐκ τῶν ἔργων σου»), ὧν εἴ τις ἐκπέσει τελέως τῆς Ἐκκλησίας τοῦ Χριστοῦ μακρυνόμενος καὶ ἑαυτὸν ὅλον ἐκδιδοὺς τοῖς ματαίοις, νε-*

14. Ἰω. 20,26.

καί ἀνάμεσά τους ὁ Θωμᾶς· ἔρχεται ὁ Ἰησοῦς, ἐνῶ οἱ θύρες ἦσαν κλειστές, ἐστάθηκε στή μέση τους καί λέγει σ' αὐτούς, εἰρήνη σ' ἐσᾶς»[14].

16 Βλέπετε ὅτι Κυριακή συνέβηκαν καί ἡ συνάθροισις τῶν μαθητῶν τοῦ Χριστοῦ καί ὁ ἐρχομός τοῦ Κυρίου πρός αὐτούς; Διότι Κυριακή ἦταν, ὅταν γιά πρώτη φορά ἦλθε σέ συνάθροισί τους, καί μετά ὀκτώ ἡμέρες πάλι Κυριακή ἔρχεται σέ σύναξί τους. Ἐκεῖνες τίς συνάξεις εἰκονίζει διαρκῶς ἡ Ἐκκλησία τοῦ Χριστοῦ μέ τό νά ἐπιτελῆ κυρίως κατά Κυριακή τίς συνάξεις, ὅπου κι' ἐμεῖς εὑρισκόμαστε ἀνάμεσά σας καί κηρύττομε δημοσία τά χρήσιμα γιά τήν σωτηρία καί ὁδηγοῦμε πρός τήν εὐσέβεια καί τόν εὐσεβῆ βίο.

17 Κανένας λοιπόν νά μή ἀπουσιάζη ἀπό αὐτές τίς ἱερές καί θεοπαράδοτες συνάξεις εἴτε ἀπό ραθυμία εἴτε ἀπό τήν συνεχῆ ἀσχολία μέ τά γήινα, ὥστε νά μή ἐγκαταλειφθῆ δικαίως ἀπό τόν Θεό καί πάθη κάτι παρόμοιο μέ τόν Θωμᾶ πού δέν ἦλθε στήν ὥρα του· κι' ἄν πνιγμένος ἀπό τίς φροντίδες ἀπουσιάση μιά φορά, νά ἀνταποδώση τήν ἐπομένη, φέροντας τόν ἑαυτό του στήν Ἐκκλησία τοῦ Χριστοῦ, γιά νά μή μείνη ἀμείωτος, ἀφοῦ, ἐνῶ ἀσθένησε κατά τήν ψυχή στήν ἀπιστία μέ ἔργα καί λόγια, δέν προσῆλθε στό ἰατρεῖο τοῦ Χριστοῦ καί δέν ἐδέχθηκε τήν ἱερά ἰατρεία, ὅπως ὁ θεῖος Θωμᾶς. Ὑπάρχουν πραγματικά, ὑπάρχουν ὄχι μόνο λογισμοί καί λόγοι, ἀλλά καί ἔργα καί πράξεις πίστεως (διότι, λέγει, «δεῖξε μου τήν πίστι σου ἀπό τά ἔργα σου»[15]), ἀπό τά ὁποῖα ἄν ἐκπέση κανείς τελείως ἀπομακρυνόμενος ἀπό τήν Ἐκκλησία τοῦ Χριστοῦ καί ἐπιδιδόμενος ἀποκλει-

15. Ἰακ. 2,18.

κρὰν ἔχει, τ' αὐτὸ δ' εἰπεῖν, μὴ οὖσαν τὴν πίστιν, νεκρὸς καὶ αὐτὸς διὰ τῆς ἁμαρτίας γενόμενος.

18 Ἀλλ' ἀποροῦσί τινες, πῶς κεκλεισμένων τῶν θυρῶν εἰσῆλθε σῶμα περικείμενος ὁ Χριστός; οὐ γὰρ ἴσασιν, ὡς ἔοικε, πνευματικοῖς συγκρίνειν πνευματικὰ καὶ δι' ἀλλήλων ἐπιγινώσκειν αὐτά, καθά φησιν ὁ θεῖος ἀπόστολος. Εἰ γὰρ τῆς κατὰ σάρκα τεκούσης αὐτὸν Παρθένου τὴν μήτραν οὐκ ἐλυμήνατο, μηδαμῶς λύσας ἀλλ' ἀσινῆ τηρήσας ἐν τῷ τίκτεσθαι τῆς παρθενίας τὰ σύμβολα, καίπερ τηνικαῦτα παθητὸν καὶ θνητὸν περικείμενος σῶμα, τί θαυμαστὸν εἰ ἀπαθανατίσας τὸ πρόσλημμα καὶ σῶμα νῦν κεκτημένος ἀθάνατον κεκλεισμένας εἰσέδει θύρας; Ἀλλ' ἐπειδή περ ἀθάνατον καὶ ἀπαθὲς εἶχε πάντως τὸ σῶμα, πῶς οὖν ἐπὶ τῶν χειρῶν καὶ τῆς πλευρᾶς εἶχε τὰς ὠτειλὰς καὶ τὰς διατρήσεις; φησὶ γὰρ ὁ εὐαγγελιστὴς εἰπεῖν τῷ Θωμᾷ τὸν Κύριον· «φέρε ὧδε τὸν δάκτυλόν σου καὶ ἴδε τὰς χεῖράς μου καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός». Πῶς οὖν εἶχε τὰς ὠτειλάς; Θνητὸν μὲν σῶμα καὶ παθητὸν οὐκ ἂν ὠτειλάς τε καὶ διατρήσεις ἐπιδεῖξαι δύναιτο, καὶ σῶον καὶ ὑγιὲς διαμένειν· τὸ δὲ ἀπαθὲς καὶ ἀθάνατον ἔχει καὶ ὠτειλὰς δεικνῦναι καὶ διατρήσεις ἃς προϋπέστη καὶ οἷς ἂν θέλῃ καὶ μένειν οὐδὲν ἧττον ἀπαθὲς καὶ ἀθάνατον.

19 Ἐμοὶ δὲ τοῦτο καὶ τοῦτο δίδωσι συνορᾶν, ὅτι τὰς ὠτειλὰς εἰς ἐγκαλλώπισμα φέρουσιν αἰώνιον οἱ παθόντες διὰ Χριστόν. Καθάπερ γὰρ αἱ φωταγωγοὶ τῶν θυρίδων, μηδὲν τῇ ἀσφαλείᾳ τῆς οἰκοδομῆς προσιστάμεναι, οὐδ' αἶσχος, ἀλλὰ κόσμος εἰσὶ τοῖς οἴκοις ἀναγκαιότατος, τό τε φῶς εἴσω πέμπουσαι καὶ τοῖς ἐνοικοῦσι τὴν

σῶτικῶς στά μάταια, ἔχει τήν πίστι νεκρά, δηλαδή ἀνύπαρκτη, γινόμενος κι' αὐτός νεκρός διά τῆς ἁμαρτίας.

18 Ἀλλ' ἀποροῦν μερικοί, πῶς μέ κλειστές θύρες εἰσῆλθε ὁ Χριστός ἔχοντας σῶμα; Διότι, ὅπως φαίνεται, δέν γνωρίζουν νά συγκρίνουν τά πνευματικά μέ τά πνευματικά καί νά τά κατανοοῦν δι' ἀλλήλων, ὅπως λέγει ὁ θεῖος ἀπόστολος. Διότι, ἄν δέν ἔφθειρε τή μήτρα τῆς Παρθένου πού τόν ἐγέννησε κατά σάρκα, ἀφοῦ δέν τήν ἔθιξε κατά τήν γέννησί του ἀλλά διετήρησε σῶα τά σημεῖα τῆς παρθενίας, μ' ὅλο πού τότε ἔφερε παθητό καί θνητό σῶμα, τί τό παράδοξο, ἄν τώρα, πού ἀπαθανάτισε τό ἀνθρώπινο πρόσλημμα καί ἔχει ἀθάνατο σῶμα, εἰσῆλθε ἀπό κλειστές θύρες; Ἀλλά ἐπειδή πάντως εἶχε ἀθάνατο καί ἀπαθές σῶμα, πῶς λοιπόν εἶχε τίς οὐλές καί τά τρυπήματα στά χέρια καί τήν πλευρά; Διότι λέγει ὁ εὐαγγελιστής ὅτι ὁ Κύριος εἶπε πρός τόν Θωμᾶ· «φέρε ἐδῶ τόν δάκτυλό σου καί ἰδέ τά χέρια μου καί φέρε τό χέρι σου καί βάλε το στήν πλευρά μου· καί νά μή εἶσαι ἄπιστος, ἀλλά πιστός». Πῶς εἶχε λοιπόν τίς οὐλές; Βέβαια θνητό καί παθητό σῶμα δέν θά μποροῦσε νά ἐπιδείξη οὐλές καί τρυπήματα καί παρ' ὅλα αὐτά νά μένη σῶο καί ὑγιές· τό δέ ἀπαθές καί ἀθάνατο μπορεῖ καί οὐλές νά δείξη καί τρυπήματα, πού ἔπαθε πρωτύτερα, σέ ὅσους θέλει, καί παρ' ὅλα αὐτά νά μένη ἀπαθές καί ἀθάνατο.

19 Ἐμένα δέ τοῦτο μοῦ ἐπιτρέπει ν' ἀντιληφθῶ καί αὐτό, ὅτι δηλαδή τίς οὐλές φέρουν ὡς αἰώνιο στολίδι ὅσοι ἔπαθαν γιά τόν Χριστό. Ὅπως δηλαδή οἱ φωταγωγοί τῶν παραθύρων χωρίς νά μειώνουν κατά τίποτε τήν ἀσφάλεια τῆς οἰκοδομῆς, δέν ἀποτελοῦν ἀσχήμια ἀλλά στολίδι ἀναγκαιότατο στίς οἰκίες,

πρὸς τὰ ἔξω θέαν παρέχουσαι, τὸν αὐτὸν δὴ τρόπον καὶ τὰ διὰ Χριστὸν ἐπὶ τοῦ σώματος πάθη καὶ αἱ παρ' αὐτῶν διατρήσεις φωταγωγοὶ μάλιστα καθεστήκασι τῷ κεκτημένῳ τοῦ ἀνεσπέρου φωτὸς καὶ ἐκ τοῦ θείου κάλλους μᾶλλον καὶ τῆς λαμπρότητος, ἀλλ' οὐκ ἐκ τοῦ δυσειδοῦς τῶν τραυμάτων, κατὰ τὸν καιρὸν τῆς ἐκφάνσεως τοῦ φωτὸς ἐκείνου γνωρίζονται, τοσοῦτο τῇ ἀπαθείᾳ μὴ λυμαινόμεναι, παρ' ὅσον καὶ πρόξενοι μᾶλλον τῆς ἀθανασίας εἰσί.

20 Τὸ δὲ τοῦ Χριστοῦ σῶμα, τὴν τοῦ θείου φωτὸς πηγὴν κεκτημένον ἔνδον, ἐκεῖθεν ἐκλάμψαν νοερῶς ἐφώτισε τὸν διστάζοντα, ὡς πάραυτα τὸν Θωμᾶν ἀναβοῆσαι τελέως θεολογήσαντα, «ὁ Κύριός μου καὶ ὁ Θεός μου». Ὁ δὲ Κύριος πρὸς αὐτόν, «ὅτι ἑώρακάς με πεπίστευκας, μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες», δεικνὺς μηδὲν ἔχειν πλέον εἰς δόξαν τοὺς αὐτόπτας γεγενημένους τῶν δι' αὐτῶν εἰς τὴν πρὸς αὐτὸν πίστιν ἐναγομένων. Εἰ δὲ μὴ πιστεύσοντες εἶπεν, ἀλλὰ πιστεύσαντες, ἀλλὰ τῇ θείᾳ καὶ προγνωστικῇ δυνάμει τοῦ πάντα πρὶν γενέσεως εἰδότος, ὡς γεγονότα ἐστὶ τὰ ἐσόμενα.

21 Ὃ δέ μοι νῦν ἐπῆλθε τῇ διανοίᾳ, τοῦτο πρὸς τὴν ὑμετέραν ἀγάπην ἐρῶ. Τὸν γὰρ Θωμᾶν ὁρῶν ἅπαντα μὲν ἄπιστον γεγονότα, συνελήλυθότα δὲ τοῖς πιστεύσασι μηδαμῶς τῆς πίστεως ἀστοχήσαντα, ἐπὶ νοῦν ἐβαλόμην, ὅτι καὶ ὁ ἁμαρτωλὸς ἄνθρωπος, ἂν μόνον φύγοι τὴν μετὰ τῶν φαύλων ἀναστροφὴν καὶ τοῖς δικαίοις συναναστρέφηται, τῆς δικαιοσύνης καὶ τῆς δι' αὐτὴν κατὰ ψυχὴν σωτηρίας οὐκ ἀστοχήσοι ποτέ. Καὶ τοῦτ' οἶμαι καὶ ὁ ψαλμῳδὸς

16. Ψαλμ. 1,1.

ἀφοῦ στέλλουν μέσα τό φῶς καί προσφέρουν τήν πρός τά ἔξω θέα τῶν ἐνοίκων, κατά τόν ἴδιο τρόπο τά πάθη ἐπί τοῦ σώματος γιά τόν Χριστό καί τά τρυπήματα ἀπό αὐτά εἶναι γι' αὐτούς, πού τά ἔχουν φωταγωγοί τοῦ ἀνεσπέρου φωτός καί κατά τόν καιρό τῆς ἐκφάνσεως τοῦ φωτός ἐκείνου αὐτοί ἀναγνωρίζονται μᾶλλον ἀπό τό θεῖο κάλλος καί τήν λαμπρότητα, ἀλλ' ὄχι μόνο δέν φθείρονται ἀπό τήν ἀπάθεια, ἀλλά μᾶλλον εἶναι πρόξενοι τῆς ἀθανασίας.

20 Τό δέ σῶμα τοῦ Χριστοῦ πού ἔχει μέσα του τήν πηγή τοῦ φωτός, ἐκλάμποντας ἀπό ἐκεῖ ἐφώτισε νοερῶς τόν διστάζοντα, ὥστε ὁ Θωμᾶς νά φωνάξη ἀμέσως μέ τελεία θεολόγησι, «ὁ Κύριός μου καί ὁ Θεός». Ὁ δέ Κύριος εἶπε πρός αὐτόν, «ἐπειδή μέ εἶδες ἐπίστευσες; μακάριοι αὐτοί πού ἐπίστευσαν χωρίς νά ἰδοῦν», δεικνύοντας ὅτι οἱ αὐτόπτες δέν ἔχουν περισσότερα δικαιώματα στή δόξα ἀπό ἐκείνους πού ὁδηγοῦνται δι' αὐτῶν στήν πρός τόν Κύριο πίστι. Ἄν δέ δέν εἶπε 'πιστεύοντες' ἀλλά «πιστεύσαντες», τό εἶπε μέ τήν θεία καί προγνωστική δύναμι τοῦ γνωρίζοντος τά πάντα πρίν ἀπό τή γένεσί τους, ὅτι τά ἐσόμενα εἶναι γεγονότα.

21 Κάτι πού μόλις τώρα μοῦ ἦλθε στό νοῦ, θά τό εἰπῶ πρός τήν ἀγάπη σας. Πραγματικά βλέπω ὅτι ὁ Θωμᾶς, ὅταν ἦταν ἀπών, ἔγινε ἄπιστος, ὅταν δέ ἦλθε μαζί μέ τούς πιστεύοντας, δέν ἀστόχησε καθόλου στήν πίστι. Γι' αὐτό ἔβαλα στό νοῦ μου ὅτι, καί ὁ ἁμαρτωλός ἄνθρωπος, μόνο ἄν ἀποφύγη τήν συναναστροφή μέ τούς φαύλους καί συναναστρέφεται τούς δικαίους δέν θά ἀστοχήση ποτέ στή δικαιοσύνη καί στή γι' αὐτήν ψυχική σωτηρία. Κι' αὐτό νομίζω ὅτι ὑπαινίσσεται καί ὁ ψαλμωδός προφήτης, ὅταν μακαρίζη τούς παρεκκλίνοντας ἀπό τήν συμπαράστασι καί συνοδοιπορία μέ τούς διεφθαρμένους[16], καί ἄλλος

προφήτης αἰνίττεται, μακαρίζων τοὺς ἐκκλίνοντας τὴν τῶν λοιμῶν συνεδρίαν καὶ συνοδοιπορίαν, καὶ ἕτερος προφήτης μὴ ἴσθι, λέγων, μετὰ πολλῶν ἐπὶ κακίᾳ, καὶ ὁ παροιμιαστὴς «ἐν συναγωγῇ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ, ὁ δὲ συμπορευόμενος σοφοῖς, σοφὸς ἔσται».

22 Τοιγαροῦν, ἀδελφοί, συνερχόμεθα καὶ πυκνὰ παραβάλλωμεν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ· ταύτῃ γὰρ πᾶς ὡς ἀληθῶς εὐλαβὴς προσεδρεύει καὶ παραμένει μὴ ἀφιστάμενος. Καὶ ὅταν ἕκαστος ὑμῶν εἰς αὐτὴν ἔλθῃ, σκοπείτω τοὺς εὐλαβεστέρους, δυνατὸν δὲ γνωρίσαι καὶ μόνῃ τῇ θέᾳ τούτους τῆς ἐν σιωπῇ καὶ προσοχῇ παραστάσεως. Σκοπείτω τοίνυν τοὺς εὐλαβεστέρους καὶ μάλιστα τῶν ἄλλων φοβουμένους τὸν Κύριον, καὶ τούτοις φέρων ἑαυτὸν προσκολλάτω καὶ μετὰ τούτων συμπαριστάσθω Θεῷ. Κἂν ἐντεῦθεν ἐξέλθῃ μετὰ τὴν ἀπόλυσιν, Κυριακῆς οὔσης, σχολὴν ἄγων ἀπὸ τῶν γηΐνων ἔργων διὰ τὸν Κύριον, οὗ καὶ ἔστιν ἐπώνυμος αὕτη, ζητείτω μετ' ἐπιμελείας, εἴπου τις τοὺς Ἀποστόλους ἐκείνους μιμούμενος, κατάκλειστος ὡς τὰ πολλὰ διαμένει διὰ τῆς ἐν ἡσυχίᾳ προσευχῆς καὶ ψαλμῳδίας καὶ τῆς ἄλλης καταλλήλου διαίτης ποθῶν τὸν Κύριον. Ἐκείνῳ δὴ προσίτω καὶ οὗτος καὶ εἰσίτω μετὰ πίστεως τὸν οἰκίσκον ἐκείνου, καθάπερ οὐράνιόν τινα χῶρον ἔνδον ἔχοντα τὴν ἁγιαστικὴν τοῦ Πνεύματος δύναμιν, καὶ τῷ ἐνοικοῦντι παρακαθεζέσθω καὶ συμπαραμενέτω καθόσον ἔχει καὶ προσλαλείτω περὶ Θεοῦ καὶ τῶν θείων, ἐρωτῶν καὶ σὺν ταπεινώσει μανθάνων καὶ τὴν δι' εὐχῆς ἐπικουρίαν ἐπικαλούμενος. Ἐλεύσεται γὰρ οὕτω

17. Ἐξ. 23,2.

προφήτης ὅταν λέγη, νά μή εἶσαι μέ πολλούς στήν κακία[17], καί ὁ παροιμιαστής, «στή συνάθροισι τῶν ἁμαρτωλῶν θά γίνη πυρκαϊά, ἐνῶ αὐτός πού συμπορεύεται μέ σοφούς θά εἶναι σοφός»[18].

22 Ἐπομένως, ἀδελφοί, ἄς συναθροιζώμαστε καί ἄς ἐπισκεπτώμαστε συχνά τήν Ἐκκλησία τοῦ Θεοῦ· διότι κάθε πραγματικά εὐλαβής παρευρίσκεται καί παραμένει σ' αὐτήν χωρίς ἀπουσίες. Καί ὅταν ὁ καθένας σας ἔλθη σ' αὐτήν, ἄς παρατηρῆ τούς εὐλαβεστέρους, πού μπορεῖ νά τούς διακρίνη καί μόνο μέ τή θέα τῆς παραστάσεως σέ σιωπή καί προσοχή. Ἄς παρατηρῆ λοιπόν τούς εὐλαβεστέρους καί σεβομένους τόν Κύριο περισσότερο ἀπό τούς ἄλλους, καί πλησιάζοντας ἄς προσκολλᾶται σ' αὐτούς καί ἄς συμπαραστέκεται στόν Θεό μαζί μέ αὐτούς. Κι' ἄν ἐξέλθη ἀπό ἐδῶ μετά τήν ἀπόλαυσι, σέ ἡμέρα Κυριακή, σχολάζοντας ἀπό τά ἐπίγεια ἔργα γιά τόν Κύριο, τοῦ ὁποίου ἐπώνυμος εἶναι αὐτή, ἄς ἀναζητῆ μέ ἐπιμέλεια, μήπως κάποιος μιμούμενος τούς Ἀποστόλους ἐκείνους μένη τόν περισσότερο χρόνο κατάκλειστος, ποθώντας νά ἐπικοινωνήση πρός τόν Κύριο διά τῆς προσευχῆς καί τῆς ψαλμωδίας σέ ἡσυχία, καθώς καί διά τῆς ἄλλης διαγωγῆς. Ἄς προσέλθη λοιπόν καί αὐτός σ' ἐκεῖνον, ἄς εἰσέλθη στήν οἰκία του μέ πίστι, σάν σέ οὐράνιο χῶρο πού ἔχει μέσα τήν ἁγιαστική δύναμι τοῦ Πνεύματος· ἄς παρακάθεται μέ τόν ἔνοικο, ἄς παραμένη μαζί του, ὅσο μπορεῖ, καί ἄς συνομιλῆ μαζί του περί Θεοῦ καί θείων πραγμάτων, ἐρωτώντας, μαθαίνοντας μέ ταπείνωσι κι' ἐπικαλούμενος τήν βοήθεια δι' εὐχῆς. Πράττοντας ἔτσι θά ἔλθη καί πρός αὐτόν ἀοράτως - τό γνωρίζω καλά - ὁ Χριστός καί θά προσφέρη τήν εἰρή-

18. Σειρ. 16,7.

πράττοντα καὶ πρὸς αὐτὸν ἀοράτως εὖ οἶδα Χριστὸς καὶ τὴν εἰρήνην ἔνδον τῷ λογιζομένῳ τῆς ψυχῆς παρέξει καὶ τῇ πίστει προσθήσει καὶ τὸν στηριγμὸν ἐπιδώσει καὶ μετὰ τῶν ἐκλεκτῶν κατατάξει κατὰ τὸν καιρὸν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

23 *Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν αὐτῷ τῷ νῦν ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἀναστάντι, καὶ ὕστερον μετὰ δόξης ἐλευσομένῳ βασιλεῖ τῶν αἰώνων Χριστῷ· ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

νη μέσα στό λογικό τῆς ψυχῆς, θ' αὐξήση τήν πίστι, θά δώση μεγαλύτερη δύναμι στόν στηριγμό καί στόν καιρό του θά τόν κατατάξη μαζί μέ τούς ἐκλεκτούς του στή βασιλεία τῶν οὐρανῶν.

23 Αὐτήν εἴθε νά ἐπιτύχωμε ὅλοι ἐμεῖς, στό ὄνομα αὐτοῦ πού τώρα ἀπέθανε γιά μᾶς καί ἀναστήθηκε καί ὕστερα θά ἔλθη μέ δόξα, τοῦ βασιλέως τῶν αἰώνων Χριστοῦ· διότι σ' αὐτόν πρέπει δόξα στούς αἰῶνες τῶν αἰώνων. Γένοιτο.



ΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ

Ἐν ᾗ καὶ ὅτι, πρώτη τὸν Κύριον ἡ Θεοτόκος εἶδεν
ἐκ νεκρῶν ἀναστάντα

ΟΜΙΛΙΑ ΙΗ'

ΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ

Ἐν ᾗ καὶ ὅτι, πρώτη τὸν Κύριον ἡ Θεοτόκος εἶδεν ἐκ νεκρῶν ἀναστάντα

1 *Ἡ τοῦ Κυρίου ἀνάστασις τῆς ἀνθρωπίνης φύσεώς ἐστιν ἀνανέωσις καὶ τοῦ πρώτου διὰ τὴν ἁμαρτίαν θανάτῳ καταποθέντος Ἀδὰμ καὶ διὰ θανάτου πρὸς γῆν ὅθεν ἐπλάσθη παλινδρομήσαντος ἀναζώωσις καὶ ἀνάπλασις καὶ πρὸς ζωὴν ἀθάνατον ἐπανέλευσις. Ὥσπερ οὖν ἐκεῖνον τὴν ἀρχὴν πλαττόμενον καὶ ζωούμενον εἶδεν οὐδεὶς ἀνθρώπων, οὔπω γὰρ ἐν ἐκείνῃ τῇ ὥρᾳ τῶν ἀνθρώπων τις ἦν, μετὰ δὲ τὸ λαβεῖν πνοὴν ζωῆς δι' ἐμφυσήματος θείου πρώτη τῶν ἄλλων εἶδε γυνή, πρώτη γὰρ Εὔα μετ' ἐκεῖνον ἦν ἐν ἀνθρώποις, οὕτω καὶ τὸν δεύτερον Ἀδάμ, ὅς ἐστιν ὁ*

ΟΜΙΛΙΑ 18

ΤΗΝ ΚΥΡΙΑΚΗ ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ

Ὅπου λέγεται καί ὅτι πρώτη ἡ Θεοτόκος εἶδε τόν Κύριο μετά τήν ἀνάστασί του ἐκ νεκρῶν

1 Ἡ ἀνάστασις τοῦ Κυρίου εἶναι ἀνανέωσις τῆς ἀνθρωπίνης φύσεως, εἶναι ἀναζώωσις καί ἀνάπλασις καί ἐπάνοδος πρός τήν ἀθάνατη ζωή τοῦ πρώτου Ἀδάμ πού καταβροχθίσθηκε ἀπό τόν θάνατο λόγω τῆς ἁμαρτίας καί διά τοῦ θανάτου ἐπαλινδρόμησε πρός τήν γῆ ἀπό τήν ὁποία ἐπλάσθηκε. Ὅπως λοιπόν ἐκεῖνον στήν ἀρχή δέν τόν εἶδε κανείς ἄνθρωπος νά πλάττεται καί νά παίρνη ζωή, ἀφοῦ δέν ὑπῆρχε κανείς ἄνθρωπος ἐκείνη τήν ὥρα, μετά δέ τήν λῆψι τῆς πνοῆς ζωῆς μέ θεῖο ἐμφύσημα πρώτη ἀπό ὅλους τόν εἶδε μιά γυναῖκα, διότι μετά ἀπό αὐτόν πρῶτος ἄνθρωπος ἦταν ἡ Εὔα· ἔτσι τόν

Κύριος, ἀνιστάμενον ἐκ νεκρῶν εἶδεν οὐδεὶς ἀνθρώπων, παρῆν γὰρ οὐδεὶς τῶν οἰκείων, οἵ τε τὸ μνῆμα φυλάσσοντες στρατιῶται τῷ φόβῳ σεισθέντες ὡσεὶ νεκροὶ γεγόνασι, μετὰ δὲ τὸ ἀναστῆναι πρώτη τῶν ἄλλων εἶδε γυνή, καθάπερ ἠκούσαμεν εὐαγγελιζομένου τοῦ Μάρκου σήμερον· «ἀναστάς,» γάρ, φησίν, «ὁ Ἰησοῦς πρωὶ πρώτη σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ».

2 *Δοκεῖ μὲν οὖν σαφῶς εἰπεῖν ὁ εὐαγγελιστὴς καὶ τὴν ὥραν καθ' ἣν ἀνέστη ὁ Κύριος, ὅτι πρωί, καὶ ὅτι πρῶτον ὤφθη Μαρίᾳ τῇ Μαγδαληνῇ καὶ ὅτι κατ' αὐτὴν τὴν ὥραν ὤφθη τῆς ἀναστάσεως. Οὐχ οὕτω δέ φησιν, ὡς δῆλον ἔσται μικρὸν ἐπιστήσασι· μικρὸν γὰρ ἀνωτέρω καὶ οὗτος τοῖς ἄλλοις εὐαγγελισταῖς ὁμολόγως ἐλθεῖν φησι τὴν Μαρίαν ταύτην μετὰ καὶ τῶν ἄλλων Μυροφόρων ἐπὶ τὸν τάφον καὶ πρότερον, καὶ καινὸν αὐτὸν ἰδεῖν καὶ ἀπελθεῖν· ὥστε πολλῷ πρότερον τῆς πρωΐας, καθ' ἣν αὐτὸν εἶδεν, ἀνέστη ὁ Κύριος. Ἐπισημαινόμενος δὲ καὶ τὸν καιρὸν ἐκεῖνον, οὐχ ἁπλῶς εἶπε πρωί, καθάπερ ἐνταῦθα, ἀλλὰ λίαν πρωί· οὐκοῦν καὶ ἀνατολὴν ἡλίου ἐκεῖ τὴν ἐπὶ τοῦ ὁρίζοντός φησι προτρέχουσαν ἀμυδρὰν φαῦσιν, ἣν καὶ ὁ Ἰωάννης δηλῶν, ἐλθεῖν, φησί, τὴν Μαγδαληνὴν Μαρίαν πρωί, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον καὶ ἰδεῖν τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου.*

3 *Οὐκ ἦλθε δὲ τότε πρὸς τὸ μνῆμα μόνον αὕτη, κατὰ τὸν Ἰωάννην, ἀλλὰ καὶ ἀπῆλθε τοῦ μνήματος, μήπω τὸν Κύριον ἰδοῦσα· τρέχει γὰρ καὶ ἔρχεται πρὸς τὸν Πέτρον καὶ Ἰωάννην, καὶ ἀπαγγέλλει οὐχ ὅτι ἀνέστη ὁ Κύριος, ἀλλ' ὅτι ἦρθη ἀπὸ τοῦ τάφου, ὥστε τὴν ἀνά-*

1. Μάρκ. 16,9.

δεύτερο Ἀδάμ, δηλαδή τόν Κύριο, ὅταν ἀνίστατο ἀπό τούς νεκρούς, κανείς ἄνθρωπος δέν τόν εἶδε, ἀφοῦ δέν παρευρισκόταν κανείς δικός του καί οἱ στρατιῶτες πού ἐφύλασσαν τό μνῆμα ταραγμένοι ἀπό τόν φόβο εἶχαν γίνει σάν νεκροί, μετά δέ τήν ἀνάστασι πρώτη ἀπό ὅλους τόν εἶδε μιά γυναῖκα, ὅπως ἀκούσαμε νά εὐαγγελίζεται σήμερα ὁ Μάρκος· διότι, λέγει, «ὅταν ὁ Ἰησοῦς ἀναστήθηκε τό πρωί τῆς πρώτης ἡμέρας τῆς ἑβδομάδος, παρουσιάσθηκε πρῶτα στή Μαρία τή Μαγδαληνή»[1].

2 Φαίνεται βέβαια σαφῶς ὅτι ὁ εὐαγγελιστής εἶπε καί τήν ὥρα κατά τήν ὁποία ἀναστήθηκε ὁ Κύριος, δηλαδή πρωί, καί ὅτι παρουσιάσθηκε πρῶτα στή Μαρία τή Μαγδαληνή καί ὅτι ἐφάνηκε ἀκριβῶς τήν ὥρα τῆς ἀναστάσεως. Δέν λέγει ὅμως ἔτσι, ὅπως θά φανῆ ἄν ἐξετάσωμε προσεκτικώτερα τά πράγματα· διότι λίγο παραπάνω καί αὐτός σέ συμφωνία μέ τούς ἄλλους εὐαγγελιστάς λέγει ὅτι αὐτή ἡ Μαρία ἦλθε καί προηγουμένως μαζί μέ τίς ἄλλες Μυροφόρες στόν τάφο, καί ἀφοῦ τόν εἶδε ἀδειανό ἀπῆλθε. Ὥστε ὁ Κύριος ἀναστήθηκε πολύ ἐνωρίτερα ἀπό τό πρωί πού τόν εἶδε. Ἐπισημαίνοντας δέ καί τήν ὥρα ἐκείνη, δέν εἶπε ἁπλῶς πρωί, ὅπως ἐδῶ, ἀλλά πολύ πρωί· ἐπομένως ὡς ἀνατολή ἡλίου ἐκεῖ ἐννοεῖ τό ἀμυδρό φῶς πού προτρέχει στόν ὁρίζοντα, τό ὁποῖο δηλώνοντας καί ὁ Ἰωάννης λέγει ὅτι ἦλθε τό πρωί, ὅταν ἀκόμη ἦταν σκοτεινά ἡ Μαρία ἡ Μαγδαληνή στό μνημεῖο καί εἶδε τήν πέτρα σηκωμένη ἀπό τό μνημεῖο[2].

3 Δέν ἦλθε δέ μόνο πρός τό μνῆμα τότε αὐτή, κατά τόν Ἰωάννη, ἀλλά καί ἀπομακρύνθηκε ἀπό τό μνῆμα, χωρίς νά ἰδῆ τόν Κύριο ἀκόμη. Τρέχει κι' ἔρχεται πρός τόν Πέτρο καί τόν Ἰωάννη, καί ἀναγγέλλει ὄχι ὅτι ἀναστήθηκε ὁ Κύριος, ἀλλ' ὅτι μετα-

2. Ἰω. 20,1.

στασιν οὔπω ἤδει· λείπεται δὴ τῇ Μαρίᾳ οὐχ ἁπλῶς πρώτῃ τὸν Κύριον ἐπιφανῆναι, ἀλλὰ μετὰ τὴν ἀκραιφνῆ τῆς ἡμέρας ὥραν. Ἔστι δή τε συνεσκιασμένως παρὰ τῶν εὐαγγελιστῶν ἀπαγγελλόμενον, ὅπερ ἀνακαλύψω πρὸς τὴν ὑμετέραν ἀγάπην. Τὸ γὰρ τῆς τοῦ Κυρίου ἀναστάσεως εὐαγγέλιον πρώτη πάντων ἀνθρώπων, καθάπερ καὶ προσῆκον ὑπῆρχε καὶ δίκαιον, ἡ Θεοτόκος παρὰ τοῦ Κυρίου ἐδέξατο καὶ αὕτη τοῦτον ἀναστάντα πρὸ πάντων εἶδε καὶ τῆς αὐτοῦ θείας ὁμιλίας ἀπήλαυσε, καὶ οὐκ εἶδεν ὀφθαλμοῖς μόνον αὐτὸν καὶ αὐτῇκοος αὐτοῦ γέγονεν, ἀλλὰ καὶ χερσὶν ἥψατο πρώτη καὶ μόνη τῶν ἀχράντων ἐκείνου ποδῶν, κἂν οἱ εὐαγγελισταὶ ταῦτα πάντα φανερῶς οὐ λέγουσι, μὴ θέλοντες τὴν Μητέρα προφέρειν εἰς μαρτυρίαν, ἵνα μὴ τοῖς ἀπίστοις ὑποψίας ἀφορμὴν δῶσιν. Ἐπεὶ δὲ νῦν ἡμῖν χάριτι τοῦ ἀναστάντος πρὸς πιστοὺς ὁ λόγος καὶ ἡ τῆς ἑορτῆς ὑπόθεσις τὰ τῶν Μυροφόρων ἐπείγει διευκρινεῖν, λόγον διδόντος τοῦ εἰπόντος «οὐδὲν κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται», καὶ τοῦτο φανερωθήσεται.

4 Μυροφόροι τοίνυν εἰσὶν αἱ συνακολουθοῦσαι μετὰ τῆς τοῦ Κυρίου Μητρὸς καὶ τῷ καιρῷ τοῦ σωτηρίου πάθους συμπαραμείνασαι καὶ τὸ τοῦ Κυρίου σῶμα μυρίσαι σπουδάσασαι. Τοῦ γὰρ Ἰωσὴφ καὶ τοῦ Νικοδήμου αἰτησάντων καὶ λαβόντων παρὰ τοῦ Πιλάτου τὸ δεσποτικὸν σῶμα καὶ καθελόντων ἀπὸ τοῦ σταυροῦ καὶ περισχόντων σινδόσι σὺν ἀρώμασι κολλωδεστάτοις καὶ λαξευτῷ μνημείῳ ἐνθέντων καὶ λίθον ἐπιθέντων μέγαν ἐπὶ τῇ θύρᾳ τοῦ μνημείου, θεωροῦσαι κατὰ τὸν εὐαγγελιστὴν Μάρκον παρῆσαν Μαρία ἡ Μαγδαληνὴ

3. Λουκᾶ 8,17.

φέρθηκε ἀπό τόν τάφο, ὥστε δέν ἐγνώριζε ἀκόμη τήν ἀνάσταση. Ἐπομένως ὁ Κύριος ἐμφανίσθηκε στή Μαρία ὄχι ἐντελῶς πρώτη, ἀλλά μετά τήν πλήρη ἔλευσι τῆς ἡμέρας. Ὑπάρχει λοιπόν κάτι πού ἀναφέρεται συνεσκιασμένως ἀπό τούς εὐαγγελιστάς, τό ὁποῖο θ' ἀποκαλύψω πρός τήν ἀγάπη σας. Πραγματικά τό εὐαγγέλιο τῆς ἀναστάσεως τοῦ Κυρίου πρώτη ἀπό ὅλους τούς ἀνθρώπους, ὅπως ἦταν σωστό καί δίκαιο, ἐδέχθηκε ἀπό αὐτόν ἡ Θεοτόκος καί αὐτή εἶδε πρίν ἀπό ὅλους τόν ἀναστάντα καί ἀπήλαυσε τή θεία ὁμιλία του, καί ὄχι μόνο τόν εἶδε μέ τούς ὀφθαλμούς της καί ἔγινε αὐτήκοος αὐτοῦ, ἀλλά καί πρώτη καί μόνη ἔγγισε τά ἄχραντα πόδια του, ἔστω καί ἄν οἱ εὐαγγελισταί δέν τά λέγουν φανερά ὅλα αὐτά, μή θέλοντας νά προσαγάγουν ὡς μάρτυρα τήν μητέρα, γιά νά μή δώσουν ἀφορμή ὑποψίας στούς ἀπίστους. Ἐπειδή δέ τώρα ἐμεῖς μέ τή χάρι τοῦ ἀναστάντος ὁμιλοῦμε πρός πιστούς καί ἡ ὑπόθεσις τῆς ἑορτῆς ἀπαιτεῖ ἐπείγουσα διευκρίνησι τῶν σχετικῶν μέ τίς Μυροφόρες, μέ τήν ἄδεια αὐτοῦ πού εἶπε «δέν ὑπάρχει κρυφό πού δέν θά γίνη φανερό»[3], θά τό φανερώσωμε καί τοῦτο.

4 Λοιπόν Μυροφόρες εἶναι οἱ γυναῖκες πού ἀκολουθοῦσαν τόν Κύριο μαζί μέ τήν Μητέρα του, ἔμειναν μαζί της κατά τήν ὥρα τοῦ σωτηριώδους πάθους καί ἐφρόντισαν νά ἀλείψουν μέ μῦρα τό σῶμα τοῦ Κυρίου. Ὅταν δηλαδή ὁ Ἰωσήφ καί ὁ Νικόδημος ἐζήτησαν κι' ἔλαβαν ἀπό τόν Πιλᾶτο τό δεσποτικό σῶμα, τό κατέβασαν ἀπό τόν σταυρό, τό περιέβαλαν σέ σινδόνια μαζί μέ ἐκλεκτά ἀρώματα, τό ἐτοποθέτησαν σέ λαξευτό μνημεῖο κι' ἔβαλαν μεγάλη πέτρα ἐπάνω στή θύρα τοῦ μνημείου, παρευρίσκονταν θεωρώντας κατά τόν εὐαγγελιστή Μάρκο ἡ Μαρία ἡ Μαγδαληνή καί ἡ ἄλλη Μαρία πού ἐκαθό-

καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου, διὰ τοῦ εἰπεῖν, καὶ ἡ ἄλλη Μαρία, τὴν Θεομήτορα πάντως ὑποφαίνων· καὶ Ἰακώβου γὰρ καὶ Ἰωσῆ αὕτη ἐκαλεῖτο μήτηρ, ὡς ἐξ Ἰωσὴφ τοῦ Μνήστορος ἐκείνων ὄντων. Οὐ μόναι δὲ αὗται θεωροῦσαι παρῆσαν, ἐνταφιαζομένου τοῦ Κυρίου, ἀλλὰ καὶ ἕτεραι γυναῖκες, ὡς ὁ Λουκᾶς ἱστόρησε γράφων· «κατακολουθήσασαι δὲ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ· ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία Ἰακώβου καὶ αἱ λοιπαὶ σὺν αὐταῖς».

5 Ὑποστρέψασαι δέ, φησίν, ἠγόρασαν ἀρώματα καὶ μῦρα· οὔπω γὰρ ἔγνωσαν ἀκριβῶς, ὅτι αὐτός ἐστιν ἀληθῶς ἡ ὀσμὴ τῆς ζωῆς, τοῖς αὐτῷ προσιοῦσι πιστῶς, ὥσπερ ὀσμὴ θανάτου τοῖς ἀπειθοῦσιν εἰς τέλος καὶ ὀσμὴ ἱματίων αὐτοῦ, τουτέστιν αὐτοῦ τοῦ σώματος, ὑπὲρ πάντα τὰ ἀρώματα καὶ μῦρον ἐκκενωθὲν ὄνομα αὐτῷ, δι' οὗ καὶ τὴν οἰκουμένην θείας εὐωδίας ἐνέπλησεν, ἀλλ' ἑτοιμάζουσι μύρα τε καὶ ἀρώματα, τοῦτο μὲν εἰς τιμὴν τοῦ κειμένου, τοῦτο δὲ καὶ παραμυθίαν πρὸς δυσωδίαν μυδῶντος τοῦ σώματος διὰ τῆς ἀλοιφῆς τούτων τοῖς βουλομένοις προσεδρεύειν ἐπινοοῦσαι.

6 Ἑτοιμάσασαι τοίνυν τὰ μύρα καὶ τὰ ἀρώματα, τὸ μὲν Σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν· οὔπω γὰρ τὰ ἀληθινὰ σάββατα συνῆκαν, οὐδ' ἐκεῖνο τὸ ὑπερευλογημένον σάββατον ἐπέγνωσαν, τὸ μετάγον ἡμῶν τὴν φύσιν ἀπὸ τῶν τοῦ ᾅδου κευθμώνων ἐπὶ τὸ παμφαὲς καὶ θεῖον καὶ οὐράνιον ὕψος· «τῇ δὲ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέος», ὡς ὁ Λουκᾶς φησιν, «ἦλθον ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ

4. Λουκᾶ 23,35.

ταν ἀπέναντι τοῦ τάφου. Μέ τήν φράσι καί ἡ ἄλλη Μαρία ἐννοοῦσε ὁπωσδήποτε τήν Θεομήτορα· διότι αὐτή ἐλεγόταν μητέρα καί τοῦ Ἰακώβου καί τοῦ Ἰωσῆ, πού ἦσαν ἀπό τόν Ἰωσήφ τόν Μνήστορα. Δέν παρευρίσκονταν δέ μόνο αὐτές παρατηρώντας, ὅταν ἐνταφιαζόταν ὁ Κύριος, ἀλλά καί ἄλλες γυναῖκες, ὅπως ἱστόρησε ὁ Λουκᾶς γράφοντας· «παρακολουθώντας κάποιες γυναῖκες πού εἶχαν ἔλθει μαζί του ἀπό τήν Γαλιλαία, εἶδαν τό μνημεῖο καί τήν σ' αὐτό τοποθέτησι τοῦ σώματός του· ἦσαν ἡ Μαγδαληνή Μαρία καί ἡ Ἰωάννα καί ἡ Μαρία τοῦ Ἰακώβου καί οἱ ἄλλες μαζί τους»[4].

5 Ἀφοῦ δέ ἐπέστρεψαν, λέγει, ἀγόρασαν ἀρώματα καί μῦρα· διότι δέν εἶχαν καταλάβει ἀκριβῶς ὅτι αὐτός εἶναι ἀληθινά ἡ ὀσμή τῆς ζωῆς γιά ἐκείνους πού τόν πλησιάζουν μέ πίστι, ὅπως ὀσμή θανάτου καταλαμβάνει τούς ἕως τό τέλος ἀπειθεῖς, καί ἡ ὀσμή τῶν ἐνδυμάτων του, δηλαδή τοῦ ἰδίου τοῦ σώματος, εἶναι ἀνωτέρα ἀπό ὅλα τά ἀρώματα καί τό ὄνομά του εἶναι μῦρο χυμένο, μέ τό ὁποῖο ἐγέμισε θεία εὐωδία τήν οἰκουμένη. Ἑτοιμάζουν λοιπόν μῦρα καί ἀρώματα, ἀφ' ἑνός μέν πρός τιμήν τοῦ νεκροῦ, ἀφ' ἑτέρου δέ γιά παρηγοριά ἀπό τή δυσωδία τοῦ σώματος, ὅταν θά ἔλειωνε, βοηθώντας μέ τήν ἀλοιφή των τούς ἐπιθυμοῦντας νά παραμένουν δίπλα.

6 Ἀφοῦ λοιπόν ἑτοίμασαν τά μῦρα καί τά ἀρώματα, κατά τήν ἐντολή τό Σάββατο ἡσύχασαν· διότι δέν εἶχαν καταλάβει ἀκόμη τά ἀληθινά σάββατα, οὔτε εἶχαν γνωρίσει καλά τό εὐλογημένο ἐκεῖνο σάββατο πού μεταφέρει τή φύσι τους ἀπό τά βάραθρα τοῦ ἅδη στό ὁλόφωτο καί θεῖο καί οὐράνιο ὕψος. «Τήν πρώτη τῆς ἑβδομάδος, ὄρθρο βαθύ», ὅπως λέγει ὁ Λουκᾶς, «ἦλθαν

ἡτοίμασαν ἀρώματα», ὁ δὲ Ματθαῖος «ὀψὲ σαββάτων», φησί, «τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων» καὶ δύο εἶναι τὰς προσελθούσας, ὁ δὲ Ἰωάννης «πρωὶ σκοτίας ἔτι οὔσης» καὶ μίαν εἶναι τὴν Μαγδαληνὴν Μαρίαν τὴν προσελθοῦσαν, ὁ δὲ Μάρκος «λίαν πρωὶ τῆς μιᾶς σαββάτων» καὶ τρεῖς εἶναι τὰς προσελθούσας. Μίαν μὲν οὖν σαββάτων οἱ εὐαγγελισταὶ πάντες τὴν Κυριακὴν φασιν· ὀψὲ δὲ σαββάτων καὶ ὄρθρον βαθὺν καὶ πρωὶ λίαν καὶ πρωὶ σκοτίας ἔτι οὔσης, τὸν περὶ τὸν ὄρθρον σύμμικτον φωτός τε καὶ σκότους χρόνον· οὗτος δέ ἐστιν ἀφοῦ τὸ τοῦ ὁρίζοντος ἑῶον αὐγάζεσθαι ἄρξεται, τὴν ἡμέραν προκαταγγέλλων. Ἴδοι δ' ἄν τις ἐξ ἀπόπτου πρὸς τοῦτο βλέπων ἀρχόμενον μεταχρώννυσθαι φωτὶ περίπου τὴν ἑνάτην τῆς νυκτὸς ὥραν, ὡς εἶναι τὰς ὑπολοίπους μέχρις ἡμέρας ἀκραιφνοῦς ὥρας τρεῖς.

7 Δοκοῦσι δέ πως οἱ εὐαγγελισταὶ διαφωνεῖν ἐπί τε τοῦ καιροῦ τούτου καὶ τοῦ τῶν γυναικῶν ἀριθμοῦ, ἐπειδή περ, ὡς ἔφην, αἱ Μυροφόροι πολλαί τε ἦσαν καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρίς, ἦλθον ἐπὶ τὸν τάφον, συναλλήλαις μέν, οὐχὶ ταῖς αὐταῖς δέ, καὶ κατὰ τὸν ὄρθρον μὲν πᾶσαι, οὐ τὸν αὐτὸν δὲ χρόνον ἐπ' ἀκριβείας, ἡ δὲ Μαγδαληνὴ καὶ μονωθεῖσα τῶν ἄλλων πάλιν ἦλθε καὶ παρέμεινεν ἐπὶ πλέον. Ἕκαστος οὖν τῶν εὐαγγελιστῶν, μίαν ἔστιν ὧν προσέλευσιν εἰπών, τὰς ἄλλας παρῆκεν. Ὡς δὲ ἐγὼ συμβάλλω τε καὶ συνάγω παρὰ τῶν εὐαγγελιστῶν ἁπάντων, καθὰ καὶ τοῦτο προεῖπον, πρώτη πάντων ἡ Θεοτόκος ἦλθεν ἐπὶ τὸν τοῦ Υἱοῦ καὶ Θεοῦ τάφον, τὴν Μαγδαληνὴν Μαρίαν ἐπαγομένη. Καὶ τοῦτο μάλιστα διδάσκομαι παρὰ τοῦ εὐαγγελιστοῦ Ματθαίου. «Ἦλθε» γάρ, φησίν, «ἡ Μαγδα-

5. Ματθ. 28,1. Μάρκ. 16,1. Λουκᾶ 24,1. Ἰω. 20,1.

στό μνῆμα, φέροντας τά ἀρώματα πού ἑτοίμασαν»· ὁ δέ Ματθαῖος λέγει, «ἀργά τό Σάββατο, ξημερώνοντας τήν πρώτη τῆς ἑβδομάδος» καί ὅτι οἱ προσελθοῦσες εἶναι δύο· ὁ Ἰωάννης «τό πρωί, ἐνῶ ἦταν ἀκόμη σκοτεινά», καί ὅτι μιά εἶναι ἡ προσελθοῦσα, Μαρία ἡ Μαγδαληνή· ὁ δέ Μάρκος «πολύ πρωί τῆς πρώτης τῆς ἑβδομάδος» καί ὅτι τρεῖς εἶναι οἱ προσελθοῦσες[5]. Πρώτη λοιπόν τῆς ἑβδομάδος λέγουν ὅλοι οἱ εὐαγγελισταί τήν Κυριακή· ἀργά τό Σάββατο, ὄρθρο βαθύ, πολύ πρωί καί πρωί σκοτεινά ἀκόμη, ὀνομάζουν τόν χρόνο γύρω ἀπό τόν ὄρθρο, ἀνάμικτο ἀπό φῶς καί σκότος· αὐτός ὁ χρόνος εἶναι, ἀφοῦ ἀρχίσει νά αὐγάζῃ τό ἀνατολικό μέρος τοῦ ὁρίζοντος πού προκαταγγέλλει τήν ἡμέρα. Μπορεῖ δέ κανείς παρατηρώντας ἀπό μακριά, πρός αὐτό, νά τό ἰδῇ ν' ἀρχίζῃ νά χρωματίζεται ἀπό φῶς γύρω ἀπό τήν ἐνάτη ὥρα τῆς νυκτός, ὥστε ἕως τήν πλήρη ἡμέρα νά ὑπολείπωνται τρεῖς ὧρες.

7 Φαίνονται βέβαια νά διαφωνοῦν κάπως οἱ εὐαγγελισταί μεταξύ τους τόσο γιά τήν ὥρα, ὅσο καί γιά τόν ἀριθμό τῶν γυναικῶν, ἐπειδή, ὅπως εἶπα, οἱ Μυροφόρες ἦσαν πολλές, καί ἦλθαν στόν τάφο ὄχι μιά φορά, ἀλλά καί δύο καί τρεῖς φορές, συντροφιά μέν, ἀλλ' ὄχι οἱ ἴδιες, καί κατά τόν ὄρθρο μέν ὅλες, ἀλλ' ὄχι τόν ἴδιο χρόνο ἀκριβῶς, ἡ δέ Μαγδαληνή ἦλθε πάλι μόνη της κι' ἔμεινε περισσότερο. Κάθε εὐαγγελιστής λοιπόν ἀναφέρει μιά προσέλευσι μερικῶν καί παραλείπει τίς ἄλλες. Ὅπως δέ ἐγώ ὑπολογίζω καί συνάγω ἀπό ὅλους τούς εὐαγγελιστάς, σύμφωνα μέ ὅσα εἶπα προηγουμένως, πρώτη ἀπό ὅλες ἦλθε στόν τάφο τοῦ Υἱοῦ τοῦ Θεοῦ ἡ Θεοτόκος, ἔχοντας μαζί τήν Μαγδαληνή Μαρία. Τοῦτο κυρίως τό συμπεραίνω ἀπό τόν εὐαγγελιστή Ματθαῖο[6]. Διότι, λέγει, «ἦλθε ἡ Μαγδαληνή Μα-

6. Ματθ. 28,1-10.

ληνὴ Μαρία καὶ ἡ ἄλλη Μαρία, ἥτις ἦν πάντως ἡ Θεομήτωρ, θεωρῆσαι τὸν τάφον. Καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας· ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου καὶ ἐκάθητο ἐπάνω αὐτοῦ· ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών, ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες καὶ ἐγένοντο ὡσεὶ νεκροί».

8 *Πᾶσαι οὖν αἱ ἄλλαι γυναῖκες μετὰ τὸν σεισμὸν ἦλθον καὶ τῶν φυλάκων τὴν φυγήν, καὶ τὸν τάφον ἀνεῳγμένον εὗρον καὶ τὸν λίθον ἀποκεκυλισμένον· ἡ δὲ Παρθενομήτωρ παρῆν τοῦ σεισμοῦ γινομένου, καὶ ἀποκεκυλισμένου τοῦ λίθου καὶ τοῦ τάφου ἀνοιγομένου καὶ τῶν τηρούντων παρόντων, εἰ καὶ κατασεσεισμένων τῷ φόβῳ· διὸ καὶ μετὰ τὸν σεισμὸν ἀνασφήλαντες πρὸς φυγὴν εὐθὺς ἔβλεψαν, ἡ δὲ Θεομήτωρ ἀδεέστερον ἐνετρύφα τῇ θέᾳ. Ἐμοὶ δὲ δοκεῖ καὶ δι' αὐτὴν πρώτην τὸν ζωηφόρον ἐκεῖνον ἀνοιγῆναι τάφον (δι' αὐτὴν γὰρ πρώτην καὶ δι' αὐτῆς πάντα ἡμῖν ἀνέωκται, ὅσα ἐπὶ τοῦ οὐρανοῦ ἄνω καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω) καὶ δι' αὐτὴν τὸν ἄγγελον οὕτως ἀστράπτειν, ὡς καὶ τῆς ὥρας ἔτι σκότῳ κατεχομένης ὑπὸ δαψιλεῖ ταύτην τῷ τοῦ ἀγγέλου φωτὶ μὴ τὸν τάφον ἰδεῖν κενὸν μόνον, ἀλλὰ καὶ τὰ ἐντάφια κατὰ κόσμον τε κείμενα καὶ πολυειδῶς μαρτυροῦντα τῷ ἐνταφιασθέντι τὴν ἔγερσιν.*

9 *Ἦν δὲ ἄρα καὶ ὁ εὐαγγελιστὴς ἄγγελος αὐτὸς ἐκεῖνος ὁ Γαβριήλ. Ὡς γὰρ εἶδε ταύτην οὗτος ἐπειγομένην ἐπὶ τὸν τάφον, ὁ τὴν ἀρχὴν πρὸς αὐτὴν εἰπών, «μὴ φοβοῦ Μαριάμ, εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ», σπεύδει καὶ νῦν καὶ καταβαίνει τὸ αὐτὸ πάλιν τῇ ἀειπαρθένῳ προσφθέγξασθαι καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ ἐξ αὐτῆς γεννηθέντος ἀσπόρως εὐαγγελίσασθαι καὶ τὸν λίθον ἆραι καὶ ὑποδεῖξαι*

ρία καί ἡ ἄλλη Μαρία», πού ἦταν ὁπωσδήποτε ἡ Θεομήτωρ, γιά νά ἰδοῦν τόν τάφο. Καί ἰδού ἔγινε μέγας σεισμός· διότι ἄγγελος Κυρίου, ἀφοῦ κατέβηκε ἀπό τόν οὐρανό, προσῆλθε, ἀπεκύλισε τήν πέτρα ἀπό τήν θύρα τοῦ μνημείου κι' ἐκαθόταν ἐπάνω σ' αὐτήν· ἦταν δέ ἡ μορφή του σάν ἀστραπή καί τό ἔνδυμά του λευκό σάν χιόνι, ἀπό τόν φόβο δέ ἐμπρός του ἐταράχθηκαν οἱ φύλακες κι' ἔγιναν σάν νεκροί».

8 Ὅλες λοιπόν οἱ ἄλλες γυναῖκες ἦλθαν μετά τόν σεισμό καί τήν φυγή τῶν φυλάκων, κι' εὑρῆκαν τόν τάφο ἀνοιγμένο καί τήν πέτρα ἀποκυλισμένη· ἡ δέ Παρθεμήτωρ ἔφθανε τή στιγμή πού ἐγινόταν ὁ σεισμός, ἀποκυλίσθηκε ἡ πέτρα καί ἀνοιγόταν ὁ τάφος καί οἱ φύλακες ἦσαν παρόντες, ἄν καί συγκλονισμένοι ἀπό τόν φόβο· γι' αὐτό μετά τόν σεισμό αὐτοί ἀνασηκώθηκαν κι' ἐκύτταξαν ἀμέσως νά φύγουν, ἐνῶ ἡ Θεομήτωρ ἐντρυφοῦσε στή θέα. Ἐγώ πάντως νομίζω ὅτι γι' αὐτήν πρώτη ἀνοίχθηκε ὁ ζωηφόρος ἐκεῖνος τάφος (διότι γι' αὐτήν πρώτη καί δι' αὐτῆς ἔχουν ἀνοιχθῆ σ' ἐμᾶς ὅλα, ὅσα εἶναι ἐπάνω στόν οὐρανό καί κάτω στή γῆ) καί ὅτι γι' αὐτήν ἄστραπτε ἔτσι ὁ ἄγγελος, ὥστε, ἄν καί ἡ ὥρα ἦταν ἀκόμη σκοτεινή, αὐτή μέ τό πλούσιο φῶς τοῦ ἀγγέλου ὄχι μόνο νά ἰδῆ τόν τάφο κενό, ἀλλά καί τά ἐντάφια νά εἶναι τακτοποιημένα καί πολυτρόπως νά μαρτυροῦν τήν ἔγερσι τοῦ ἐνταφιασθέντος.

9 Ἦταν δέ προφανῶς ὁ εὐαγγελιστής ἄγγελος ὁ ἴδιος ὁ Γαβριήλ. Διότι μόλις τήν εἶδε αὐτός νά σπεύδη πρός τόν τάφο, αὐτός πού παλαιότερα τῆς εἶχε εἰπεῖ, «μή φοβῆσαι, Μαρία, διότι εὑρῆκες χάρι ἀπό τόν Θεό»[7], σπεύδει καί τῶρα καί κατεβαίνει νά εἰπῆ τό ἴδιο πάλι στήν ἀειπάρθενο καί νά ἀναγγείλη τήν ἀπό τούς νεκρούς ἀνάστασι τοῦ γεννηθέντος ἀπό αὐτήν ἀσπόρως,

7. Λουκᾶ 1,30.

κενὸν τόν τε τάφον καὶ τὰ ἐντάφια καὶ οὕτω πιστώσασθαι ταύτῃ τὸ εὐαγγέλιον. «Ἀποκριθεὶς» γάρ, φησίν, «ὁ ἄγγελος εἶπε ταῖς γυναιξί· μὴ φοβεῖσθε ὑμεῖς, Ἰησοῦν ζητεῖτε τὸν ἐσταυρωμένον; ἠγέρθη· ἴδε ὁ τόπος ὅπου ἔκειτο ὁ Κύριος»· εἰ γὰρ καὶ τοὺς φύλακας, φησίν, ὁρᾶτε κατασεισθέντας τῷ φόβῳ, ἀλλ' ὑμεῖς μὴ φοβεῖσθε· οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε· ἠγέρθη, οὐκ ἔστιν ὧδε. Οὗτος γὰρ οὐ μόνον ᾅδου καὶ θανάτου καὶ τάφου κλείθροις καὶ μοχλοῖς καὶ σφραγίσιν ἐστὶν ἀκάθεκτος, ἀλλὰ καὶ τῶν ἀθανάτων ἡμῶν καὶ οὐρανίων ἀγγέλων ὑπάρχει Κύριος, καὶ μόνος οὗτός ἐστιν ὁ τοῦ παντὸς Κύριος· «ἴδετε» γάρ, φησί, «τὸν τόπον ὅπου ἔκετο ὁ Κύριος· καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν».

10 «Ἐξελθοῦσαι δέ», φησί, «μετὰ φόβου καὶ χαρᾶς μεγάλης». Ἐμοὶ δοκεῖ πάλιν, τὸν μὲν φόβον ἔτι τὴν Μαγδαληνὴν Μαρίαν ἔχειν καὶ τὰς μέχρι τότε συνελθούσας τῶν ἄλλων γυναικῶν· οὐ γὰρ συνῆκαν τῶν εἰρημένων παρὰ τοῦ ἀγγέλου τὴν δύναμιν, οὐδὲ τοῦ φωτὸς ἀντιλαβέσθαι τελέως ἴσχυσαν, ὡς ἰδεῖν καὶ καταμαθεῖν ἀκριβῶς· τὴν δὲ Θεομήτορα τὴν μεγάλην κτήσασθαι χαράν, τὰ παρὰ τοῦ ἀγγέλου συνεῖσαν καὶ τοῦ φωτὸς γενομένην ὅλην, ὡς κεκαθαρμένην ἄκρως καὶ κεχαριτωμένην θείως, καὶ διὰ πάντων βεβαίως τὸ ἀληθὲς καὶ γνωρίσασαν καὶ τῷ ἀρχαγγέλῳ πιστεύσασαν, ἐπεὶ καὶ πιστὸς οὗτος ἐκ πολλοῦ ταύτῃ διὰ τῶν ἔργων ἐφάνη. Πῶς δὲ καὶ παρὰ τῶν γενομένων αὐτῇς παρούσης, οὐκ ἂν συνῆκεν ἡ θεόσοφος Παρθένος τὸ τελεσθέν, σεισμὸν ἰδοῦσα, καὶ τοῦτον μέγαν, ἄγγελον κατερχόμενον οὐρανόθεν, καὶ τοῦτον ἀστραπηφόρον, τήν τε τῶν τηρούντων νέκρωσιν καὶ τοῦ λίθου τὴν μετάθεσιν καὶ τοῦ τάφου τὴν

νά σηκώση τήν πέτρα, νά ὑποδείξη τόν κενό τάφο καί τά ἐντάφια, κι' ἔτσι νά ἐπιβεβαιώση τήν καλή ἀγγελία. Διότι, λέγει, «ἀποκρινόμενος ὁ ἄγγελος, εἶπε στίς γυναῖκες· μή φοβῆσθε ἐσεῖς, ζητεῖτε τόν Ἰησοῦ, τόν σταυρωμένο; ἀναστήθηκε· ἰδού ὁ τόπος ὅπου ἐκοιτόταν ὁ Κύριος». Ἐάν, λέγει, βλέπετε τούς φύλακες συγκλονισμένους ἀπό τόν φόβο, ἀλλά ἐσεῖς νά μή φοβῆσθε· διότι γνωρίζω ὅτι ζητεῖτε Ἰησοῦν τόν σταυρωμένο· ἐσηκώθηκε, δέν εἶναι ἐδῶ. Διότι αὐτός, ὄχι μόνο εἶναι ἀκράτητος ἀπό τοῦ ἅδη καί τοῦ θανάτου καί τοῦ τάφου τά κλεῖστρα καί τούς μοχλούς καί τίς σφραγῖδες, ἀλλ' εἶναι καί κύριος τῶν ἀθανάτων καί οὐρανίων ἀγγέλων μας καί μόνος αὐτός εἶναι Κύριος τοῦ σύμπαντος· «ἰδέτε», λέγει, «τόν τόπο ὅπου ἐκοιτόταν ὁ Κύριος καί πηγαίνετε γρήγορα νά εἰπῆτε στούς μαθητάς του ὅτι ἀναστήθηκε ἀπό τούς νεκρούς».

10 «Ἀφοῦ δέ ἐξῆλθαν», λέγει, «μέ φόβο καί χαρά μεγάλη». Ἐγώ νομίζω πάλι ὅτι τόν μέν φόβο ἔχει ἀκόμη ἡ Μαγδαληνή Μαρία καί οἱ ἄλλες γυναῖκες πού εἶχαν ἔλθει ἕως τότε μαζί (διότι αὐτές δέν κατενόησαν τή σημασία τῶν λόγων τοῦ ἀγγέλου οὔτε μπόρεσαν νά συλλάβουν τελείως τό φῶς, ὥστε νά ἰδοῦν καί μάθουν ἀκριβῶς), ἐνῶ ἡ Θεομήτωρ ἀπέκτησε τή μεγάλη χαρα, διότι κατενόησε τά λόγια τοῦ ἀγγέλου καί παραδόθηκε ὁλόκληρη στό φῶς, ὡς τελείως καθαρά καί θείως χαριτωμένη, ἐγνώρισε μέ ὅλα αὐτά τήν ἀλήθεια κι' ἐπίστευσε στόν ἀρχάγγελο, ἐπειδή αὐτός ἀπό πολύν καιρό τῆς ἐφάνηκε διά τῶν ἔργων ἀξιόπιστος. Πῶς ἄλλωστε, ἀφοῦ ἦταν παροῦσα στά γεγονότα ἡ θεόσοφος Παρθένος, δέν θά κατανοοῦσε τό συμβάν, ἀφοῦ δηλαδή εἶδε σεισμό, καί μάλιστα μεγάλο, ἄγγελο νά κατέρχεται ἀπό τόν οὐρανό, καί μάλιστα ἀστραποβόλο, τή νέκρωσι τῶν φυλάκων καί τοῦ λίθου τήν μετάθεσι, τήν κένωσι τοῦ τάφου καί τό μέγα θαῦμα τῶν ἐνταφίων, πού ἦσαν ἄλυτα καί

κένωσιν καὶ τῶν ἐνταφίων τὸ μέγα θαῦμα, ἀδιαλύτων ἅμα καὶ σμύρνῃ καὶ ἀλόῃ συνεχομένων καὶ κενῶν ὁρωμένων τοῦ σώματος, καὶ πρὸς τούτοις τὴν πρὸς αὐτὴν παρὰ τοῦ ἀγγέλου χαρμόσυνον θέαν καὶ ἀγγελίαν; Ἀλλ' ἐξελθοῦσαι μετὰ τὸν εὐαγγελισμὸν τοῦτον, ἡ μὲν Μαγδαληνὴ Μαρία, ὡς ἂν εἰ μηδὲ ἤκουσε τοῦ ἀγγέλου, μηδ' ἐκείνου δήπου δι' αὐτὴν φθεγξαμένου, τὴν τοῦ τάφου κένωσιν ἐξακριβοῦται μόνην, τῶν ἐνταφίων μηδένα λόγον ποιησαμένη· καὶ τρέχει πρὸς Σίμωνα Πέτρον καὶ τὸν ἄλλον μαθητήν, ὡς ὁ Ἰωάννης φησίν.

11 *Ἡ δὲ θεομήτωρ Παρθένος ἑτέραις γυναιξὶ συναφθεῖσα, ὅθεν ἦλθεν ἐπανήρχετο πάλιν· καὶ ἰδού, καθάπερ ὁ Ματθαῖος φησίν, «ὁ Ἰησοῦς ὑπήντησεν αὐταῖς λέγων, χαίρετε». Ὁρᾶτε ὅτι καὶ πρὸ τῆς Μαγδαληνῆς Μαρίας ἡ Θεομήτωρ εἶδε τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκὶ καὶ παθόντα καὶ ταφέντα καὶ ἀναστάντα; «Αἱ δὲ προσελθοῦσαι», φησίν, «ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ». Καθάπερ δὲ τὸ εὐαγγέλιον τῆς ἀναστάσεως μετὰ τῆς Μαγδαληνῆς Μαρίας ἡ Θεοτόκος παρὰ τοῦ ἀγγέλου ἀκούσασα μόνη συνῆκε τῶν εἰρημένων τὴν δύναμιν, οὕτω καὶ μετὰ τῶν ἄλλων γυναικῶν, ὑπαντήσασα τῷ Υἱῷ καὶ Θεῷ, πρώτη τῶν ἄλλων ἁπασῶν καὶ εἶδε καὶ ἐπέγνω τὸν ἀναστάντα καὶ προσπεσοῦσα τῶν αὐτοῦ ἥψατο ποδῶν καὶ ἀπόστολος αὐτοῦ πρὸς τοὺς Ἀποστόλους ἐγένετο. Ὅτι δὲ ἡ Μαγδαληνὴ Μαρία οὐ συνῆν τῇ τοῦ Θεοῦ Μητρί; ἡνίκα παρὰ τοῦ τάφου ἐπανιούσῃ ὑπήντησε καὶ ἐπεφάνη καὶ προσελάλησεν αὐτῇ ὁ Κύριος, διδασκόμεθα παρὰ τοῦ Ἰωάννου· «τρέχει γάρ», φησίν, «αὕτη πρὸς Σίμωνα Πέτρον καὶ πρὸς τὸν ἄλλον μαθητήν, ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς, ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν». Πῶς γὰρ ἂν εἶπερ εἶδε καὶ χερσὶν ἥψατο καὶ συντυγχάνοντος ἤκουσε, τοιαῦτα ἔλεγεν, ὅτι ἦραν καὶ μετέθηκαν, ὅπου δέ, οὐκ οἴδαμεν; Ἀλλὰ μετὰ τὸν Πέτρου καὶ Ἰωάν-*

συγκρατημένα μέ σμύρνα καί ἀλόη καί συγχρόνως ἐφαίνονταν ἀδειανά ἀπό τό σῶμα, καί ἐπί πλέον ἀφοῦ ἔλαβε τήν χαρμόσυνη πρός αὐτήν θέα καί ἀγγελία τοῦ ἀγγέλου; Ὅταν δέ ἐξῆλθαν μετά τόν εὐαγγελισμό τοῦτον, ἡ μέν Μαγδαληνή Μαρία, σάν νά μή ἄκουσε κἄν τόν ἄγγελο, ἀφοῦ ἄλλωστε οὔτε ἐκεῖνος ὠμίλησε γι' αὐτήν, διαπιστώνει μόνο τήν κένωσι τοῦ τάφου, χωρίς νά ἀναφέρη καθόλου τά ἐντάφια· καί τρέχει πρός τόν Σίμωνα Πέτρο καί τόν ἄλλο μαθητή, ὅπως λέγει ὁ Ἰωάννης.

11 Ἡ δέ Θεομήτωρ Παρθένος, συνοδευομένη ἀπό ἄλλες γυναῖκες, ἐπανερχόταν πάλι ἐκεῖ ἀπό ὅπου ἦλθε· καί ἰδού, ὅπως λέγει ὁ Ματθαῖος «ὁ Ἰησοῦς τίς συνάντησε λέγοντας, χαίρετε». Βλέπετε ὅτι καί πρίν ἀπό τήν Μαγδαληνή Μαρία ἡ Θεομήτωρ εἶδε αὐτόν πού γιά τήν σωτηρία μας ἔπαθε σαρκικά κι' ἐτάφηκε καί ἀναστήθηκε; «Αὐτές δέ», λέγει, «προσῆλθαν, ἔπιασαν τά πόδια του καί τόν προσκύνησαν. Ὅπως δέ, ὅταν ἡ Θεοτόκος ἄκουσε τό εὐαγγέλιο τῆς ἀναστάσεως μαζί μέ τήν Μαγδαληνή Μαρία ἀπό τόν ἄγγελο, μόνο αὐτή κατάλαβε τή σημασία τῶν λόγων, ἔτσι καί μαζί μέ τίς ἄλλες γυναῖκες, ὅταν συνάντησε τόν Υἱό καί Θεό, πρώτη ἀπό ὅλες τίς ἄλλες εἶδε καί ἀναγνώρισε τόν ἀναστάντα καί προσπίπτοντας ἔπιασε τά πόδια του κι' ἔγινε ἀπόστολός του πρός τούς Ἀποστόλους. Ὅτι δέ ἡ Μαγδαληνή Μαρία δέν ἦταν μαζί μέ τή μητέρα τοῦ Θεοῦ, ὅταν ἐπιστρέφοντας ἀπό τόν τάφο τήν συνάντησε καί τῆς παρουσιάσθηκε καί τῆς ὠμίλησε ὁ Κύριος, διδασκόμαστε ἀπό τόν Ἰωάννη· διότι, λέγει, «τρέχει αὐτή πρός τόν Σίμωνα Πέτρο καί πρός τόν ἄλλο μαθητή, τόν ὁποῖο ἀγαποῦσε ὁ Ἰησοῦς, καί λέγει σ' αὐτούς, ἐσήκωσαν τόν Κύριο ἀπό τό μνῆμα καί δέν γνωρίζομε ποῦ τόν ἐτοποθέτησαν». Πῶς τάχα, ἄν τόν εἶδε καί τόν ἔγγισε μέ τά χέρια της καί τόν ἄκουσε νά ὁμιλῆ, θά ἔλεγε τέτοια πράγματα, ὅτι τόν ἐσήκωσαν καί τόν μετέθεσαν, ποῦ ὅμως, δέν γνωρίζομε;

νου δρόμον ἐπὶ τὸν τάφον καὶ τὴν ἐκεῖ θέαν τῶν ὀθονίων καὶ τὴν ἐπάνοδον, «Μαρία δὲ εἱστήκει», φησί, «πρὸς τῷ μνημείῳ κλαίουσα ἔξω».

12 *Ὁρᾶτε· ὡς μὴ μόνον οὔπω εἶδεν, ἀλλ' οὐδὲ δι' ἀκοῆς ἐπληροφορήθη; Καὶ τῶν ἐπιφαινομένων δὲ ταύτην ἐρωτησάντων ἀγγέλων, «γύναι, τί κλαίεις;», ἐκείνη πάλιν ὡς περὶ νεκροῦ ἀποκρίνεται· ὡς δὲ στραφεῖσα τὸν Ἰησοῦν εἶδεν, οὐδὲ πάλιν συνῆκεν, ἀλλ' ἐρωτωμένη καὶ παρ' αὐτοῦ, τί κλαίει, τὰ παραπλήσια φθέγγεται, ἕως οὗ ἐξ ὀνόματος ἐκεῖνος αὐτὴν καλέσας, ἑαυτὸν παρέστησεν ὄντα. Τότε δὴ προσπεσοῦσα καὶ αὐτὴ καὶ ζητοῦσα τὸν ἀσπασμὸν τοῖς ἐκείνου ποσὶ προσενεγκεῖν, ἤκουσε παρ' αὐτοῦ, μή μου ἅπτου· παρ' οὗ μανθάνομεν, ὡς ἡνίκα πρότερον ὤφθη τῇ τε Μητρὶ καὶ ταῖς συνούσαις αὐτῇ γυναιξίν, αὐτῇ μόνῃ καὶ τῶν ποδῶν ἅψασθαι παρέσχεν, εἰ καὶ ὁ Ματθαῖος κοινοποιεῖται καὶ ταῖς ἄλλαις γυναιξὶ τοῦτο, μὴ θέλων δι' ἣν τὴν ἀρχὴν ἔφημεν αἰτίαν, φανερῶς τὴν Μητέρα προάγειν ἐπὶ τῶν τοιούτων.*

13 *Ἐπεὶ δὲ μετὰ τὸ πρώτην ἐλθεῖν ἐπὶ τὸν τάφον τὴν ἀειπάρθενον Μαρίαν καὶ πρώτην τὸ εὐαγγέλιον τῆς ἀναστάσεως δέξασθαι πολλαὶ συνῆλθον καὶ τὸν λίθον εἶδον ἀποκεκυλισμένον κἀκεῖναι καὶ τῶν ἀγγέλων ἤκουσαν, ἐπανιοῦσαι μετὰ τὴν τοιαύτην ἀκοὴν καὶ θέαν ἐμερίσθησαν. Καὶ αἱ μέν, καθάπερ ὁ Μάρκος φησί, «ἔφυγον ἀπὸ τοῦ μνημείου καὶ εἶχεν αὐτὰς φόβος καὶ ἔκστασις καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ»· αἱ δὲ τῇ τοῦ Κυρίου εἵποντο Μητρί, αἳ καὶ τῆς τοῦ δεσπότου θέας καὶ ὁμιλίας ἐπέτυχον. Ἡ δὲ Μαγδαληνὴ πρὸς Πέτρον καὶ Ἰωάννην ἀπῄει, μεθ' ὧν καὶ πρὸς τὸν τάφον πάλιν ἔρχεται μόνη· κἀκείνων ἀναχωρησάντων, αὐτὴ παραμείνασα τῆς*

Ἀλλά μετά τό δρόμο τοῦ Πέτρου καί τοῦ Ἰωάννη πρός τόν τάφο καί τήν ἐκεῖ θέα τῶν σινδονιῶν καί τήν ἐπιστροφή, λέγει, «ἡ δέ Μαρία ἐστεκόταν κοντά στό μνημεῖο ἔξω κλαίοντας».

12 Βλέπετε ὅτι ὄχι μόνο δέν τόν εἶχε ἰδεῖ ἀκόμη, ἀλλ' οὔτε κἄν εἶχε πληροφορηθῆ σχετικά; Καί ὅταν δέ τήν ἐρώτησαν οἱ παρουσιασθέντες ἄγγελοι, γυναῖκα, «γιατί κλαίεις», ἐκείνη πάλι ἀποκρίνεται σάν γιά νεκρό. Καθώς δέ ἐστράφηκε καί εἶδε τόν Ἰησοῦ, οὔτε τότε δέν ἐκατάλαβε, ἀλλά ἐρωτωμένη ἀπό αὐτόν, τί κλαίει, ἀπαντᾶ παρόμοια, ἕως ὅτου ἐκεῖνος, καλώντας την ὀνομαστικά, παρουσίασε τόν ἑαυτό του ζωντανό. Τότε λοιπόν προσπίπτοντας καί αὐτή καί ζητώντας νά προσφέρη τόν ἀσπασμό στά πόδια ἐκείνου, ἄκουσε ἀπό αὐτόν τίς λέξεις, «μή μ' ἐγγίζης». Ἀπό αὐτό μαθαίνομε ὅτι, ὅταν προηγουμένως ἐφάνηκε στή μητέρα καί στίς γυναῖκες πού ἦσαν μαζί, μόνο σ' αὐτήν ἐπέτρεψε νά πιάση τά πόδια του, ἄν καί ὁ Ματθαῖος ἀποδίδει τοῦτο καί στίς ἄλλες γυναῖκες, μή θέλοντας γιά τήν αἰτία πού εἴπαμε στήν ἀρχή νά προβάλη φανερά τήν μητέρα στό θέμα αὐτό.

13 Ἀφοῦ δέ πρώτη ἦλθε στόν τάφο ἡ ἀειπάρθενος Μαρία καί πρώτη ἐδέχθηκε τό μήνυμα τῆς ἀναστάσεως, ἔπειτα ἦλθαν πολλές μαζί, εἶδαν κι' ἐκεῖνες τήν πέτρα ἀποκυλισμένη καί ἄκουσαν τούς ἀγγέλους, πού ἐπιστρέφοντας μέ τό ἄκουσμα αὐτό καί τήν θέα ἐχωρίσθηκαν. Ἄλλες, ὅπως λέγει ὁ Μάρκος, «ἔφυγαν ἀπό τό μνῆμα, κυριαρχημένες ἀπό φόβο καί ἔκστασι καί δέν εἶπαν σέ κανένα τίποτε, διότι ἐφοβοῦνταν· ἄλλες ἀκολούθησαν τήν Μητέρα τοῦ Κυρίου, καί αὐτές ἦσαν πού ἐπέτυχαν τήν θέα καί συνομιλία τοῦ Δεσπότη. Ἡ δέ Μαγδαληνή ἐπῆγε στόν Πέτρο καί τόν Ἰωάννη, μαζί μέ τούς ὁποίους ἔρχεται πάλι μόνη στόν τάφο· ὅταν δέ ἐκεῖνοι ἀνεχώρησαν, αὐτή παραμένοντας

δεσποτικῆς ἀξιοῦται καὶ αὕτη θέας καὶ πρὸς τοὺς Ἀποστόλους καὶ αὕτη πέμπεται καὶ πρὸς αὐτοὺς ἔρχεται πάλιν, ἀπαγγέλλουσα πᾶσιν, ὡς Ἰωάννης φησίν, «ὅτι ἑώρακε τὸν Κύριον καὶ ταῦτα εἶπεν αὐτῇ». Ταύτην οὖν τὴν θέαν πρωί φησι καὶ ὁ Μάρκος γενέσθαι, τουτέστι κατὰ τὴν ἀκραιφνῆ τῆς ἡμέρας ἀρχήν, τοῦ ὄρθρου παρελθόντος παντός, ἀλλ' οὐχὶ τὴν τοῦ Κυρίου ἀνάστασιν, οὐδὲ τὴν πρώτην αὐτοῦ ἐπιφάνειαν τότε γενέσθαι ἰσχυριζόμενος.

14 Ἔχομεν δὴ τὰ τῶν Μυροφόρων ἠκριβωμένα καὶ τὴν ἄνωθεν ζητουμένην ἐπὶ ταύταις τῶν τεσσάρων εὐαγγελιστῶν συμφωνίαν. Οἱ δὲ μαθηταὶ κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἀναστάσεως παρά τε τῶν Μυροφόρων ἀκούσαντες καὶ τοῦ Πέτρου καὶ παρὰ Λουκᾶ καὶ Κλεόπα, ὅτι ὁ Κύριος ζῇ καὶ ἐθεάθη ὑπ' αὐτῶν, ἠπίστησαν· διὸ καὶ ὀνειδίζονται παρ' αὐτοῦ, ὕστερον συνοῦσιν ἐπιφανέντος αὐτοῖς. Μετὰ δὲ τὸ διὰ πολλῶν καὶ πολλάκις ἑαυτὸν παραστῆσαι ζῶντα, οὐκ ἐπίστευσαν μόνον πάντες, ἀλλὰ καὶ ἐκήρυξαν πανταχοῦ· «εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν», «τοῦ Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων»· τὰ γὰρ σημεῖα μέχρι τοῦ κηρυχθῆναι τὸν λόγον εἰς πᾶσαν τὴν γῆν ἀναγκαιότατα ἦν. Ἀλλὰ δεῖ μὲν σημείων καὶ τεραστίων πρὸς παράστασιν καὶ βεβαίωσιν τῆς τοῦ κηρύγματος ἀληθείας, δεῖ δὲ σημείων, ἀλλ' οὐ τεραστίων πρὸς παράστασιν τῶν ὑποδεξαμένων τὸν λόγον, εἰ βεβαίως ἐπίστευσαν· τίνων τούτων; τῶν ἀπὸ τῶν ἔργων. «Δεῖξον γάρ μοι», φησί, «τὴν πίστιν σου ἐκ τῶν ἔργων σου» καὶ «τίς πιστός, δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ». Τίς γὰρ πιστεύσει διά-

8. Ψαλμ. 18,4.
9. Μάρκ. 16,20.

ἀξιώνεται τῆς δεσποτικῆς θέας, στέλλεται καί αὐτή πρός τούς Ἀποστόλους καί ἔρχεται πάλι πρός αὐτούς, γιά ν' ἀπαγγείλη σέ ὅλους, ὅπως λέγει ὁ Ἰωάννης, «ὅτι εἶδε τόν Κύριο, πού εἶπε σ' αὐτήν αὐτά». Αὐτή λοιπόν ἡ θέα λέγει καί ὁ Μάρκος ὅτι ἔγινε πρωί, δηλαδή κατά τήν πλήρη ἀρχή τῆς ἡμέρας, ἀφοῦ ἐπέρασε ὅλος ὁ ὄρθρος, ἀλλά δέν ἰσχυρίζεται ὅτι τότε ἔγινε ἡ ἀνάστασις τοῦ Κυρίου ἤ ἡ πρώτη ἐμφάνισίς του.

14 Ἔχομε λοιπόν τά συμβάντα στίς Μυροφόρες ἐξακριβωμένα καί τήν ἀπό τήν ἀρχή ζητουμένη συμφωνία τῶν τεσσάρων εὐαγγελιστῶν ὡς πρός αὐτά. Οἱ δέ μαθηταί κατά τήν ἡμέρα τῆς ἀναστάσεως τήν ἴδια, ἐνῶ ἄκουσαν ἀπό τίς Μυροφόρες καί τόν Πέτρο, καθώς καί ἀπό τόν Λουκᾶ καί τόν Κλεόπα, ὅτι ὁ Κύριος ζῆ καί ἐθεάθηκε ἀπό αὐτές, ἀπίστησαν· γι' αὐτό ὀνειδίζονται ἀπό αὐτόν, ὅταν τούς ἐμφανίσθηκε ὕστερα, καθώς ἦσαν συναθροισμένοι μαζί. Ὅταν ὅμως παρέστησε τόν ἑαυτό του ζωντανό κατά πολλούς τρόπους καί πολλές φορές, ὄχι μόνο ἐπίστευσαν ὅλοι, ἀλλά καί ἐκήρυξαν παντοῦ· «ὁ λόγος τους ἐξῆλθε σέ ὅλη τή γῆ καί τά ρήματά τους ἔφθασαν στά πέρατα τῆς οἰκουμένης»[8], «ἐνῶ ὁ Κύριος συνεργοῦσε καί ἐβεβαίωνε τόν λόγο μέ τά συνοδευτικά θαύματα»[9]· διότι τά θαύματα ἦσαν ἀναγκαιότατα, μέχρις ὅτου κηρυχθῆ ὁ λόγος σέ ὅλη τή γῆ. Ἀλλά χρειάζονται μέν σημεῖα καί τεράστια θαύματα πρός παράστασι καί βεβαίωσι τῆς ἀληθείας τοῦ κηρύγματος· χρειάζονται ὅμως σημεῖα, ἀλλ' ὄχι τεράστια πρός παράστασι αὐτῶν πού ὑποδέχθηκαν τόν λόγο, ἄν βεβαίως ἐπίστευσαν. Ποιά δηλαδή σημεῖα; Τά ἀπό τά ἔργα. «Δεῖξε μου», λέγει, «τήν πίστι σου ἀπό τά ἔργα σου», καί «ποιός εἶναι πιστός, ἄς δείξη τά ἔργα του ἀπό τήν καλή διαγωγή»[10]. Ποιός θά πιστεύση πραγματικά ὅτι

10. Ἰακ. 2,18. 3,13.

νοιαν ἔχειν ὄντως θείαν καὶ μεγάλην καὶ ὑψηλήν, καὶ ὡς εἰπεῖν οὐράνιον, οἷά πέρ ἐστιν ἡ εὐσέβεια, τὸν φαύλων ἀντεχόμενον ἔργων καὶ τῇ γῇ καὶ τοῖς γηίνοις προσηλωμένον;

15 Οὐδὲν οὖν ὄφελος, ἀδελφοί, ἐὰν πίστιν λέγῃ τις ἔχειν θείαν, ἔργα δὲ μὴ ἔχῃ τῇ πίστει κατάλληλα. Τί τὰς μωρὰς παρθένους αἱ λαμπάδες ὤνησαν οὐκ ἐχούσας ἔλαιον, δηλονότι τὰ τῆς ἀγάπης καὶ τὰ τῆς συμπαθείας ἔργα; Τί τὸν ἐν τῇ ἀσβέστῳ φλογὶ διὰ τὸ πρὸς τὸν Λάζαρον ἀσυμπαθὲς τηγανιζόμενον ἐκεῖνον πλούσιον τὸ πατέρα ἐπικαλεῖσθαι τὸν Ἀβραάμ; Τί τὸν μὴ κεκτημένον διὰ τῶν ἀγαθῶν ἔργων ἔνδυμα, τῷ θείῳ γάμῳ καὶ τῇ παστάδι τῆς ἀφθαρσίας ἐκείνης κατάλληλον, ἢ πρὸς τὴν κλῆσιν δῆθεν εὐπείθεια; καὶ γὰρ προσεκλήθη τε καὶ προσῆλθε, πιστεύσας πάντως, καὶ τοῖς ἁγίοις ἐκείνοις δαιτυμόσι συνανεκλήθη, ἀλλ' ἐξελεγχθεὶς καὶ καταισχυνθείς, ὡς τὴν ἀπὸ τῶν ἠθῶν καὶ τῶν πράξεων φαυλότητα περικείμενος, δεθεὶς χεῖράς τε καὶ πόδας ἀνηλεῶς, εἰς τὴν γέενναν ρίπτεται τοῦ πυρός, ἔνθα ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

16 Ἧς μηδένα γένοιτο τῶν ἀπὸ τοῦ Χριστοῦ καλουμένων πεῖραν λαβεῖν, ἀλλὰ τῇ πίστει βίον ἐπιδειξαμένους προσήκοντα καὶ εἰσελθεῖν εἰς τὸν νυμφῶνα τῆς εὐφροσύνης τῆς ἀκηράτου καὶ συνδιαιωνίζειν τοῖς ἁγίοις, ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία. Ἀμήν.

ἔχει διάνοια θεία καί μεγάλη καί ὑψηλή, καί θά ἐλέγαμε οὐράνια, ὅπως εἶναι ἡ εὐσέβεια, αὐτός πού ἐπιδίδεται σέ φαῦλα ἔργα καί εἶναι προσηλωμένος στή γῆ καί στά γήινα;

15 Δέν ὠφελεῖ τίποτε λοιπόν, ἀδελφοί, ἐάν λέγη κανείς ὅτι ἔχει θεία πίστι, δέν ἔχει ὅμως ἔργα κατάλληλα στήν πίστι. Τί ὠφέλησαν οἱ λαμπάδες τίς μωρές παρθένους, ἀφοῦ δέν εἶχαν ἔλαιο, δηλαδή τά ἔργα τῆς ἀγάπης καί τῆς συμπαθείας; Τί ὠφέλησε ἡ ἐπίκλησις τοῦ Ἀβραάμ σάν πατρός τόν πλούσιο ἐκεῖνον πού τηγανιζόταν στήν ἄσβεστη φλόγα ἐξ αἰτίας τῆς ἀσυμπαθείας πρός τόν Λάζαρο; Τί ὠφέλησε ἡ δῆθεν εὐπείθεια πρός τήν πρόσκλησι ἐκεῖνον τόν ἄνθρωπο πού δέν εἶχε ἀποκτήσει διά τῶν ἀγαθῶν ἔργων ἔνδυμα κατάλληλο γιά τό θεῖο γάμο καί γιά τόν ἄφθαρτο ἐκεῖνο νυμφῶνα; Προσκλήθηκε μέν καί προσῆλθε, διότι ἐπίστευσε ὁπωσδήποτε, καί παρακάθησε μέ τούς ἁγίους ἐκείνους συνδαιτυμόνες, ἀλλ' ὅταν ἐξεσκεπάσθηκε καί καταισχύνθηκε, ὡς ἐνδεδυμένος τήν φαυλότητα ἀπό τά ἤθη καί τίς πράξεις ἐδέθηκε ἀνηλεῶς χειροπόδαρα κι' ἐρρίφθηκε στή γέεννα τοῦ πυρός, ὅπου ἐπικρατεῖ ὁ κλαυθμός καί ὁ τρυγμός τῶν ὀδόντων.

16 Αὐτήν εἴθε νά μή τήν δοκιμάση κανείς Χριστιανός, ἀλλ' ἐπιδεικνύοντας ὅλοι διαγωγή πρέπουσα στήν πίστι, νά εἰσέλθωμε στόν νυμφῶνα τῆς ἄφθαρτης εὐφροσύνης καί νά ζήσωμε αἰωνίως μαζί μέ τούς ἁγίους ἐκεῖ, ὅπου εἶναι ἡ κατοικία ὅλων τῶν εὐφραινομένων. Γένοιτο.



ΕΙΣ ΤΟ ΚΑΤΑ
ΤΗΝ ΣΑΜΑΡΕΙΤΙΔΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΥΑΓΓΕΛΙΟΝ

Καὶ ὅτι δεῖ καταφρονεῖν τῶν παρόντων

ΟΜΙΛΙΑ ΙΘ'

ΕΙΣ ΤΟ
ΚΑΤΑ ΤΗΝ ΣΑΜΑΡΕΙΤΙΔΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΥΑΓΓΕΛΙΟΝ

Καὶ ὅτι δεῖ καταφρονεῖν τῶν παρόντων

1 *ιὰ πασῶν τῶν νῦν διερχομένων ἡμερῶν τούτων, εἰς πεντῆκοντα ἐκτεινομένων, τὴν ἐκ νεκρῶν ἀνάστασιν ἑορτάζομεν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν πρὸς τὰς ἄλλας ἑορτὰς ὑπεροχὴν παριστῶντες διὰ τῆς παρατάσεως ταύτης. Εἰ γὰρ καὶ τῆς πρὸς οὐρανὸν ἐπανόδου τὴν ἐπέτειον μνήμην ὁ ἀριθμὸς οὗτος τῶν ἡμερῶν περιέχει, ἀλλὰ καὶ αὕτη τὴν τοῦ ἀναστάντος Δεσπότου πρὸς τοὺς ἀναβεβιωκότας ἔσθ' ὅτε τῶν δούλων ὑποδείκνυσι διαφοράν. Πάντες γὰρ οἱ ἐκ νεκρῶν ἀναστάντες ὑφ' ἑτέρων ἀνέστησαν καὶ πάλιν ἀποθανόντες ἐπέστρεψαν εἰς τὴν γῆν· Χριστοῦ δὲ ἐκ νεκρῶν ἀναστάντος, θάνατος αὐτοῦ οὐκέτι κυριεύει·*

ΟΜΙΛΙΑ 19

ΕΠΙ ΤΟΥ
ΕΥΑΓΓΕΛΙΟΥ ΤΟΥ ΧΡΙΣΤΟΥ ΠΕΡΙ ΤΗΣ ΣΑΜΑΡΕΙΤΙΔΟΣ

Καί ὅτι πρέπει νά καταφρονοῦμε τά παρόντα

1  λην αὐτήν τήν περίοδο πού διανύομε τώρα, ἐπεκτεινομένη σέ πενήντα ἡμέρες, ἑορτάζομε τήν ἀπό τούς νεκρούς ἀνάστασι τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος μας Ἰησοῦ Χριστοῦ, δεικνύοντας μέ αὐτή τήν παράτασι τήν ὑπεροχή της ἀπέναντι στίς ἄλλες ἑορτές. Ἄν καί βέβαια αὐτή ἡ περίοδος τῶν ἡμερῶν περιλαμβάνει καί τήν ἑπέτειο μνήμη τῆς ἐπανόδου στούς οὐρανούς[1], ἀλλά καί αὐτή δεικνύει τή διαφορά τοῦ ἀναστάντος Δεσπότου πρός τούς ἀνθρώπους ἐκείνους πού κατά καιρούς ἔχουν ἀναβιώσει. Πραγματικά ὅλοι ὅσοι ἀναστήθηκαν ἀπό τούς νεκρούς ἀναστήθηκαν ἀπό ἄλλους καί, ἀφοῦ ἀπέθα-

1. Ἐννοεῖ τήν ἑορτήν τῆς Ἀναλήψεως τήν τεσσαρακοστή ἀπό τό Πάσχα ἡμέρα.

μόνος γὰρ οὗτος ἑαυτὸν ἀναστήσας τριήμερον, οὐκ εἰς γῆν ἐπέστρεψε πάλιν, ἀλλ' εἰς οὐρανὸν ἀνελήλυθεν, ὁμόθρονον ὡς ὁμόθεον τῷ Πατρὶ ποιήσας τὸ ἡμέτερον φύραμα. Διὸ καὶ μόνος ἀρχὴ τῆς μελλούσης πάντων ἀναστάσεως γέγονε καὶ μόνος ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν καὶ τοῦ μέλλοντος αἰῶνος πατήρ. Καὶ καθάπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν ἁμαρτωλοί τε καὶ δίκαιοι, οὕτως ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται ἁμαρτωλοί τε καὶ δίκαιοι, ἀλλ' ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ, εἶτα τὸ τέλος, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν καὶ θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος, ἐν τῇ κοινῇ ἀναστάσει, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.

2 Τοιαύτης δωρεᾶς πρόξενος ἡμῖν ἐστιν ἡ τοῦ Κυρίου ἀνάστασις, καὶ διὰ τοῦτο μόνην ταύτην ἐν τοσαύτῃ παρατάσει τῶν ἡμερῶν ἑορτάζομεν, ὡς ἀθάνατον οὖσαν καὶ ἀνώλεθρον καὶ ἄϊδιον, προϋπογράφοντες διὰ τούτων καὶ τὴν μέλλουσαν τῶν ἁγίων μακαριότητα, ἧς ἀπέδρα πᾶσα ὀδύνη καὶ λύπη καὶ στεναγμός· θυμηδία δὲ καὶ πανήγυρίς ἐστιν ἐν ταύτῃ διηνεκὴς ἔνθεός τε καὶ ἀναλλοίωτος· ἐκεῖ γάρ ἐστι τῶν ὄντως εὐφραινομένων ἡ κατοικία. Διὸ καὶ πρὸ τῶν ἡμερῶν τούτων τὴν ἱερὰν τεσσαρακοστὴν ἐν νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ προσευχῇ καὶ ἀσκήσει παντοίᾳ τῶν ἀρετῶν ἄγειν ἡμᾶς ἡ τοῦ Πνεύματος χάρις ἐνομοθέτησε, διὰ μὲν τῆς τεσσαρακοστῆς τῶν ἡμερῶν

2. Α' Κορ. 15,22 ἑξ.

ναν πάλι, ἐπέστρεψαν στή γῆ· ὁ δέ Χριστός, ἀφοῦ ἀναστήθηκε ἀπό τούς νεκρούς, δέν κυριεύεται πλέον καθόλου ἀπό τόν θάνατο· διότι μόνο αὐτός, ἀφοῦ ἀνέστησε τόν ἑαυτό του τήν τρίτη ἡμέρα, δέν ἐπέστρεψε πάλι στή γῆ, ἀλλά ἀνέβηκε στόν οὐρανό, καθιστώντας τό φύραμά μας πού εἶχε λάβει ὁμόθρονο μέ τόν Πατέρα ὡς ὁμόθεο. Γι' αὐτό εἶναι ὁ μόνος πού ἔγινε ἀρχή τῆς μελλοντικῆς ἀναστάσεως ὅλων καί ὁ μόνος πού κατέστη ἀπαρχή τῶν νεκρῶν καί πρωτότοκος ἀπό τούς νεκρούς καί πατέρας τοῦ μέλλοντος αἰῶνος. Καί ὅπως ὅλοι, ἁμαρτωλοί καί δίκαιοι, ἀποθαίνουν στόν Ἀδάμ, ἔτσι στόν Χριστό θά ζωοποιηθοῦν ὅλοι, ἁμαρτωλοί καί δίκαιοι, ἀλλ' ὁ καθένας στήν τάξι του· ἀπαρχή εἶναι ὁ Χριστός, ἔπειτα οἱ ὀπαδοί τοῦ Χριστοῦ κατά τήν παρουσία του, ἔπειτα οἱ τελευταῖοι, ὅταν καταργήση κάθε ἀρχή καί ἐξουσία καί δύναμι καί θέση ὅλους τούς ἐχθρούς του κάτω ἀπό τά πόδια του. Τελευταῖος ἐχθρός πού θά καταργηθῆ εἶναι ὁ θάνατος[2], κατά τήν κοινή ἀνάστασι, μέ τήν ἐσχάτη σάλπιγγα· διότι πρέπει τό φθαρτό τοῦτο στοιχεῖο νά ἐνδυθῆ ἀφθαρσία καί τό θνητό τοῦτο νά ἐνδυθῆ ἀθανασία[3].

2 Τέτοια δωρεά μᾶς προσφέρει ἡ ἀνάστασις τοῦ Κυρίου, καί γι' αὐτό μόνο αὐτήν ἑορτάζομε μέ τόση διάρκεια σάν ἀθάνατη καί ἀνώλεθρη καί ἀΐδια, προεικονίζοντας μέ αὐτά καί τήν μέλλουσα μακαριότητα τῶν ἁγίων, ἀπό τήν ὁποία ἔχει ἐξαφανισθῆ κάθε ὀδύνη, λύπη καί στεναγμός· ὑπάρχει δέ σ' αὐτήν εὐφροσύνη καί πανήγυρις ἐνθουσιώδης καί ἀναλλοίωτη· διότι ἐκεῖ εἶναι πραγματικά ἡ κατοικία τῶν εὐφραινομένων. Γι' αὐτό ἡ χάρις τοῦ Πνεύματος ἐνομοθέτησε πρίν ἀπό τίς ἡμέρες αὐτές νά τελοῦμε τήν ἱερά τεσσαρακοστή μέ νηστεία καί ἀγρυπνία καί μέ προσευχή καί κάθε εἶδος ἀσκήσεως τῶν ἀρετῶν. Μέ τήν τεσ-

3. Α΄ Κορ. 15,53.

δεικνῦσα τὴν ἐν τῷ αἰῶνι τούτῳ τῶν σωζομένων ζωήν, ὡς οὐδὲν ἕτερόν ἐστιν ἡ μετάνοια καὶ βίος θεοφιλής· διὰ δὲ τῆς μετ' αὐτὴν πεντηκοστῆς ταύτης, ἣν διερχόμεθα νῦν, ἐπιδεικνῦσα τὴν διαδεξομένην τοὺς ἐνταῦθα διὰ τὸν Θεὸν ἐναγωνίως ζήσαντας ἄνεσιν καὶ ἀπόλαυσιν.

3 *Διὰ τοῦτο καὶ τεσσαρακοστὴ μέν ἐστιν ἐκείνη καὶ συνηρτημένην ἔχει τὴν μνήμην τῶν τοῦ Κυρίου σωτηρίων παθῶν καὶ τῆς νηστείας τὴν λύσιν μετὰ τὴν ἑβδόμην λαμβάνει· αὕτη δὲ πεντηκοστὴ οὖσα συμπεριλαμβάνει καὶ τὴν ἀπὸ γῆς εἰς οὐρανὸν μετάθεσιν καὶ τὴν τοῦ θείου Πνεύματος κατάβασιν καὶ διάδοσιν. Ἑβδοματικός γάρ ἐστιν ὁ αἰὼν οὗτος καὶ διὰ τεσσάρων ὡρῶν καὶ μερῶν καὶ στοιχείων συνίσταται καὶ τοῖς ἐν αὐτῷ κοινωνοὺς ἑαυτοὺς δι' ἔργων ποιοῦσι τῶν Χριστοῦ παθημάτων τὴν τῆς Πεντηκοστῆς ἑορτὴν ἐπιφέρει, ἥτις ἐκ τῆς ὀγδόης ἄρχεται καὶ εἰς ὀγδόην ἔχει τὴν λῆξιν καὶ τὴν σεπτὴν ἑβδομάδα καὶ τὴν τετρακτὺν ὑπερβᾶσαν καὶ διὰ τῆς ἀναστάσεως τοῦ Κυρίου καὶ τῆς μετ' αὐτὴν ἀναλήψεως τὴν μέλλουσα, παρίστησι τοῦ τῶν ἀνθρώπων γένους ἀνάστασιν καὶ τὴν κατ' αὐτὴν τῶν ἀξίων ἐν νεφέλαις ἅρπαγιν πρὸς τὴν θείαν ὑπάντησιν καὶ ἐξῆς εἰς αἰῶνας πρὸς Θεὸν συνουσίαν τε καὶ κατάπαυσιν.*

4 *Αὕτη μὲν οὖν ἔσται κατὰ καιρόν. Ὁ δὲ Κύριος πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως κηρύττων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ τοῖς μαθηταῖς δεικνύς, ὡς οὐκ ἐκ τῶν Ἰουδαίων μόνον ἡ ἐκλογὴ τῶν ἀξίων τῆς πίστεως ἔσται καὶ τῆς ὑπ' αὐτοῦ προτεινομένης ἀϊδίου κληρονομίας, ἀλλὰ καὶ ἀπὸ τῶν ἐθνῶν, κατὰ τὴν σήμερον ἀναγινωσκομένην εἰς ἐπήκοον τοῦ εὐαγγελίου φωνήν· «ἔρχεται εἰς πόλιν τῆς Σαμερείας λεγομένην Σιχάρ, πλησίον τοῦ χωρίου οὗ ἔδωκεν Ἰακὼβ*

σαρακοντάδα τῶν ἡμερῶν δεικνύει ὅτι σ' αὐτόν τόν αἰῶνα ἡ ζωή τῶν σωζομένων δέν εἶναι τίποτε ἄλλο παρά μετάνοια καί θεοφιλής βίος· μέ τήν πεντηκοστή δέ αὐτή, πού διανύομε τώρα, ἐπιδεικνύει τήν ἄνεσι καί ἀπόλαυσι πού θά ὑποδεχθῆ αὐτούς πού ἔζησαν ἐδῶ ἐναγωνίως γιά τόν Θεό.

3 Γι' αὐτό ἐκείνη μέν εἶναι τεσσαρακοστή, ἔχει συνακόλουθη τήν μνήμη τῶν σωτηρίων παθῶν καί μετά τήν ἑβδόμη ἑβδομάδα λαμβάνει τήν λύσι τῆς νηστείας· αὐτή δέ σάν πεντηκοστή συμπεριλαμβάνει καί τήν ἀπό τή γῆ μετάθεσι στόν οὐρανό καί τήν κατάβασι καί διάδοσι τοῦ θείου Πνεύματος. Διότι αὐτός ἐδῶ ὁ αἰών εἶναι ἑβδοματικός καί συνίσταται ἀπό τέσσερις ἐποχές καί μέρη καί στοιχεῖα καί γι' αὐτούς πού σ' αὐτόν καθιστοῦν τούς ἑαυτούς των κοινωνούς τῶν παθημάτων τοῦ Χριστοῦ ἐπιφέρει τήν ἑορτή τῆς Πεντηκοστῆς, πού ἀρχίζει ἀπό τήν ὀγδόη καί καταλήγει στήν ὀγδόη καί ἀφοῦ ξεπεράση τήν ἑβδομάδα καί τήν τετρακτύ, διά τῆς ἀναστάσεως τοῦ Κυρίου καί τῆς ἔπειτα ἀπό αὐτήν ἀναλήψεως παριστάνει τήν μέλλουσα ἀνάστασι τοῦ ἀνθρωπίνου γένους καί τήν κατ' αὐτήν ἀνύψωσι τῶν ἀξίων στά σύννεφα πρός τήν θεία συνάντησι καί στήν συνέχεια τήν συνύπαρξι καί ἀνάπαυσι μέ τόν Θεό στούς αἰῶνες.

4 Αὐτή λοιπόν θά ἔλθη στόν καιρό της. Ὁ δέ Κύριος κηρύττοντας τό εὐαγγέλιο τῆς βασιλείας πρίν ἀπό τό πάθος καί δεικνύοντας στούς μαθητάς ὅτι δέν θά γίνη μόνο ἀνάμεσα στούς Ἰουδαίους ἡ ἐκλογή τῶν ἀξίων τῆς πίστεως καί τῆς ἀπό αὐτόν προτεινομένης ἀΐδιας κληρονομίας ἀλλά καί ἀνάμεσα στούς Ἐθνικούς, κατά τήν σήμερα ἀναγινωσκομένη στήν ἐκκλησία περικοπή τοῦ εὐαγγελίου[4] «ἔρχεται σέ μιά πόλι τῆς Σαμαρείας,

4. Ἰω. 4,5-30.

Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. Ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ». Πηγὴν μὲν οὖν τὸ φρέαρ φησί· τὸ γὰρ ὕδωρ πηγαῖον εἶχεν, ὡς δῆλον ἔσται προϊόντος τοῦ λόγου· τοῦ Ἰακὼβ δὲ ἦν, ἐπειδή περ ἐκεῖνος ὤρυξεν αὐτό· τὸ δὲ χωρίον ὃ ἔδωκε τῷ Ἰωσὴφ ὁ Ἰακὼβ τὰ Σίκημά ἐστι. Φησὶ γὰρ πρὸς αὐτὸν τὰ ἔσχατα πνέων ἐν Αἰγύπτῳ καὶ διατιθέμενος· «Ἰδοὺ ἐγὼ ἀποθνῄσκω, ὑμᾶς δὲ ἀποστρέψει ὁ Θεὸς ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν τῶν πατέρων ἡμῶν. Ἐγὼ δὲ δίδωμί σοι Σίκημα ἐξαίρετον παρὰ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐκ χειρὸς τῶν Ἀμορραίων ἐν τῇ μαχαίρᾳ μου καὶ τῷ τόξῳ μου». Διὸ τὰ μὲν Σίκημα κατῳκεῖτο παρὰ τῆς Ἐφραὶμ φυλῆς ὕστερον, ὃς ἦν υἱὸς πρωτότοκος τοῦ Ἰωσήφ, τὸν δὲ περὶ αὐτὰ τόπον κατῴκουν αἱ δέκα φυλαὶ τοῦ Ἰσραήλ, ὧν Ἱεροβοὰμ ὁ ἀποστάτης ἦρξε.

5 *Προσκρούσαντες δὲ τῷ Θεῷ πολλάκις οὗτοι καὶ πολλάκις ἐγκαταλειφθέντες, ὕστερον παγγενῆ γεγόνασιν αἰχμάλωτοι, ὡς ἀντ' αὐτῶν ἔθνη διάφορα συμφορήσαντα τὸν ἄρχοντα τῶν Ἀσσυρίων ἐγκατοικῆσαι τῷ τόπῳ καὶ Σαμαρείτας ἀπὸ τοῦ ὄρους Σομὸρ καλέσαι. Καθάπερ δὲ παραπορευόμενος ὁ Ἰακώβ, ὡς ἡ ἱστορία φησί, παρεστήσατο τὰ Σίκημα, οὕτω παραπορευόμενος ὁ Χριστὸς νῦν, ὑπηγάγετο τὴν Σαμάρειαν. Ἀλλ' ἐκεῖνος μέν, ὡς αὐτός φησιν, ἐν τῇ ρομφαίᾳ καὶ τῷ τόξῳ αὐτοῦ, δηλονότι πρὸς ἐξολόθρευσιν καὶ ἀπώλειαν τῶν πρότερον ἐνοικούντων, ὁ δὲ Χριστὸς ἐν λόγῳ καὶ διδασκαλίᾳ, διὸ καὶ πρὸς σωτηρίαν· «ὁ γὰρ Ἰησοῦς κεκοπιακώς»,*

5. Ἰω. 4,5.
6. Ἡ Συχέμ.
7. Γεν. 48,21.

πού λέγεται Σιχάρ, πλησίον τοῦ τόπου πού ἔδωσε ὁ Ἰακώβ στόν υἱό του Ἰωσήφ. Ἐκεῖ ἦταν ἡ πηγή τοῦ Ἰακώβ»[5]. Πηγή φυσικά ὀνομάζει τό φρέαρ, διότι εἶχε ὕδωρ πηγαῖο, ὅπως θά φανῆ ἀπό τήν συνέχεια τοῦ λόγου· ἦταν δέ τοῦ Ἰακώβ, ἐπειδή ἐκεῖνος τό εἶχε ἀνοίξει. Ὁ δέ τόπος πού ἔδωσε ὁ Ἰακώβ στόν Ἰωσήφ εἶναι τά Σίκημα[6]. Διότι εἶπε πρός αὐτόν, ὅταν ἔπνεε τά ἔσχατα στήν Αἴγυπτο καί ἔκαμε διαθήκη· «Ἰδού ἐγώ πεθαίνω, ἐνῶ ἐσᾶς θά σᾶς ἐπαναφέρη ὁ Θεός ἀπό αὐτή τή γῆ στή γῆ τῶν πατέρων μας. Ἐγώ δίδω τά Σίκημα κατ' ἐξαίρεσι ἀπό τούς ἀδελφούς σου σέ σένα, τά ὁποῖα ἔλαβα ἀπό τούς Ἀμορραίους μέ τό ξίφος καί τό τόξο μου»[7]. Γι' αὐτό τά μέν Σίκημα κατοικοῦνταν ὕστερα ἀπό τήν φυλή τοῦ Ἐφραίμ, ὁ ὁποῖος ἦταν πρωτότοκος υἱός τοῦ Ἰωσήφ, τόν δέ τόπο γύρω ἀπό αὐτά κατοικοῦσαν οἱ δέκα φυλές τοῦ Ἰσραήλ, τίς ὁποῖες ἐκυβέρνησε ὁ ἀποστάτης Ἱερουβοάμ.

5 Ἀφοῦ δέ αὐτοί προσέκρουσαν στόν Θεό πολλές φορές καί ἐγκαταλείφθηκαν ἀπό αὐτόν πολλές φορές, ὕστερα ἔγιναν ὅλο τό γένος αἰχμάλωτοι, ὁπότε ἀντί αὐτῶν ὁ ἡγέτης τῶν Ἀσσυρίων ἐγκατέστησε στόν τόπο ἔθνη πού συνάθροισε ἀπό διάφορα μέρη καί τούς ὠνόμασε Σαμαρεῖτες ἀπό τό ὄρος Σομόρ[8]. Ὅπως δέ ὁ Ἰακώβ περνώντας ἀπό ἐκεῖ ὑπέταξε τά Σίκημα, καθώς λέγει ἡ ἱστορία[9], ἔτσι περνώντας ὁ Χριστός τώρα ὑπέταξε τή Σαμάρεια. Ἀλλά ἐκεῖνος μέν τό ἔκαμε, ὅπως λέγει ὁ ἴδιος[10], μέ τήν ρομφαία καί τό τόξο του, δηλαδή πρός ἐξολόθρευσι καί καταστροφή τῶν παλαιῶν κατοίκων, ὁ δέ Χριστός μέ λόγο καί διδασκαλία, δηλαδή γιά σωτηρία· «διότι ὁ Ἰησοῦς», λέγει,

8. Σαμάρεια ὠνομάσθηκε ἡ πόλις πού ἔκτισε τό 880 π.χ. ὁ βασιλεύς τοῦ Ἰσραήλ Ἀμβρί, ἔπειτα τό ὄρος ὅπου ἦταν ἡ ἀκρόπολίς της καί τέλος ὁλόκληρο τό βόρειο βασίλειο τοῦ Ἰσραήλ, πού καταλύθηκε ἀπό τούς Ἀσσυρίους τό 721 π.Χ.

9. Γεν. 34,25έ. 10. Γεν. 48,22.

φησίν; «ἐκ τῆς ὁδοιπορίας, ἐκάθητο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα ἦν ὡσεὶ ἕκτη».

6 Καὶ ἡ ὥρα καὶ ὁ κόπος καὶ ὁ τόπος ἐδίδου καθῆσθαι τὸν σῶμα περικείμενον, ὁποῖόν ἐστι τὸ ἡμέτερον. Τοῦτο τοίνυν πιστούμενος καὶ τὸ μέλλον κέρδος προβλέπων ἐκάθητο, φησίν, οὕτως ἐπὶ τῇ πηγῇ, τουτέστιν ἀφελῶς χαμαί, μόνος ὡς εἷς τῶν πολλῶν ὁδίτης· οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθησαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι. Μεμονωμένου τοίνυν οὕτω ἐπὶ τῇ πηγῇ καθημένου, ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ· ὁ δὲ Κύριος καὶ διψῶν ὡς ἄνθρωπος καὶ τὴν ἔχουσαν ἀνθρωπίνως τὴν δίψαν παῦσαι παραγενομένην ἰδών, ὁρῶν δὲ ὡς Θεὸς καὶ τὴν ταύτης καρδίαν διψῶσαν ὕδατος σωτηρίου, τὸν δὲ δυνάμενον τοῦτο παρασχεῖν οὐκ εἰδυῖαν, ἀποκαλύψαι μὲν ἑαυτὸν ἐπείγεται τῇ ποθούσῃ ψυχῇ, ποθεῖ γὰρ καὶ αὐτὸς τοὺς ποθοῦντας κατὰ τὸ γεγραμμένον, ἄρχεται δὲ ὅθεν εὐπαράδεκτος ἔσται· καί φησι πρὸς αὐτὴν «δός μοι ὕδωρ πιεῖν». Ἡ δὲ συνετὴ οὖσα καὶ ἀπὸ μόνης τῆς στολῆς καὶ τοῦ σχήματος καὶ τῆς ἐπιφαινομένης ἔξωθεν κοσμιότητος Ἰουδαῖόν τε ὄντα συνεῖσα καὶ τοῦ νόμου φύλακα, θαυμάζω, ἔφη, πῶς παρὰ Σαμαρείτιδος αἰτεῖς πόμα, τῶν Ἰουδαίων τοῖς Σαμαρείταις ὡς ἐθνικοῖς οὖσι μὴ κοινωνούντων. Ὁ δὲ Κύριος ἀφορμῆς λαβόμενος ἑαυτὸν ἀποκαλύπτειν ἄρχεται, πρὸς αὐτὴν λέγων· «εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι ὕδωρ πιεῖν, σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν».

7 Ὁρᾶτε μαρτυρουμένην, ὡς εἴπερ ἐγίνωσκεν, ᾔτησεν ἂν πάραυτα καὶ μέτοχος ἐγεγόνει τοῦ ὄντως ζῶντος ὕδατος, ὡς καὶ μαθοῦσα πεποίηκε καὶ ἀπήλαυσεν ὕστερον, τὸ δὲ συνέδριον τῶν Ἰουδαίων ἐρω-

«κουρασμένος ἀπ' τήν ὁδοιπορία, ἐκαθόταν ἔτσι δίπλα στό πηγάδι· ἡ ὥρα ἦταν περίπου ἕκτη».

6 Καί ἡ ὥρα καί ὁ κόπος καί ὁ τόπος ἐπέβαλλαν νά καθῆση καθένας πού ἔχει σῶμα σάν τό δικό μας. Θέλοντας λοιπόν νά ἐπιβεβαιώση τοῦτο καί προβλέποντας τό μελλοντικό κέρδος, ἐκαθόταν, λέγει, ἔτσι δίπλα στό πηγάδι, δηλαδή ἀφελῶς κάτω, μόνος του σάν ἕνας ὁδοιπόρος ἀπό τούς πολλούς, διότι οἱ μαθηταί του εἶχαν φύγει στήν πόλι, γιά ν' ἀγοράσουν τροφές. Καθώς λοιπόν ἐκαθόταν ἔτσι μόνος του δίπλα στό πηγάδι, ἔρχεται μιά γυναῖκα ἀπό τήν Σαμάρεια νά πάρη νερό. Ὁ δέ Κύριος, ὡς ἄνθρωπος διψώντας καί βλέποντας νά ἔρχεται κάποια ἀνθρωπίνως διψῶσα, γιά νά σταματήση τή δίψα της, ὡς Θεός δέ βλέποντας καί τήν καρδιά της νά διψᾶ γιά σωτήριο ὕδωρ, χωρίς ὅμως νά γνωρίζη αὐτόν πού μπορεῖ νά τῆς τό προσφέρη, ἐπείγεται ν' ἀποκαλύψη τόν ἑαυτό του στήν ποθοῦσα ψυχή, διότι ποθεῖ καί αὐτός τούς ποθοῦντας κατά τά γεγραμμένα, ἀρχίζει δέ ἀπό ἐκεῖ πού θά γίνη εὐπρόσδεκτος· καί τῆς λέγει, «δός μου νερό νά πιῶ». Αὐτή δέ, καθώς ἦταν εὐφυής καί ἀντελήφθηκε καί ἀπό μόνο τή στολή καί τό σχῆμα καί τήν ἔκδηλη ἐξωτερική κοσμιότητα ὅτι εἶναι Ἰουδαῖος καί φύλακας τοῦ νόμου, εἶπε, θαυμάζω πῶς ζητεῖς ἀπό Σαμαρείτιδα νερό, ἐνῶ οἱ Ἰουδαῖοι δέν ἐπικοινωνοῦν μέ τούς Σαμαρεῖτες ὡς ἐθνικούς. Ὁ δέ Κύριος, παίρνοντας ἀπό αὐτό ἀφορμή, ἀρχίζει ν' ἀποκαλύπτη τόν ἑαυτό του πρός αὐτήν λέγοντας· «ἄν ἐγνώριζες τήν δωρεά τοῦ Θεοῦ καί ποιός εἶναι αὐτός πού σοῦ λέγει, δός μοι νά πιῶ νερό, ἐσύ θά τοῦ ἐζητοῦσες καί θά σοῦ ἔδινε ζωντανό ὕδωρ».

7 Βλέπετε ἐπιβεβαίωσι περί τοῦ ὅτι, ἄν ἐγνώριζε, θά ἐζητοῦσε ἀμέσως καί θά ἐγινόταν μέτοχος πραγματικά ζωντανοῦ ὕδατος, ὅπως ἔπραξε καί ἀπήλαυσε ὅταν ἔμαθε ὕστερα, ἐνῶ τό συν-

τήσαντες καὶ σαφῶς ἀκούσαντες εἶτα τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. Ἀλλὰ τίς ἡ δωρεὰ τοῦ Θεοῦ; «εἰ ᾔδεις» γάρ, φησί, «τὴν δωρεὰν τοῦ Θεοῦ». Ἵνα τ' ἄλλα παρῶμεν, αὐτὸ τὸ τοὺς ὑπὸ Ἰουδαίων βδελυκτοὺς εἶναι νομιζομένους καὶ μέχρι δόματος πόματος ἀκοινωνήτους τὸν ἐνανθρωπήσαντα Θεὸν μὴ βδελύττεσθαι, πηλίκης δωρεᾶς τε καὶ χάριτος; Τὸ δὲ καὶ τοσοῦτον ἐρασμίους ἡγεῖσθαι, ὡς μὴ μόνον τὰ παρ' αὐτῶν διδόμενα δέχεσθαι, ἀλλὰ καὶ αὐτῶν ἐκείνοις τῶν αὐτοῦ θείων χαρισμάτων μεταδιδόναι (τί λέγω τῶν χαρισμάτων; ἑαυτὸν γὰρ παρέχει καὶ σκεύη δεκτικὰ τῆς αὐτοῦ θεότητος ἀπεργάζεται τοὺς πιστεύοντας· οὐ γάρ ἐστιν ἄλλως πηγὴν αὐτοὺς ἐν ἑαυτῆς ἔχειν, ὡς προϊδὼν ἐπαγγέλλεται, πρὸς ζωὴν αἰώνιον ἁλλομένην), τίς νοῦς ἐννοήσει; τίς λόγος ἐκφράσει τὸ ὑπερβάλλον τῆς δωρεᾶς;

8 Ἡ δὲ Σαμαρεῖτις, μήπω τὸ μεγαλεῖον συνεῖσα τοῦ ζῶντος ὕδατος, πρῶτον μὲν ἀπορεῖ, πόθεν ὁ προσλαλῶν εὑρήσει τὸ ὕδωρ ὃ ἐπαγγέλλεται, μήτε ἄντλημα ἔχων καὶ τοῦ φρέατος ὄντος βαθέος· εἶτα καὶ συγκρίνειν ἐπιχειρεῖ τοῦτον πρὸς Ἰακώβ, ὃν καὶ πατέρα καλεῖ, σεμνολογοῦσα τὸ γένος ἀπὸ τοῦ τόπου, καὶ τὸ ὕδωρ ἐξαίρει τοῦ φρέατος, ὡς μὴ ἂν εὑρεθέντος καλλίονος· ὡς δὲ ἤκουσε τοῦ Κυρίου εἰπόντος, ὅτι τὸ ὕδωρ, ὃ ἐγὼ δώσω, πηγὴ γενήσεται τῷ λαβόντι πρὸς ζωὴν αἰώνιον ἁλλομένη, ψυχῆς μὲν ποθούσης ἀφῆκε ῥῆμα καὶ πρὸς πίστιν ἐναγομένης, μήπω δὲ δυνηθείσης πρὸς τὸ φῶς τρανῶς ἀναβλέψαι· «δός μοι», γάρ φησί, «Κύριε, τὸ ὕδωρ τοῦτο, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν»· ὁ δὲ Κύριος ἔτι κατὰ μικρὸν

11. Α' Κορ. 2,8.

έδριο τῶν Ἰουδαίων, πού ἐρώτησαν κι' ἔμαθαν σαφῶς, ἔπειτα ἐσταύρωσαν τόν Κύριο τῆς δόξης[11]; Ἀλλά ποιά εἶναι ἡ δωρεά τοῦ Θεοῦ; «διότι», λέγει, «ἄν ἐγνώριζες τή δωρεά τοῦ Θεοῦ». Γιά ν' ἀφήσωμε τά ἄλλα, καί μόνο τοῦτο, τό ὅτι ὁ ἐνανθρωπήσας Θεός δέν βδελύσσεται τούς θεωρουμένους ἀπό τούς Ἰουδαίους βδελυκτούς καί ἀκοινωνήτους ἀκόμη καί γιά ἕνα ποτήρι νερό, πόσο μεγάλη δωρεά καί χάρις δέν εἶναι; Τό δέ νά τούς θεωρῆ τόσο ἀγαπητούς, ὥστε ὄχι μόνο νά δέχεται τά διδόμενα ἀπό αὐτούς, ἀλλά νά μεταδίδη σ' ἐκείνους ἀπό τά ἴδια τά θεῖα χαρίσματά του (τί λέγω τά χαρίσματα; Διότι προσφέρει τόν ἑαυτό του καί καθιστᾶ τούς πιστούς σκεύη δεκτικά τῆς θεότητός του, ἀφοῦ, ὅπως προβλέποντας ἐπαγγέλλεται, δέν εἶναι δυνατό νά ἔχουν ἀλλιῶς μέσα τους πηγή, πού νά τρέχη στήν αἰώνια ζωή), ποιός νοῦς θά τό καταλάβη; Ποιός λόγος θά ἐκφράση τό ὑπερβάλλον τῆς δωρεᾶς;

8 Ἡ Σαμαρεῖτις, ἐπειδή δέν κατάλαβε ἀκόμη τό μεγαλεῖο τοῦ ζωντανοῦ ὕδατος, πρῶτα μέν ἀπορεῖ, ἀπό ποῦ θά εὕρη τό ὕδωρ πού ὑπόσχεται ὁ συνομιλητής, ἀφοῦ κουβᾶ δέν ἔχει καί τό πηγάδι εἶναι βαθύ. Ἔπειτα ἐπιχειρεῖ νά τόν συγκρίνη μέ τόν Ἰακώβ, τόν ὁποῖο ἀποκαλεῖ καί πατέρα, ἐξυμνώντας τό γένος ἀπό τόν τόπο, καί ἐξαίρει τό νερό τοῦ πηγαδιοῦ, μέ τή σκέψι ὅτι δέν μπορεῖ νά εὑρεθῆ καλύτερο ἀπό αὐτό. Ὅταν δέ ἄκουσε τόν Κύριο νά λέγη ὅτι «τό ὕδωρ πού θά σοῦ δώσω ἐγώ, θά γίνη γιά τόν δεχόμενο πηγή πού τρέχει πρός αἰώνια ζωή», ἄφησε λόγο ψυχῆς πού ποθεῖ καί ὁδηγεῖται πρός τήν πίστι, ἀλλά δέν μπόρεσε ἀκόμη νά κυττάξη καθαρά πρός τό φῶς· «δός μου», λέγει, «Κύριε, τό ὕδωρ τοῦτο, γιά νά μή διψῶ κι' οὔτε νά ἔρχωμαι ἐδῶ νά παίρνω». Ὁ δέ Κύριος, θέλοντας ἀκόμη νά ἀποκα-

ἑαυτὸν ἀνακαλύπτειν βουλόμενος προστάττει ταύτῃ καὶ τὸν ἄνδρα φωνῆσαι. Ὡς δ' ἐκείνη, καὶ κρύπτουσα τὰ κατ' αὐτὴν καὶ σπεύδουσα τὸ δῶρον λαβεῖν, ἔλεγεν οὐκ ἔχω ἄνδρα, πόσους οἰκείους ἐκ παιδὸς ἔσχεν ἀκούει καὶ νῦν ἐλέγχεται μὴ τὸν οἰκεῖον αὐτῆς ἔχειν ἄνδρα· καὶ πρὸς μὲν τὸν ἔλεγχον οὐ δυσχεραίνει, πάραυτα δὲ προφήτην ὄντα γνοῦσα τὸν προσλαλοῦντα μειζόνων ἅπτεται ζητημάτων.

9 Ὁρᾶτε τὸ μακρόθυμον ἅμα καὶ φιλομαθὲς τῆς γυναικὸς ὅσον; «Οἱ πατέρες» γάρ, φησίν, «ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν». Ὁρᾶτε οἵαν εἶχεν ἐν τῇ διανοίᾳ μελέτην καὶ πόσην εἶχε τῆς Γραφῆς εἴδησιν; Πόσοι νῦν τῶν ἐκ γενετῆς πιστῶν καὶ τῇ ἐκκλησίᾳ τροφίμων ἀγνοοῦσιν ὅπερ ἡ Σαμαρεῖτις ἠπίστατο, ὅτι οἱ πατέρες ἡμῶν, Ἰακὼβ δηλονότι καὶ οἱ ἐξ αὐτοῦ πατριάρχαι, ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν τῷ Θεῷ; Ταύτην τὴν γνῶσιν καὶ τὴν πρὸς ἐπίγνωσιν μελέτην τῆς θεοπνεύστου Γραφῆς ὡς ὁσμὴν εὐωδίας ὁ Χριστὸς προσιέμενος προσεκαρτέρει συντυγχάνων ἡδέως τῇ Σαμαρείτιδι. Καθάπερ γὰρ ἐπὶ τῶν ἀνθράκων ἂν μέν τι τῶν εὐόσμων ἐνθῇς, ἐπιστρέφεις καὶ παρακατέχεις τοὺς προσιόντας, ἂν δέ τι τῶν βαρυόσμων καὶ δυσωδῶν, ἀπωθῇ τούτους καὶ ἀποστρέφεις, οὕτω καὶ ἐπὶ τῆς διανοίας, ἂν μὲν ἱερὰν ἔχῃς μελέτην καὶ σπουδήν, ἐπισκοπῆς θείας ἄξιον ποιεῖς σεαυτόν, αὕτη γὰρ ἧς ὀσφραίνεται Κύριος ὀσμῆς εὐωδίας· ἂν δὲ πονηροὺς καὶ ρυπαροὺς καὶ γηΐνους ἔνδον τρέφῃς λογισμούς, μακρὰν γίνῃ τῆς θείας ἐπισκοπῆς, τῆς ἀποστροφῆς τοῦ Θεοῦ φεῦ ἄξιον σαυτὸν ἐργασάμενος! «Οὐ γὰρ παραμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου», πρὸς τὸν Θεόν φησιν ὁ ψαλμῳδὸς προφήτης. Τοῦ γὰρ νόμου διακελευομένου, «μνησθήσῃ

λύπτεται λίγο λίγο, τήν προστάσσει νά φωνάξη καί τόν ἄνδρα της. Καθώς δέ ἐκείνη, κρύβοντας τή διαγωγή της καί συγχρόνως σπεύδοντας νά πάρη τό δῶρο, ἔλεγε «δέν ἔχω ἄνδρα», ἀκούει πόσους ἄνδρες εἶχε δικούς της ἀπό παιδί καί ἐλέγχεται ὅτι τώρα ἔχει ἄνδρα πού δέν εἶναι δικός της· δέν στενοχωρεῖται ὅμως ἀπό τόν ἔλεγχο, ἀλλά ἀμέσως, ἀντιληφθεῖσα ὅτι εἶναι προφήτης ὁ συνομιλητής, ἐπιλαμβάνεται ὑψηλοτέρων ζητημάτων.

9 Βλέπετε πόση εἶναι ἡ μακροθυμία καί ἡ φιλομάθεια τῆς γυναικός; Διότι, λέγει, «οἱ πατέρες μας προσκύνησαν στό ὄρος τοῦτο καί σεῖς λέγετε ὅτι ὁ τόπος ὅπου πρέπει νά προσκυνοῦμε εἶναι στά Ἱεροσόλυμα». Βλέπετε πόση συλλογή εἶχε στήν διάνοιά της καί πόση γνῶσι τῆς Γραφῆς εἶχε; Πόσοι τώρα ἀπό τούς γεννημένους πιστούς καί τροφίμους τῆς Ἐκκλησίας ἀγνοοῦν ὅ,τι ἐγνώριζε ἡ Σαμαρεῖτις, ὅτι οἱ πατέρες μας, ὁ Ἰακώβ δηλαδή καί οἱ ἀπό αὐτόν πατριάρχες, προσκύνησαν τόν Θεό στό ὄρος τοῦτο; Αὐτήν τή γνῶσι καί τήν βαθειά μελέτη τῆς θεόπνευστης Γραφῆς δεχόμενος ὁ Χριστός σάν ὀσμή εὐωδίας, ἐπέμεινε συζητώντας εὐχαρίστως μέ τή Σαμαρείτιδα. Ὅπως δηλαδή, ἄν ἐπάνω στούς ἄνθρακες τοποθετήσης κάτι εὔοσμο, ἐπαναφέρεις καί συγκρατεῖς τούς πλησιάζοντας, ἄν ὅμως βάλης κάτι βαρύ καί δύσοσμο, τούς ἀπωθεῖς καί τούς ἀπομακρύνεις, ἔτσι καί στήν διάνοια· ἄν ἔχης ἱερά μελέτη καί σπουδή, καθιστᾶς τόν ἑαυτό του ἄξιον θείας ἐπιστασίας, διότι αὐτή εἶναι ἡ ὀσμή εὐωδίας πού ὀσφραίνεται ὁ Κύριος· ἄν ὅμως τρέφης μέσα πονηρούς καί ρυπαρούς καί γηίνους λογισμούς, ἀπομακρύνεσαι ἀπό τήν θεία ἐπιστασία, καθιστώντας τόν ἑαυτό σου ἄξιον τῆς ἀποστροφῆς, ἀλλοίμονο, τοῦ Θεοῦ. Διότι «δέν θά παραμείνουν παράνομοι ἀπέναντι στούς ὀφθαλμούς σου», λέγει πρός τόν Θεό ὁ ψαλμωδός προφήτης[12]. Ἀφοῦ ὁ νόμος διατάσσει «νά

12. Ψαλμ. 5,5.

διὰ παντὸς Κυρίου τοῦ Θεοῦ σου, καθήμενος καὶ πορευόμενος, κοιταζόμενος καὶ διανιστάμενος», καὶ τοῦ εὐαγγελίου λέγοντος, «ἐρευνᾶτε τὰς Γραφὰς» καὶ ἐν αὐταῖς εὑρήσετε ζωὴν τὴν αἰώνιον, καὶ τοῦ ἀποστόλου παραγγέλλοντος «ἀδιαλείπτως προσεύχεσθε», ὁ γηΐνοις λογισμοῖς ἐμβραδύνων παράνομός ἐστι πάντως· ὁ δὲ καὶ πονηροῖς καὶ ρυπαροῖς πόσῳ μᾶλλον;

10 Ἀλλὰ πότε τῷ Θεῷ προσεκύνησαν οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ; Ἠνίκα Ἰακὼβ ὁ πατριάρχης, τόν τε ἀδελφὸν φθονοῦντα φεύγων Ἡσαῦ καὶ ταῖς συμβουλαῖς τοῦ πατρὸς ὑπείκων Ἰσαάκ, πρὸς Μεσοποταμίαν ἀπῄει, καὶ ἡνίκα σὺν γυναιξὶν ἐκεῖθεν ἐπανῄει καὶ τέκνοις. Κατὰ γὰρ τὴν ἐπάνοδον σκηνὰς πηξαμένῳ περίπου τὸν τόπον τοῦτον, καθ' ὃν ὁ Κύριος ὡμίλει τῇ Σαμαρείτιδι, μετὰ τὰ κατὰ τὴν Δείναν καὶ τὴν ἅλωσιν τῶν Σικήμων, εἶπεν ὁ Θεὸς τῷ Ἰακώβ, ὡς ἐν τῇ Γενέσει γέγραπται· «ἀναστὰς ἀνάβηθι εἰς Βαιθήλ, καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ Θεῷ, τῷ ὀφθέντι σοι ἐν τῷ ἀποδιδράσκειν σε ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ σου». Καὶ μετὰ τὸ ῥῆμα τοῦτο, μεταναστὰς ὁ Ἰακώβ, ἀνέβη εἰς τὸ παρακείμενον ὄρος καὶ ᾠκοδόμησε, φησίν, ἐκεῖ θυσιαστήριον καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ· ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ Θεός. Διὰ τοῦτό φησιν ἡ Σαμαρεῖτις ὅτι οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, τῶν ἀρχαίων ἐκείνων ἀντεχομένη· τὰ γὰρ κατὰ τὸν ἐν Ἱεροσολύμοις ναὸν ὕστερον ἐνομοθετήθη. Καὶ ἐπειδή περ ὁ τόπος ἐκεῖνος οἶκος Θεοῦ ἐκλήθη παρὰ τοῦ Ἰακώβ, τοῦτο γὰρ ἑρμηνευόμενον δηλοῖ τὸ Βαιθήλ, διαπορεῖ ποθοῦσα μαθεῖν, πῶς οὐκ ἐκεῖ μᾶλλον, ἀλλ' ἐν Ἱεροσολύμοις εἶναι λέγετε ὁ οἶκος τοῦ Θεοῦ, ἐν ᾧ θύειν καὶ προσκυ-

13. Δευτ. 6,7.

μνημονεύης διαπαντός τόν Κύριο τόν Θεό σου, ὅταν κάθεσαι καί ὅταν βαδίζης, ὅταν εἶσαι ξαπλωμένος καί ὅταν εἶσαι ὄρθιος»[13], τό δέ εὐαγγέλιο λέγει, «ἐρευνᾶτε τίς Γραφές», διότι σ' αὐτές θά εὑρῆτε ζωή αἰώνια[14], καί ὁ ἀπόστολος παραγγέλλει, «νά προσεύχεσθε ἀδιαλείπτως»[15], αὐτός πού ἀσχολεῖται ἐπίμονα μέ γηίνους λογισμούς εἶναι ὁπωσδήποτε παράνομος, πολύ περισσότερο αὐτός πού ἀσχολεῖται μέ πνηρούς καί ρυπαρούς.

10 Ἀλλά πότε προσκύνησαν τόν Θεό σ' αὐτό τό ὄρος οἱ πατέρες μας; Ὅταν ὁ πατριάρχης Ἰακώβ, ἀποφεύγοντας τόν φοβερό ἀδελφό του Ἠσαῦ καί πειθαρχώντας στίς συμβουλές τοῦ πατρός Ἰσαάκ, ἀνεχώρησε πρός τή Μεσσοποταμία καί ὅταν ἐπανῆλθε ἀπό ἐκεῖ μέ γυναῖκες καί τέκνα. Κατά τήν ἐπάνοδο, ὅταν ὁ Ἰακώβ ἔπηξε σκηνές σ' αὐτόν περίπου τόν τόπο, ὅπου ὡμιλοῦσε ὁ Κύριος μέ τήν Σαμαρείτιδα, μετά τό ἐπεισόδιο τῆς Δείνας καί τήν ἅλωσι τῶν Σικήμων, τοῦ εἶπε ὁ Θεός, ὅπως γράφεται στή Γένεσι· «σήκω καί πήγαινε στήν Βαιθήλ καί κατασκεύασε ἐκεῖ θυσιαστήριο στόν Θεό πού σοῦ ἐμφανίσθηκε ὅταν ἀπέδρασες ἀπό τήν παρουσία τοῦ ἀδελφοῦ σου Ἠσαῦ»[16]. Μετά τά λόγια αὐτά ὁ Ἰακώβ ἐσηκώθηκε καί ἀνέβηκε στό παρακείμενο ὄρος καί οἰκοδόμησε ἐκεῖ, λέγει, θυσιαστήριο καί ἐκάλεσε τό ὄνομα τοῦ τόπου Βαιθήλ· διότι ἐκεῖ τοῦ ἐμφανίσθηκε ὁ Θεός. Γι' αὐτό λέγει ἡ Σαμαρεῖτις ὅτι οἱ πατέρες μας προσκύνησαν στό ὄρος τοῦτο, ἀκολουθώντας τούς ἀρχαίους ἐκείνους· διότι οἱ σχετικές διατάξεις γιά τόν ναό τῶν Ἱεροσολύμων ἐνομοθετήθηκαν ὕστερα. Καί ἐπειδή βέβαια ὁ τόπος ἐκεῖνος ὠνομάσθηκε ἀπό τόν Ἰακώβ οἶκος Θεοῦ, διότι τοῦτο σημαίνει τό ὄνομα Βαιθήλ ἑρμηνευόμενο, αὐτή ἀπορεῖ ποθώντας νά μάθη, πῶς δέν λέγετε ὅτι ἐκεῖ εἶναι μᾶλλον ὁ οἶκος τοῦ Θεοῦ, ἀλλά στά Ἱεροσόλυμα, ὅπου νομίζετε ὅτι πρέπει νά θυσιάζετε

14. Ἰω. 5,39.
15. Α΄ Θεσσ. 5,17.
16. Γεν. 35,1.

νεῖν τῷ Θεῷ νομίζετε. Ὁ δὲ Κύριος καὶ τὸν σκοπὸν τῶν οἰκείων λόγων ἤδη περαίνων καὶ περὶ τῆς γυναικὸς προφητεύων, ὅτι τοιαύτη ἔσται οἵαν ὁ Θεὸς ζητεῖ τε καὶ ἀποδέχεται, καὶ πρὸς τοὺς αὐτῆς λόγους ἀποκρινόμενος, «πίστευσόν μοι, γύναι», φησίν, «ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί»· καὶ μετ' ὀλίγα, «τοιούτους γὰρ ὁ Θεὸς ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν».

11 *Ὁρᾶτε ὅτι καὶ περὶ αὐτῆς διατείνεται, ὅτι τοιαύτη ἔσται οἵαν ὁ Θεὸς ζητεῖ καὶ ὅτι προσκυνήσει τῷ ἀνωτάτῳ Πατρὶ μὴ τοπικῶς, ἀλλ' εὐαγγελικῶς (πρὸς αὐτὴν γὰρ ὁ λόγος, ὅτι οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί), ἅμα δὲ καὶ τὴν τοῦ νόμου μετάθεσιν φανερῶς αὐτῇ προαγγέλλει; Μετατιθεμένης γὰρ τῆς προσκυνήσεως, ἐξ ἀνάγκης καὶ τοῦ νόμου μετάθεσις ἔσται.*

12 *Ἀλλὰ καὶ τὸ μεταξὺ κείμενον «ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί», πρὸς μὲν τὸν ἐκείνης λόγον ὡς ἀπόκρισίς ἐστιν, ἅμα δὲ καὶ τοῖς οἰκείοις λόγοις ἐστὶν ἀκόλουθον. Τοῦτο γάρ, φησίν, ὡς ἡμεῖς οἱ Ἰουδαῖοι (συντάττει γὰρ καὶ ἑαυτὸν ἐκείνοις, ὡς ἐξ ἐκείνων ὄντα κατὰ σάρκα)· ἡμεῖς οὖν, φησίν, οἱ μὴ καταψευδόμενοι τοῦ ὀνόματος, ἀλλ' ἐπιγινώσκοντες τὰ ἡμέτερα, τοῦτο κατὰ τὴν προσκύνησιν ὑμῶν τῶν Σαμαρειτῶν διαφέρομεν, ὅτι γινώσκομεν διὰ τοῦτο τὴν προσκύνησιν ἐν Ἰουδαίᾳ τελεῖσθαι νομιζομένην, ὅτι ἐκ τῶν Ἰουδαίων ἡ σωτηρία παντὸς τοῦ κόσμου, τουτέστιν ὁ Χριστὸς ἐλεύσεται. Ὅτι δὲ οὐκέτι μέλλει, αὐτὸς γὰρ ἦν, οὐκ εἶπεν ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἔσται, ἀλλ' ὅτι ἐστίν. «Ἀλλ' ἔρχεται», φησίν, «ὥρα*

καί νά προσκυνῆτε τόν Θεό. Ὁ δέ Κύριος, ὁλοκληρώνοντας ἤδη τόν σκοπό τῶν λόγων του καί προφητεύοντας περί τῆς γυναικός, ὅτι θά εἶναι τέτοια καθώς τήν ζητεῖ καί τήν δέχεται ὁ Θεός, καί ἀποκρινόμενος πρός τούς λόγους της λέγει, «γυναῖκα, πίστευσέ με, ὅτι ἔρχεται ὥρα, ὁπότε οὔτε στό ὄρος τοῦτο οὔτε στά Ἱεροσόλυμα θά προσκυνῆτε τόν Πατέρα», καί ἔπειτα ἀπό λίγο, «τέτοιους ζητεῖ ὁ Θεός αὐτούς πού τόν προσκυνοῦν».

11 Βλέπετε ὅτι καί γι' αὐτήν βεβαιώνει ὅτι θά γίνη τέτοια, ὅπως τήν θέλει ὁ Θεός, καί ὅτι θά προσκυνῆ τόν Ὕψιστο Πατέρα, ὄχι τοπικῶς ἀλλά εὐαγγελικῶς (διότι πρός αὐτήν ἀπευθύνεται ὁ λόγος ὅτι οὔτε στό ὄρος τοῦτο οὔτε στά Ἱεροσόλυμα θά προσκυνῆτε τόν Πατέρα), συγχρόνως δέ προαναγγέλλει σ' αὐτήν φανερά καί τήν μετάθεσι τοῦ νόμου; Διότι, ἀφοῦ θά μετατεθῆ ἡ προσκύνησις, ἀναγκαίως θά γίνη μετάθεσις καί τοῦ νόμου.

12 Ἀλλά καί τό ἐνδιάμεσο κείμενο «σεῖς προσκυνεῖτε ὅ,τι δέν γνωρίζετε, ἐμεῖς προσκυνοῦμε, ὅ,τι γνωρίζομε, ὅτι ἡ σωτηρία εἶναι ἀπό τούς Ἰουδαίους», εἶναι ἀπόκρισις πρός τόν λόγο ἐκείνης, ἀλλά συγχρόνως ἀποτελεῖ συνέπεια τῶν λόγων του. Διότι λέγει ὅτι κατά τοῦτο ἐμεῖς οἱ Ἰουδαῖοι (διότι τοποθετεῖ καί τόν ἑαυτό του μ' ἐκείνους, ἀφοῦ κατά σάρκα εἶναι ἀπό ἐκείνους)· ἐμεῖς λοιπόν, λέγει, πού δέν διαψεύδομε τό ὄνομα, ἀλλά γνωρίζομε τά ἰδικά μας, κατά τοῦτο διαφέρομε στήν προσκύνησι ἀπό σᾶς τούς Σαμαρεῖτες, ὅτι γνωρίζομε πῶς ὁρίζεται νά τελῆται στήν Ἰουδαία ἡ προσκύνησις γιά τόν λόγο ὅτι ἀπό τούς Ἰουδαίους θά προέλθη ἡ σωτηρία ὅλου τοῦ κόσμου, δηλαδή θά ἔλθη ὁ Χριστός. Ἐπειδή δέ δέν πρόκειται νά ἔλθη στό μέλλον, διότι ἦταν αὐτός ὁ ἴδιος, δέν εἶπε ὅτι ἡ σωτηρία θά εἶναι ἀπό τούς Ἰουδαίους, ἀλλ' ὅτι εἶναι. «Ἀλλά ἔρχεται ὥρα», λέγει,

καὶ νῦν ἐστι». Καὶ ταῦτα προφητικά· τὸ μὲν γὰρ ἔρχεται, ὅτι οὔπω ἐτελέσθη, τελεσθήσεται δέ, τὸ δὲ νῦν ἐστιν, ἐπειδή περ ἑώρα ταύτην ὅσον οὔπω πιστεύουσαν, καὶ πνευματικῶς καὶ ἀληθῶς προσκυνοῦσαν. «Ἔρχεται οὖν», φησίν, «ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ»· ὁ γὰρ ἀνωτάτω καὶ προσκυνητὸς Πατήρ, Πατὴρ αὐτοαληθείας ἐστί, δηλονότι τοῦ μονογενοῦς Υἱοῦ, καὶ Πνεῦμα ἀληθείας ἔχει, τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οἱ ἐν αὐτοῖς τοῦτον προσκυνοῦντες, καὶ ὡς οὕτω πιστεύοντες καὶ ὡς διὰ τούτων ἐνεργούμενοι. Τὸ Πνεῦμα γάρ ἐστι, φησὶν ὁ ἀπόστολος, δι' οὗ προσκυνοῦμεν καὶ δι' οὗ προσευχόμεθα, καὶ «οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰμὴ δι' ἐμοῦ», ὁ τοῦ Θεοῦ μονογενὴς φησιν.

13 Οἱ οὖν οὕτως ἐν πνεύματι καὶ ἀληθείᾳ τὸν ἀνωτάτω Πατέρα προσκυνοῦντες, οὗτοί εἰσιν οἱ ἀληθινοὶ προσκυνηταί. Ἐπεὶ δὲ καὶ τὰ Ἱεροσόλυμα καὶ τὴν Σαμάρειαν ἐξέβαλεν, ἵνα μή τις νομίσῃ τόπον ἕτερον ἀντεισαχθήσεσθαι μέλλειν, διὰ τῶν ἑξῆς ἀπάγει πάλιν τὸν ἀκροώμενον πάσης σωματικῆς ἐννοίας καὶ τόπου καὶ προσκυνήσεως, «Πνεῦμα», λέγων, «ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν», τουτέστιν ἐκτὸς σωμάτων πάντῃ τὸν ἀσώματον ἐννοοῦντας· οὕτω γὰρ καὶ ἀληθῶς ὄψονται τοῦτον πανταχοῦ ἐν τῷ πνεύματι καὶ τῇ ἀληθείᾳ αὐτοῦ. Ὡς μὲν γὰρ πνεῦμα ὑπάρχων ὁ Θεὸς ἀσώματός ἐστι, τὸ δὲ ἀσώματον οὐκ ἐν τόπῳ ἐστίν, οὐδὲ τοπικοῖς ὅροις περιγράφεται. Οὐκοῦν ὁ λέγων ἐν

17. Βλ. Ρωμ. 8,26.

«καί εἶναι τώρα». Καί αὐτά εἶναι προφητικά· τό ἔρχεται χρησιμοποιήθηκε διότι δέν ἐτελέσθηκε ἀκόμη, ἀλλά θά τελεσθῆ, τό δέ «τώρα εἶναι», χρησιμοποιήθηκε ἐπειδή τήν ἔβλεπε ἕτοιμη νά πιστεύση σύντομα καί νά προσκυνῆ πνευματικῶς καί ἀληθῶς· «ἔρχεται λοιπόν», λέγει, «ὥρα, καί τώρα ἀκριβῶς εἶναι, ὁπότε οἱ ἀληθινοί προσκυνηταί θά προσκυνοῦν τόν Πατέρα κατά Πνεῦμα καί ἀλήθεια»· διότι ὁ ὕψιστος καί προσκυνητός Πατήρ, εἶναι Πατήρ αὐτοαληθείας, δηλαδή τοῦ μονογενοῦς Υἱοῦ, καί ἔχει Πνεῦμα ἀληθείας, τό Πνεῦμα τό ἅγιον, καί αὐτοί πού τόν προσκυνοῦν κατ' αὐτούς, τό πράττουν διότι ἔτσι πιστεύουν καί διότι ἐνεργοῦνται δι' αὐτῶν. Διότι, λέγει ὁ ἀπόστολος, τό Πνεῦμα εἶναι αὐτό διά τοῦ ὁποίου προσκυνοῦμε καί διά τοῦ ὁποίου προσευχόμαστε[17], καί «κανείς δέν ἔρχεται πρός τόν Πατέρα παρά μόνο δι' ἐμοῦ», λέγει ὁ μονογενής Υἱός τοῦ Θεοῦ[18].

13 Αὐτοί λοιπόν πού προσκυνοῦν ἔτσι κατά τό Πνεῦμα καί τήν ἀλήθεια τόν ὕψιστο Πατέρα, αὐτοί εἶναι οἱ ἀληθινοί προσκυνηταί. Ἀφοῦ δέ ἐξέβαλε καί τά Ἱεροσόλυμα καί τήν Σαμάρεια, γιά νά μή νομίση κανείς ὅτι πρόκειται νά εἰσαχθῆ ἀντί γι' αὐτά ἄλλος τόπος, στήν συνέχεια ἀπομακρύνει πάλι τόν ἀκροατή ἀπό κάθε σωματική ἔννοια καί τόπο καί προσκύνησι, λέγοντας, «Πνεῦμα εἶναι ὁ Θεός, καί αὐτοί πού τόν προσκυνοῦν πρέπει νά προσκυνοῦν κατά Πνεῦμα καί ἀλήθεια», δηλαδή ἐννοώντας τόν ἀσώματο ἐντελῶς ἔξω ἀπό σώματα· διότι ἔτσι θά τόν ἰδοῦν καί ἀληθινῶς παντοῦ μέσα στό Πνεῦμα καί τήν Ἀλήθειά του. Ὡς πνεῦμα δηλαδή πού εἶναι ὁ Θεός εἶναι ἀσώματος, τό δέ ἀσώματο δέν εὑρίσκεται σέ τόπο οὔτε περιγράφεται μέ τοπικά ὅρια. Ἑπομένως αὐτός πού λέγει ὅτι ὁ Θεός πρέπει νά προσκυ-

18. Ἰω. 14,6.

τοῖς ὁρίοις μόνοις τῶν Ἱεροσολύμων ἢ τοῦ τῆς Σαμαρείας ὄρους ἢ ἐν ἄλλῳ τινὶ τῶν ἁπανταχοῦ γῆς καὶ οὐρανοῦ τόπων δεῖν προσκυνεῖσθαι τὸν Θεόν, οὐκ ἀληθῶς φησιν, οὐδ' ἀληθῶς προσκυνεῖ. Ἀλλ' ὡς μὲν ἀσώματος ὁ Θεὸς οὐδαμοῦ, ὡς δὲ Θεὸς πανταχοῦ· εἰ γάρ ἐστιν ὅρος ἢ τόπος ἢ κτίσις, οὗ μή ἐστιν ὁ Θεός, πάλιν εὑρεθήσεται περιγραφόμενος ἔν τινι· πανταχοῦ οὖν καὶ ἐν πᾶσιν ὁ Θεός. Πῶς οὖν πανταχοῦ καὶ ἐν πᾶσιν, ὡς οὐχ ὑπὸ μέρους, ἀλλ' ὑπὸ τοῦ παντὸς περιεχόμενος; οὔμενον· σῶμα γὰρ ἔσται πάλιν. Οὐκοῦν, ὡς τὸ πᾶν καὶ συνέχων καὶ περιέχων, αὐτός ἐστιν ἐν ἑαυτῷ πανταχοῦ τε καὶ ὑπὲρ τὸ πᾶν, προσκυνούμενος παρὰ τῶν ἀληθινῶν προσκυνητῶν ἐν τῷ πνεύματι καὶ τῇ ἀληθείᾳ αὐτοῦ.

14 Πανταχοῦ τοίνυν ὁ Θεός, οὐ τῆς γῆς μόνον ἀλλὰ καὶ τῶν ὑπὲρ γῆν, προσκυνηθήσεται παρὰ τῶν οὕτω πιστευόντων ἀληθῶς τε καὶ θεοπρεπῶς, Πατὴρ ἀσώματος καὶ κατὰ χρόνον καὶ τόπον ἀόριστος, ἐν ἁγίῳ καὶ ἀϊδίῳ Πνεύματι καὶ Υἱῷ καὶ Λόγῳ συνανάρχῳ, ὅς ἐστιν ἡ ἐνυπόστατος τοῦ Πατρὸς ἀλήθεια. Ἀλλὰ καὶ ψυχὴ καὶ ἄγγελος ἀσώματα ὄντα, οὐκ ἐν τόπῳ ἐστίν, ἀλλ' οὐχὶ καὶ πανταχοῦ ἐστιν· οὐ γὰρ συνέχουσι τὸ πᾶν, ἀλλὰ καὶ αὐτὰ δεῖται τοῦ συνέχοντος, οὐκοῦν καὶ αὐτὰ ἐν τῷ συνέχοντι καὶ περιέχοντι τὸ πᾶν, ὑπ' αὐτοῦ καταλλήλως ὁριζόμενα. Ἡ μέντοι ψυχή, συνέχουσα τὸ σῶμα ᾧ καὶ συνεκτίσθη, πανταχοῦ τοῦ σώματός ἐστιν, οὐχ ὡς ἐν τόπῳ, οὐδ' ὡς περιεχομένη, ἀλλ' ὡς συνέχουσά τε καὶ περιέχουσα τὸ σῶμα, κατ' εἰκόνα καὶ τοῦτ' ἔχουσα Θεοῦ.

15 Ἡ δὲ Σαμαρεῖτις ὡς ἤκουσε παρὰ Χριστοῦ τῶν ἐξαισίων τούτων καὶ θεοπρεπῶν φωνῶν, ὡς ὁ Θεὸς οὐδαμοῦ κατ' ἀλήθειαν προσκυνητός ἐστιν, εἰμὴ ἐν τῷ πνεύματι καὶ τῇ ἀληθείᾳ αὐτοῦ, κα-

νῆται μόνο στά ὅρια τῶν Ἱεροσολύμων ἤ τοῦ ὄρους τῆς Σαμαρείας ἤ σέ κάποιον ἄλλο ἀπό τούς πανταχοῦ στή γῆ καί τόν οὐρανό τόπους, δέν ὁμιλεῖ ἀληθῶς οὔτε προσκυνεῖ ἀληθῶς. Ἀλλά ὡς ἀσώματος ὁ Θεός δέν εἶναι πουθενά, ὡς Θεός δέν εἶναι πανταχοῦ· ἐάν ὑπάρχη ὄρος ἤ τόπος ἤ κτιστό πρᾶγμα, ὅπου δέν ὑπάρχει ὁ Θεός, πάλι θά εὑρεθῆ νά περιγράφεται σέ κάτι· εἶναι λοιπόν πανταχοῦ καί σέ ὅλα ὁ Θεός. Πῶς λοιπόν πανταχοῦ καί σέ ὅλα; Ὡς περιεχόμενος ὄχι ἀπό μέρος ἀλλά ἀπό τό σύμπαν; Ὄχι βέβαια, διότι πάλι θά εἶναι σῶμα. Ἐπομένως, ὡς συνέχων καί περιέχων τό πᾶν, αὐτός εἶναι στόν ἑαυτό του, πανταχοῦ καί ἐπάνω ἀπό τό σύμπαν, προσκυνούμενος ἀπό τούς ἀληθινούς προσκυνητάς κατά τό Πνεῦμα καί τήν Ἀλήθειά του.

14 Πανταχοῦ λοιπόν, ὄχι μόνο τῆς γῆς ἀλλά καί τῶν ὑπεράνω τῆς γῆς, θά προσκυνηθῆ ὁ Θεός ἀπό τούς ἔτσι πιστεύοντας ἀληθῶς καί θεοπρεπῶς, Πατήρ ἀσώματος καί κατά τόν χρόνο καί τόπο ἀόριστος, στό ἅγιο καί ἄϊδιο Πνεῦμα καί στόν συνάναρχο Υἱό καί Λόγο, πού εἶναι ἡ ἐνυπόστατη ἀλήθεια τοῦ Πατρός. Βέβαια καί ἡ ψυχή καί ὁ ἄγγελος εἶναι ἀσώματα, δέν εἶναι σέ τόπο, ἀλλά δέν εἶναι πανταχοῦ, διότι δέν συνέχουν τό σύμπαν ἀλλά αὐτά ἔχουν ἀνάγκη τοῦ συνέχοντος, ἐπομένως καί αὐτά εἶναι στόν συνέχοντα καί περιέχοντα τό σύμπαν, ὁριζόμενα ἀπό αὐτόν καταλλήλως. Ἡ ψυχή ὅμως, συνέχοντας τό σῶμα μέ τό ὁποῖο ἐκτίσθηκε μαζί, εἶναι πανταχοῦ τοῦ σώματος, ὄχι ὡς εὑρισκομένη σέ τόπο οὔτε ὡς περιεχομένη στό σῶμα, ἀλλά ὡς συνέχουσα καί περιέχουσα αὐτό, ἀφοῦ ἔχει καί τοῦτο κατ' εἰκόνα Θεοῦ.

15 Ἡ δέ Σαμαρεῖτις, καθώς ἄκουσε ἀπό τόν Χριστό αὐτά τά ἐξαίσια καί θεοπρεπῆ λόγια, ὅτι ὁ Θεός πουθενά δέ πρέπει νά προσκυνῆται ἀληθινά, παρά μόνο κατά τό Πνεῦμα καί τήν Ἀλή-

θάπερ ἡ ἐν τοῖς ᾄσμασι τῶν ᾀσμάτων νυμφευομένη τῷ Θεῷ ψυχή, τῇ φωνῇ τοῦ νυμφίου τῆς ἀφθαρσίας ἀναπτερωθεῖσα, τοῦ προσδοκωμένου καὶ ποθουμένου καὶ λεληθότως ἔτι παρόντος ποιεῖται μνείαν λέγουσα· «οἶδα ὅτι Μεσσίας ἔρχεται, ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος ἀναγγελεῖ ἡμῖν πάντα». Ὁρᾶτε πῶς ἦν ἑτοιμοτάτη πρὸς πίστιν, ὡς ἐγγίζοντος ἤδη τοῦ προσδοκωμένου, καὶ λίαν εὔελπις; Ἆρ' οὐχὶ καὶ ταύτης ἦν λέγειν μετὰ τοῦ Δαβίδ, «ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλλῶ ἐν τῇ δόξῃ μου»;

16 Πόθεν δὲ καὶ τοῦτο βεβαίως οὕτως ᾔδει καὶ ἀσφαλῶς καὶ τὴν ἐκ ψυχῆς εἶχε πρὸς αὐτὸ διάθεσιν, εἰ μὴ μετὰ συνέσεως ἀκροτάτης τὰς προφητικὰς ἐξεμελέτησε βίβλους; Ἐντεῦθεν καὶ τὸν νοῦν οὕτω μετάρσιον εἶχε, τῆς θείας ἔμπλεως γεγονότα κατοχῆς· ὡς ἐμοὶ νῦν ἀγαμένως ὁρῶντι τὸν τῆς Σαμαρείτιδος ταύτης πρὸς Χριστὸν πνευματικόν τε καὶ σφοδρὸν πόθον, ἐπέρχεται περὶ αὐτῆς πάλιν τὰ τοῦ ᾄσματος ἐκείνου λέγειν, «τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ὁ ἥλιος;». Τῷ μὲν γὰρ ἐπαγγέλλεσθαι μετ' ὀλίγον ἐπιφανήσεσθαι τὸν τῆς δικαιοσύνης νοητὸν ἥλιον Χριστὸν καὶ τῷ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν δι' αὐτῆς ἀρχομένην ὑποφαίνειν ὡς ἐξ ἱερᾶς ἀνίσχουσαν κολυμβήθρας τῆς πηγῆς, ἐφ' ἧς εἱστήκει, καθάπερ κατηχουμένη παρὰ τοῦ Σωτῆρος, ὁρῶ ταύτην ἐκκύπτουσαν ὡς πολυέραστον ὄρθρον. Καλὴ δέ ἐστιν ὡσεὶ σελήνη, ἐπειδὴ φαίνει, τῆς νυκτὸς ἔτι τῆς ἀσεβείας ἐπικρατούσης· ἐκλεκτὴ δὲ ὡς ὁ ἥλιος, ἅ τε καὶ Φωτεινὴ παρὰ τοῦ Σωτῆρος ὠνομασμένη καὶ τοῦ καταλόγου καὶ αὕτη τετελεσμένη τῶν μελλόντων ὡς ἥλιος λάμψειν κατὰ τὸ εὐαγγέλιον, ἐπεὶ καὶ μακαριωτάτῳ καὶ μαρτυρικῷ τέλει τὸν ἑξῆς

θειά του, ὅπως ἡ στό Ἆσμα τῶν Ἀσμάτων ψυχή πού νυμφεύεται τόν Θεό, ἀναπτερωμένη ἀπό τή φωνή τοῦ νυμφίου τῆς ἀφθαρσίας, μνημονεύει τόν προσδοκώμενο καί ποθούμενο καί, κρυφά ἀκόμη, παρόντα νυμφίο, λέγοντας· «γνωρίζω ὅτι ὁ Μεσσίας, ὁ λεγόμενος Χριστός, ἔρχεται· ὅταν ἔλθη ἐκεῖνος θά μᾶς τά διδάξη ὅλα». Βλέπετε πῶς ἦταν ἑτοιμοτάτη γιά τήν πίστι, ὅτι πλησιάζει ἤδη ὁ προσδοκώμενος, καί γεμάτη ἐλπίδα; Ἆρα δέν ἐταίριαζε νά εἰπῆ καί αὐτή κατά τόν Δαβίδ, «ἕτοιμη εἶναι ἡ καρδιά μου, Θεέ, ἕτοιμη εἶναι ἡ καρδιά μου, θά τραγουδήσω καί θά ψάλω κατά τήν δόξα μου»;[19].

16 Ἀπό ποῦ θά ἐγνώριζε τοῦτο μέ τόση βεβαιότητα καί ἀσφάλεια καί θά εἶχε τήν ψυχική διάθεσι γι' αὐτό, ἄν δέν εἶχε μελετήσει τά προφητικά βιβλία μέ ἄκρα σύνεσι; Γι' αὐτό εἶχε καί τόν νοῦ τόσο μετάρσιο, ἀφοῦ εἶχε γεμίσει ἀπό τήν θεία κατοχή· ὥστε ἐμένα, καθώς βλέπω τώρα μέ χαρά τόν σφοδρό πνευματικό πόθο τῆς Σαμαρείτιδος αὐτῆς πρός τόν Χριστό, μοῦ ἔρχεται νά εἰπῶ πάλι γι' αὐτήν τά λόγια τοῦ Ἄσματος ἐκείνου, «ποιά εἶναι αὐτή πού προβάλλει σάν ἡ αὐγή, ὡραία σάν ἡ σελήνη, ἐκλεκτή σάν ὁ ἥλιος;»[20]. Διότι, ἀφοῦ ἐξαγγέλλει ὅτι σέ λίγο θά φανῆ ὁ νοητός ἥλιος τῆς δικαιοσύνης Χριστός καί ὑποδηλώνει ὅτι δι' αὐτῆς ἀρχίζει ἡ Ἐκκλησία τῶν ἐθνῶν, σάν νά ἀνεβαίνη ἀπό ἱερά κολυμβήθρα, τήν πηγή ἐπάνω στήν ὁποία ἐστεκόταν, καθώς κατηχεῖτο ἀπό τόν Σωτῆρα, τήν βλέπω νά προβάλλη σάν πολυέραστος ὄρθρος. Εἶναι δέ ὡραία σάν ἡ σελήνη, ἐπειδή φέγγει, ἄν καί ἐπικρατεῖ ἡ νύκτα τῆς ἀσεβείας ἀκόμη· ἐκλεκτή δέ σάν ὁ ἥλιος, γι' αὐτό ὠνομάσθηκε Φωτεινή ἀπό τόν Σωτῆρα καί καταγράφηκε καί αὐτή στόν κατάλογο τῶν μελλόντων νά λάμψουν σάν ὁ ἥλιος κατά τό εὐαγγέλιο, ἐπειδή ἐπε-

19. Ψαλμ. 56,8.
20. Ἆσμα 6,10.

φωτοειδῆ βίον ἐπεσφραγίσατο, καὶ νῦν δὲ Θεὸν οἶδεν ἀληθῆ τὸν Χριστὸν καὶ τελέως τοῦτον ἐθεολόγησε, καὶ ὅπερ αὐτὸς τοῖς μαθηταῖς εἶπεν ὕστερον περὶ τοῦ συμφυοῦς καὶ ὁμοτίμου Πνεύματος, ὡς ὅταν ἔλθῃ ἐκεῖνος διδάξῃ πᾶσαν τὴν ἀλήθειαν, τοῦτο καὶ αὕτη προλαβοῦσα περὶ αὐτοῦ φησιν, «ὅταν ἔλθῃ ἐκεῖνος ἀναγγελεῖ ἡμῖν πάντα».

17 Ἀλλ' ὡς εἶδε τοιαύτην οὖσαν ὁ νοητὸς νυμφίος Χριστός, ἀπερικαλύπτως πρὸς αὐτήν φησιν, «ἐγώ εἰμι ὁ λαλῶν σοι». Ἡ δὲ εὐθέως ὡς ἐκλεκτὴ ὄντως εὐαγγελίστρια γίνεται καὶ τὴν ὑδρίαν ἀφεῖσα καὶ πρὸς τὴν πόλιν δραμοῦσα πάντας ἐπιστρέφει τοῖς λόγοις καὶ πρὸς πίστιν τοῦ ὀφθέντος ἐνάγει, «δεῦτε ἴδετε», λέγουσα, «ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα· μή τοι οὗτός ἐστιν ὁ Χριστός;». Οὕτω δέ φησιν, οὐκ ἀμφιβολίαν αὐτὴ κεκτημένη τινά, πληροφορηθήσεσθαι δὲ μᾶλλον ἐκ τῆς θέας καὶ διὰ τῆς πρὸς τὸν Κύριον ὁμιλίας εὐχερέστερον ἀναπεισθῆσεσθαι καὶ τοὺς ἄλλους πιστεύουσα, καθάπερ καὶ διὰ τῶν ἔργων ἐξέβη.

18 Ἐγὼ δὲ καὶ τοῖς προειρημένοις συνοπτικώτερον ἐχρησάμην καὶ τὰ ἑξῆς τῶν εὐαγγελικῶν ῥημάτων ἀρτίως παρίημι, τὴν ὥραν ἐπὶ τὰς τοῦ σώματος χρείας καὶ τὰ ἔργα τοῦ βίου κατεπείγουσαν ὑμᾶς ὁρῶν. Ἀλλ' ὑμεῖς σκοπεῖτε τὴν Σαμαρείτιδα ταύτην· ὡς γὰρ ἤκουσε τῶν εὐαγγελικῶν λόγων, οὓς καὶ ἡμεῖς ἐξαγγέλλομεν πρὸς τὴν ὑμετέραν ἀγάπην, εὐθὺς καὶ τῶν ἀναγκαιοτάτων τοῦ σώματος κατεφρόνησεν· ἀφῆκε γὰρ πάραυτα καὶ τὴν ὑδρίαν καὶ τὴν οἰκίαν, καὶ εἰς τὴν πόλιν δραμοῦσα καὶ τοὺς Σαμαρείτας ἐπισπασαμένη, σὺν αὐτοῖς πάλιν ἐπανῆλθε πρὸς τὸν Χριστόν· τὸ γάρ, «δεῦτε ἴδετε»,

σφράγισε τόν ὑπόλοιπο φωτοειδῆ βίο της μέ μακάριο καί μαρτυρικό τέλος, καί τώρα δέ ἀνεγνώρισε τόν Χριστό ὡς ἀληθινό Θεό καί τόν ἐξύμνησε τελείως ὡς Θεό, καί ὅ,τι εἶπε αὐτός ὕστερα στούς μαθητάς πέρί τοῦ συμφυοῦς καί ὁμοτίμου Πνεύματος, ὅτι, ὅταν ἔλθη ἐκεῖνος, θά διδάξη ὅλη τήν ἀλήθεια, τοῦτο λέγει προλαβαίνοντας καί αὐτή περί αὐτοῦ, «ὅταν ἔλθη ἐκεῖνος θά μᾶς τά διδάξη ὅλα»[21].

17 Ἀλλά μόλις τήν εἶδε νά εἶναι τέτοιας λογῆς ὁ νοητός νυμφίος Χριστός, λέγει πρός αὐτήν ἀπροκαλύπτως, «ἐγώ εἶμαι πού σοῦ ὁμιλῶ». Ἐκείνη δέ γίνεται ἀμέσως ἐκλεκτή πραγματικά εὐαγγελίστρια καί ἀφήνοντας τήν ὑδρία καί τρέχοντας πρός τήν πόλι τούς πείθει μέ τά λόγια καί τούς ὁδηγεῖ πρός τήν πίστι τοῦ φανέντος, λέγοντας «ἔλθετε νά ἰδῆτε ἄνθρωπο, πού μοῦ εἶπε ὅλα ὅσα ἔκαμα· μήπως αὐτός εἶναι ὁ Χριστός;». Ὁμιλεῖ δέ ἔτσι ὄχι διότι ἔχει κάποια ἀμφιβολία, ἀλλά διότι πιστεύει ὅτι καί οἱ ἄλλοι θά πληροφορηθοῦν καλύτερα μέ τή θέα καί θά πεισθοῦν εὐχερέστερα διά τῆς συνομιλίας πρός τόν Κύριο, ὅπως καί στήν πρᾶξι συνέβηκε.

18 Ἐγώ καί τά προηγούμενα ἀνέπτυξα συνοπτικῶς, ἀλλά καί τή συνέχεια τῶν εὐαγγελικῶν λόγων θά παραλείψω τώρα, διότι βλέπω ὅτι ἡ ὥρα σᾶς βιάζει πρός τίς ἀνάγκες τοῦ βίου καί τά ἔργα τοῦ βίου. Ἀλλά ἐσεῖς προσέξατε αὐτήν τήν Σαμαρείτιδα· μόλις ἄκουσε τά εὐαγγελικά λόγια, πού ἀνακοινώνομε κι' ἐμεῖς πρός τήν ἀγάπη σας, ἀμέσως κατεφρόνησε ὅλες τίς ἀνάγκες τοῦ σώματος. Ἄφησε ἀμέσως καί τή στάμνα καί τήν οἰκία, καί, τρέχοντας στήν πόλι καί παρασύροντας τούς Σαμαρεῖτες, ἐπανῆλθε πάλι μαζί μέ αὐτούς πρός τόν Χριστό· διότι τό, «ἔλθετε νά ἰδῆτε», τοῦτο ἀκριβῶς σημαίνει, ἀκολουθήσατέ με καί θά

21. Ἰω. 15,26.

τοῦτό φησιν ἄντικρυς, ἀκολουθήσατέ μοι καὶ ὁδηγήσω ὑμᾶς καὶ δείξω νῦν ὑμῖν τὸν ἐξ οὐρανῶν σωτῆρα τῷ κόσμῳ παραγενόμενον.

19 Ἐκείνους μὲν οὖν οὕτω τηνικαῦτα προτρεψαμένη τῷ Χριστῷ παρέστησεν, ἡμᾶς δὲ διδάσκει διὰ τοῦ καταλιπεῖν καὶ τὴν οἰκίαν καὶ τὴν ὑδρίαν προτιμοτέραν ἡγεῖσθαι καὶ τῶν ἀναγκαίων χρειῶν τὴν ἐκ τῆς διδασκαλίας ὠφέλειαν, ἣν καὶ ὁ Κύριος ἀγαθὴν μερίδα προσεῖπε πρὸς τὴν ἐν τῷ εὐαγγελίῳ Μάρθαν, ὑπὲρ τῆς ἀκροωμένης τοῦ λόγου Μαρίας διαλεγόμενος. Εἰ δὲ τῶν ἀναγκαίων περιφρονεῖν δεῖ, πόσῳ μᾶλλον τῶν ἄλλων; Τί γάρ σε καὶ κατεπείγει καὶ τῶν κατὰ ψυχὴν ὠφελίμων ἀκουσμάτων ἀπάγει; Οἴκου καὶ παίδων καὶ γυναικὸς ἐπιμέλεια; οἰκεῖον ἢ συγγενικὸν πένθος ἢ χαρμονή; ἀγορασία τις κτημάτων ἢ πώλησις; χρῆσις τῶν ὑπαρχόντων σοι πάντων, μᾶλλον δὲ κατάχρησις; Ἀλλ' ἄκουε συνετῶς τῶν ἀποστολικῶν διδαγμάτων· «ὁ καιρός, ἀδελφοί, συνεσταλμένος τὸ λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσι καὶ οἱ κλαίοντες ὡς μὴ κλαίοντες καὶ οἱ χαίροντες ὡς μὴ χαίροντες καὶ οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου».

20 Τί ἐστιν, «ὁ καιρὸς συνεσταλμένος ἐστί»; Βραχὺς ὁ βίος, ἐγγὺς ὁ θάνατος, φθαρτὸς ὁ κόσμος οὗτος, ὁ ἀεὶ μένων ἕτερος· παραπέμπει δὲ ἡμᾶς πρὸς ἐκεῖνον ἐν ἀσφαλείᾳ ἡ τοῦ παρόντος καταφρόνησις κόσμου, ἡ πρὸς τὸν μέλλοντα ἐκεῖνον ἑτοιμασία, τὸ ζῆν κατὰ τὸ ἐγχωροῦν ἀπὸ τῶν ἐνταῦθα κατ' ἐκείνην τὴν πολιτείαν καὶ τὸ τοῦ παρόντος βίου βλαβερὸν ὅση δύναμις φεύγειν. Καθάπερ δὲ πολεμίων ἐπιδρομῆς ἐπὶ τὰ ἐκτὸς τῆς πόλεως πυκνὰ γινομένης, τοὺς ἀγροὺς

σᾶς ὁδηγήσω καί θά σᾶς δείξω τόν ἀπό τούς οὐρανούς Σωτῆρα πού ἦλθε στόν κόσμο'.

19 Ἔτσι προέτρεψε τότε ἐκείνους καί τούς παρουσίασε στόν Χριστό· ἐμᾶς δέ τώρα μέ τήν ἐγκατάλειψι τῆς οἰκίας καί τῆς στάμνας διδάσκει νά θεωροῦμε προτιμότερη ἀπό τίς βιοτικές ἀνάγκες τήν ὠφέλεια ἀπό τή διδασκαλία, τήν ὁποία ὁ Κύριος ὠνόμασε ἀγαθή μερίδα πρός τήν Μάρθα τοῦ εὐαγγελίου, ὑπερασπίζοντας τήν Μαρία πού παρακολουθοῦσε τόν λόγο[22]. Ἐάν δέ πρέπει νά περιφρονοῦμε τά ἀναγκαῖα, πόσο περισσότερο τά ἄλλα; Ἄλλωστε τί σέ βιάζει πρός τά ἐκεῖ καί σέ ἀπομακρύνει ἀπό τά ὠφέλιμα ἀκούσματα; Ἐπιμέλεια οἴκου καί παιδιῶν καί γυναίκας; Οἰκεῖο ἤ συγγενικό πένθος ἤ χαρά; Ἀγορά κτημάτων ἤ πώλησις; Χρῆσις ὅλων τῶν ὑπαρχόντων σου ἤ μᾶλλον κατάχρησις; Ἀλλ' ἄκουσε μέ σύνεσι τά ἀποστολικά διδάγματα. «Ὁ καιρός, ἀδελφοί εἶναι συνεσταλμένος στό ἑξῆς, ὥστε καί ὅσοι ἔχουν γυναῖκες νά εἶναι σάν νά μή ἔχουν καί ὅσοι κλαίουν σάν νά μή κλαίουν καί ὅσοι χαίρονται σάν νά μή χαίρωνται καί ὅσοι ἀγοράζουν σάν νά μή κατέχουν καί ὅσοι χρησιμοποιοῦν τόν κόσμο τοῦτο σάν νά μή τόν παραχρησιμοποιοῦν· διότι τό σχῆμα τοῦ κόσμου τούτου παρέρχεται»[23].

20 Τί σημαίνει ὅτι « ὁ καιρός εἶναι συνεσταλμένος»; Σύντομος ὁ βίος, πλησίον ὁ θάνατος, φθαρτός ὁ κόσμος αὐτός, ἄλλος εἶναι ἐκεῖνος πού μένει παντοτινά· ἐμᾶς δέ μᾶς παραπέμπει πρός ἐκεῖνον μέ ἀσφάλεια ἡ καταφρόνησις τοῦ παρόντος κόσμου, ἡ ἑτοιμασία γιά ἐκεῖνον τόν μέλλοντα, ἡ κατά τό δυνατό διαβίωσις ἀπό ἐδῶ σύμφωνα μ' ἐκείνη τήν διαγωγή καί ἡ κατά δύναμι ἀποφυγή τῶν ἐπιβλαβῶν τοῦ παρόντος βίου. Ὅπως δέ

22. Λουκᾶ 10,42.
23. Α΄ Κορ. 7,29.

ἔχομεν ὡς μὴ ἔχοντες καὶ τὸν πλείω χρόνον ἐκείνους φεύγοντες ἐντὸς ἐν ἀσφαλείᾳ καθήμεθα, κἂν ἐπὶ καιρὸν ἀναχωρήσωσιν οἱ πολέμιοι, χρώμεθα πρὸς βραχὺ τοῖς πρὸ τοῦ ἄστεος περιπάτοις, ἀλλ' οὐ καταχρώμεθα, τὸν καιρὸν τῆς χρήσεως συνεσταλμένον ὁρῶντες, οὕτω καὶ τῷ κόσμῳ τούτῳ χρῆσθαι καὶ μὴ καταχρῆσθαι παραινεῖ καλῶς ὁ ἀπόστολος· ὁρᾷ γὰρ τοὺς ἀοράτους πολεμίους δεινῶς ἐπεμβαίνοντας καὶ τὸ προσδόκιμον τῆς φθορᾶς· «παράγει» γάρ φησι «τὸ σχῆμα τοῦ κόσμου τούτου». Καίτοι ἐπειδή περ οὐ κυρίως ὑφέστηκεν, ἀλλ' ὡς εἶπε σχηματισμός ἐστι τὰ παρόντα μόνον, καὶ γίνεται μέν, οὐκ ἔστι δέ, πρὸς ὀλίγον φαινόμενά τε καὶ παρερχόμενα, κἄν τις ἐθέλοι κατέχειν, οὐ δυνήσεταί ποτε, καθάπερ θερινῆς ἀγόνου νεφέλης ἐλαυνομένης ὑπ' ἀνέμου καὶ ταχὺ παρατρεχούσης σκιάν, διὰ μόνον τὸ φανερὰν γενέσθαι τὴν ἑκάστου πρόθεσιν ἡ παραίνεσις καὶ τὸ δοῦναι σημεῖον τῆς ἐπιγνώσεως τῶν παρὰ Θεοῦ διδαγμάτων· κἂν γὰρ ἐθέλῃ τις κατέχειν, καθάπερ ἔφην, οὐ καθεκτὰ τὰ παρόντα, καὶ τοῦτο διχῶς· οὐ γὰρ μόνον ὁ κόσμος οὗτος παράγει, ἀλλὰ καὶ ἡμῶν ἕκαστος τῶν τῷ κόσμῳ τούτῳ χρωμένων, ἔσθ' ὅτε καὶ πρὸ τῶν ἀνὰ χεῖρας ἐν τῷ κόσμῳ παράγει. Καὶ καθάπερ ὁδόν τινα βαδίζων παρέρχεται πᾶς ἄνθρωπος καὶ αὐτὴν πολυειδῶς κινουμένην καὶ παρερχομένην αὐτόν, καὶ δυοῖν ἐξ ἀνάγκης ἐκβαίνει θάτερον, ἢ πρότερα τοῦτον τὰ τῆς ὁδοῦ παρελθόντα φθάνει καὶ ἃ κατεῖχεν οὗτος οὐκέτ' ἔχει κατέχειν ἢ αὐτὸς φθάνει τελείως παρελθὼν τὴν τοῦ βίου ταύτην ὁδὸν καὶ οὐκέτ' ἔχει κατέχειν τὰ ἐν τῷ βίῳ· θνητὸς γὰρ ὢν ὁ ἄνθρωπος τοῖς ἐν τῷ βίῳ συνημμένος ἐστίν, ἃ ἐστι καὶ ταῦτα τρεπτά. Ἦ οὖν πολυτρόπως τρέπεται τοῖς τρεπτοῖς συνημμένος καὶ ἀπώλεσεν ἃ κατεῖχε, πλοῦτον ἴσως, περιφάνειαν, εὐθυμίαν, ἢ θα-

